This is a reproduction of a library book that was digitized by Google as part of an ongoing effort to preserve the information in books and make it universally accessible.

Google books

https://books.google.com

AESOPI

FABVLAE

II

Digitized by Google

2872

Digitized by Google

THE PENNSYLVANIA STATE
UNIVERSITY LIBRARIES

Digitized by Google

Digitized by Google

AESOPI

FABVLAE

Digitized by Google

Digitized by Google

NOUVELLE COLLECTION DE TEXTES ET DOCUMENTS
publiée sous le patronage de l'ASSOCIATION GUILLAUME BUDÉ

AESOPI

FABVLAE

RECENSVIT

AEMILIVS CHAMBRY

PARS ALTERA

PARIS
SOCIÉTÉ D'ÉDITION « *LES BELLES LETTRES* »
95, BOULEVARD RASPAIL
1926
Tous droits réservés.

Digitized by Google

888
Ar84
v. 2

Digitized by Google

AESOPI FABVLAE AD LITTERAM DIGESTAE

145

Κάμηλος ⟨ἀφοδεύσασα ἐν ποταμῷ⟩.

Διέβαινε ποταμὸν κάμηλος ὀξὺ ῥέοντα. Ἀφοδεύσασα δὲ καὶ τὴν κόπρον εὐθὺς ἔμπροσθεν αὐτῆς ἰδοῦσα διὰ τὸ ὀξὺ τοῦ ῥεύματος εἶπεν· « Τί τοῦτο ; τὰ ὄπισθέν μου ἔμπροσθέν μου νῦν ὁρῶ διερχόμενα. »

[Ὅτι] ἐν πόλει ⟨ἐν⟩ ᾗ ἔσχατοι καὶ ἄφρονες κρατοῦσιν ἀντὶ τῶν πρώτων καὶ φρονίμων ἁρμόζει ὁ μῦθος.

Codd. Ba 25 Mb 76 Mg 49.

1 Κάμηλος ποταμὸν διέβαινεν ὀξυρέοντα Mb || Ἀμφοδεύσασα Ba Mg || **2** τὸν (τὸ Ba) κόπρον Ba Mg || αὐτῆς om. Mb || **3** τὰ ἐξόπισθεν Mb || **4** νῦν om. Mb || ὁρῶν Ba || **5** Ὁ μῦθος ἁρμόζει ἐν πόλει ᾗ Mg || ἐν addidi.

Aliter.

Διέβαινέ ποτε κάμηλος ποταμὸν ὀξὺ διαρρέοντα. Ἀφοδεύσασα δὲ καὶ τὴν κόπρον αὐτῆς ἔμπροσθεν κατιδοῦσα τῇ τοῦ ὕδατος ὀξυτάτῃ καταρροῇ· « Τί τοῦτο ; ἔφη, τὰ ἐξόπισθέν μου νῦν ἔμπροσθέν μου τεθέαμαι. »

Ὅτι πολλάκις οἱ ἄτιμοι τῶν τιμίων προάγουσι.

Cod. Bc 20.

1 Ἀμφοδεύσασα cod. || **4** ἐξ ὄπισθεν cod.

339147

Digitized by Google

146

Κάμηλος καὶ ἐλέφας καὶ πίθηκος.

Τῶν ἀλόγων ζῴων βουλευομένων βασιλέα ἑλέσθαι, κάμηλος καὶ ἐλέφας καταστάντες ἐφιλονείκουν, καὶ διὰ τὸ μέγεθος τοῦ σώματος καὶ διὰ τὴν ἰσχὺν ἐλπίζοντες πάντων προκρίνεσθαι. Πίθηκος δὲ ἀμφοτέρους ἀνεπιτηδείους εἶναι ἔφη, τὴν μὲν κάμηλον, διότι χολὴν οὐκ ἔχει κατὰ τῶν ἀδικούντων, τὸν δὲ ἐλέφαντα, ὅτι δέος ἐστὶ μὴ χοιρίδιον, ὃ δέδοικεν, ἡμῖν ἐπιτιθῆται.

Ὁ λόγος δηλοῖ ὅτι πολλοὶ καὶ τῶν μεγίστων πραγμάτων διὰ μικρὰν αἰτίαν κωλύονται.

Codd. Pb 217 Pf 132 Pg 141 Mb 60 Me 169 Mf 140 Cf 124.

1 Ζώων τῶν ἀλόγων Mb || βουλευομένων Pb Me Mf βουλομένων ceteri || ἑλέσθαι τινὰ ἐξ αὐτῶν Cf ἑαυτῶν (-τὸν Mb) ἑλέσθαι τινά Pf Pg M || **2** ἐφιλονείκησαν Pg Mb || καὶ διὰ τὸ μέγεθος τοῦ σώματος om. Pg Mb || **4** Πίθηξ Cf || δὲ om. Mb || ἐπιτηδείους Pb || ἔφη ἀνεπιτηδείους εἶναι Pf Me Mf || **5** λέγων (ἔλεγεν Mb) τὴν μὲν Pg Mb || ὅτι Cf || χαλινὸν ἔχει pro χολὴν οὐκ ἔχει Pb || **6** μὴ ἀδικούντων Cf || **7** χοιρίδιον ὃ δέδοικεν ἡμῖν ἐπιτιθῆται Schneider || δέος ἐστὶ καὶ χοιρίδιον δέδοικε καὶ ὑμῖν ὑποτίθεται Pb δέος ἐστὶ μὴ αὐτοῦ βασιλεύοντος χοιρίδια (-διον Pg Mb Cf) ἡμῖν ἐπιτίθενται (ἐπιθῆται Pg Mb ἐπιτίθεται Cf) Pf Pg Mb Me Mf Cf || **8** πολλάκις καὶ (καὶ om. Cf) τὰ μέγιστα (μεγάλα Cf) τῶν πραγμάτων παρὰ (περὶ Mb) μικρὰν αἰτίαν (παρὰ μικρὸν Cf) κωλύονται (κωλύεται Cf) Pg Mb Cf || **8-9** Ὅτι τὰ μέγιστα τῶν πραγμάτων διὰ μικρὰν αἰτίαν τοῦ προσδοκωμένου κωλύονται Pf Me Mf.

Aliter.

Τῶν ἀλόγων ζῴων βουλομένων βασιλέα ἑλέσθαι τινὰ ἐξ αὐτῶν, κάμηλος καὶ ἐλέφας ἐψηφίζοντο, ὁ μὲν διὰ τὸ μέγεθος, ὁ δὲ διὰ τὴν ἰσχύν. Πίθηκος δὲ ἀνεπιτηδείους εἶναι ἔφη, τὴν μὲν κάμηλον, ὅτι χολὴν καὶ ἄμυναν ⟨οὐ⟩ τρέφει κατὰ τῶν ἐπταικότων, τὸν δὲ ἐλέφαντα, ὅτι δέος ἐστίν, αὐτοῦ βασιλεύοντος, μὴ χοιρίδια ἡμῖν ἐπιθῆται.

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις τὰ μεγάλα τῶν πραγμάτων παρὰ μικρὸν κωλύονται καὶ οὐ τελοῦνται.

Cod. Ce 116.

4 οὐ addidi || **6** χοιρίδια nos χείρονα cod. || ἐπιθῆται nos ἐπιθήσει cod. || **8** μικρὸν nos μικροῖς cod.

Digitized by Google

147

Κάμηλος καὶ Ζεύς.

Κάμηλος θεασαμένη ταῦρον ἐπὶ τοῖς κέρασιν ἀγαλλόμενον, φθονήσασα αὐτῷ, ἐβουλήθη καὶ αὐτὴ τῶν ἴσων ἐφικέσθαι. Διόπερ παραγενομένη πρὸς τὸν Δία, τούτου ἐδέετο, ὅπως αὐτῇ κέρατα προσνείμῃ. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῆς, εἴγε μὴ ἀρκεῖται τῷ μεγέθει τοῦ σώματος καὶ τῇ ἰσχύι, ἀλλὰ καὶ περισσοτέρων ἐπιθυμεῖ, οὐ μόνον αὐτῇ κέρατα οὐ προσέθηκεν, ἀλλὰ καὶ μέρος τι τῶν ὤτων ἀφείλετο.

Οὕτω πολλοὶ διὰ πλεονεξίαν τοῖς ἄλλοις ἐποφθαλμιῶντες λανθάνουσι καὶ τῶν ἰδίων στερούμενοι.

Codd. Pa 109 Pb 116 Pc 62 Pe 14 (altera pars) Pf 59 Pg 77 Ph 61 Ma 82 Mc 81 Mf 71 Mj 76 Cd 65.

1 ἐπὶ κέρασιν libri exceptis Pa Pb Cd || **2** αὐτὸν Pc Ma Cd αὐτῷ om. Ph || ἠβουλήθη Pb Pc Cd || τῷ ἴσῳ Cd || **3** Διὸ καὶ παραγενομένη Pb Cd Καὶ παραγενομένη Ph || εἰς τὸν Δία Ma || **4** ἐδεήθη Pf Ph Me Mf Mj || προσνέμει Ma -μῃ Cd || **5** ἀρκοῖτο Pb || διὰ τὸ μὴ ἀρκεῖσθαι ταύτην Cd || **6** καὶ post ἀλλὰ om. Pf Ph Ma Mj || περισσοτέρων Pg -ρως Cd πλεῖον Ph περισσότερον ceteri || ἐπιθυμοῖ Pb -εῖν Cd || **7** Pe incipit ab οὐ προσέθηκεν || οὐ προσένεμεν Ma || ἀλλὰ καὶ τὸν νῶτον ἀφείλατο Ma || μέρος ἀπὸ τῶν ὤμων ἀφήλατο Pe || **8** ὠτίων Pb || ἀφῆκεν Pa || **9** Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ (πολλῷ Me Mf) Me Mf Mj Πολλοὶ Pf || ἐποφθαλμίζοντες Pb ἀντοφθαλμοῦντες Pg φθονοῦντες Pf Ph Me Mf Mj ζηλοῦντες Cd || ἐπ' ὀφθαλμοῖς ὄντες καὶ τῶν ἰδίων στεροῦνται Ma || **10** πολλάκις στερούμενοι Pe.

Aliter.

Ὁ Ζεύς δέ ποτε αἰτούσῃ τῇ καμήλῳ
κέρατα ἔχειν καὶ τοιαῦτα λεγούσῃ·
« Λύπη μοι πολλὴ ὑπάρχει διὰ τοῦτο »,
οὐκ ἐπέδωκεν, ἀλλά γε καὶ τῶν ὤτων
ἀπεστέρησε πολλὰ αὐτὸς χολήσας.

Codd. Ca 152 Cg 25 Ch 100.

2 ἔχειν Furia φημί libri || **3** πολὺ Ca || **4** τὸν νῶτον Ca τῶν ὦτον Cg || **5** χολήσας nos χολέσας Ch χολάνας Ca || αὐτὸν σχολάσας Cg.

Ὁ μῦθος δηλοῖ ὅτι ὁ ἔχων τι ἀρκείσθω ἐπ' ἐκείνῳ καὶ πλείω μὴ ζητείτω, ἵνα μὴ καὶ ὃ ἔχει ἀπολέσῃ.

6 Μῦθος δηλοῖ τι ἔχων τίς τι ἀρκεῖσθαι Cg || ὁ ἔχων τίς τι Ch || 7 πλέον Cg.

Aliter.

Ὁ Ζεὺς τῇ καμήλῳ κέρατα αἰτούσῃ καὶ λεγούσῃ ὅτι ταῦτά μοι λείπει, οὐ μόνον ⟨οὐ⟩ δέδωκεν, ἀλλὰ καὶ τῶν ὤτων ἐστέρησεν.

Ὅτι, ὃ ἔχει τις, εἰς ἐκεῖνο ἀρκείσθω καὶ μὴ πλεονεκτείτω.

Cod. Ba 104.

2 λίπει cod. || οὐ addidi.

148

Κάμηλος ὀρχουμένη.

Κάμηλος ἀναγκαζομένη ὑπὸ τοῦ ἰδίου δεσπότου ὀρχήσασθαι εἶπεν· « Ἀλλ' οὐ μόνον ὀρχουμένη εἰμὶ ἄσχημος, ἀλλὰ καὶ περιπατοῦσα. »

Ὁ λόγος εἴρηται ἐν παντὶ ἔργῳ ἀπρέπειαν ἔχοντι.

Codd. Pa 132 Pg 90 Mb 77 Ch 72.

2 ἔφη· « Ἐγὼ οὐ μόνον Ch || 4 Ὁ λόγος ἁρμόδιος παντὶ ἀνδρὶ τῷ ἐν τοῖς ἔργοις ἀπρέπειαν ἔχοντι Pg Ὁ λόγος ἁρμόδιος πρὸς ἄνδρα παντὶ ἔργῳ ἀπρέπειαν ἔχοντι Mb Ὁ μῦθος πρὸς πᾶν ἔργον ἀπρέπειαν ἔχον Ch.

Aliter.

Κάμηλος ὀρχήσασθαι βιαζομένη
πρὸς ⟨τὸν⟩ ἀναγκάζοντα δεσπότην ἔφη·
« Οὐ μόνον ἄσχημός εἰμι ὀρχουμένη,
ἀλλὰ καὶ περιπατοῦσ' ἢ καθημένη. »

Ὁ λόγος δηλοῖ ⟨ὅτι ὁ⟩ ἐν ἑνὶ ἀδόκιμος καὶ ἐν παντὶ ἀδόκιμός ἐστι.

Cod. Cd 63.

2 τὸν addidi || 4 περιπατεῖν καὶ καθημένη cod. : correxi || 5 ὅτι ὁ addidi.

Digitized by Google

149

Κάμηλος τὸ πρῶτον ὀφθεῖς.

Ὅτε πρῶτον κάμηλος ὤφθη, οἱ ἄνθρωποι φοβηθέντες καὶ τὸ μέγεθος καταπλαγέντες ἔφευγον. Ὡς δέ, χρόνου προιόντος, συνεῖδον αὐτῆς τὸ πρᾷον, ἐθάρρησαν μέχρι τοῦ προσελθεῖν. Αἰσθόμενοι δὲ κατὰ μικρὸν ὡς χολὴν τὸ ζῷον οὐκ ἔχει, εἰς τοῦτο καταφρονήσεως ἦλθον ὥστε καὶ χαλινὸν αὐτῇ περιθέντες παισὶν ἐλαύνειν αὐτὴν ἔδωκαν.

Ὁ λόγος δηλοῖ ὅτι τὰ φοβερὰ τῶν πραγμάτων ἡ συνήθεια καταπραΰνει.

Codd. Pa 197 Pb 191 Pf 107 Ca 148 — La 122 Lb 108 Le 108 Lf 122 Lh 18 Me 140 Mf 116 Mg 131 Mj 129 Ml 131

1 πρώτως Pa πρῶτος Pf τὸ πρῶτον Me Mf || **2** ἔφυγον Ca || Ὡς δή Mg || **3** ἰδόντες Pf Me Mf συνιδόντες Ca συνει Ml || ἐθάρσησαν Pf Me Mf || τούτου pro τοῦ Ml || ἐθάρσησαν καὶ προσελθόντες αἰσθόμενοι Pf || **4** τὸ ζῶον ὡς (ὅτι Mf) χολὴν οὐκ ἔχει Pb L Me Mf Mj Ml || **5** εἰς τοῦτο φρονήσεως Pa εἰς τοσοῦτον καταφρονήσεως (φρονήσεως Ca καταφρονήσαντες Mf) ceteri || χαλινόν Pa Pf -νοὺς ceteri || χαλινοὺς αὐτῆς Lh || **6** πᾶσι Pa || αὐτὴν om. Pb Ca L M || δεδώκασι Pb L || **7** Ὅμοιον ὅτι Ml Ὅλως δηλοῖ ὅτι Ca || μῦθος L Mg Mj Ml || δηλοῖ om. Le Lh || ἡ om. Pa Ca || **8** μεγάλως καταπραΰνει Pb εὐκαταφρόνητα ποιεῖ L M || **7-8** Ὅτι ἡ συνήθεια εἴωθε τὰ φοβερὰ τῶν πραγμάτων εἰς καταφρόνησιν ἄγειν Pf Me Mf.

150

Κάνθαροι δύο.

Ἔν τινι νησιδίῳ ταῦρος ἐνέμετο· τῇ δὲ τούτου κόπρῳ κάνθαροι ἐτρέφοντο δύο. Καὶ δὴ τοῦ χειμῶνος ἐνισταμένου, ὁ ἕτερος ἔλεγε πρὸς τὸν ἕτερον ὡς ἄρα βούλοιτο εἰς

Codd. Pa 81 Pb 85 Pg 54 Ma 64.

1 ἐγένετο νεμόμενος Pg || τῷ .. κόπρῳ Ma || **2** ἐφισταμένου Pb Ma || **3** ὁ εἷς Pb Ma || τὸν φίλον Pa τὸν ἄλλον Ma || βούλοιτο δὴ Pb.

Digitized by Google

τὴν ἤπειρον διαπτάσθαι, ἵνα ἐκείνῳ μόνῳ ὄντι ἡ τροφὴ ἱκανῶς ὑπάρχῃ, καὶ αὐτὸς ἐκεῖσε ἐλθὼν τὸν χειμῶνα διαγένηται. Ἔλεγε δὲ ὅτι, ἐὰν πολλὴν εὕρῃ τὴν νομήν, καὶ αὐτῷ οἴσει. Παραγενόμενος δὲ εἰς τὴν χέρσον καὶ καταλαβὼν πολλὴν μὲν τὴν κόπρον, ὑγρὰν δέ, μένων ἐτρέφετο ἐνταῦθα. Τοῦ δὲ χειμῶνος διελθόντος, πάλιν εἰς τὴν νῆσον διέπτη. Ὁ δὲ ἕτερος θεασάμενος αὐτὸν λιπαρὸν καὶ εὐεκτοῦντα, ᾐτιάσατο αὐτὸν διότι προϋποσχόμενος αὐτῷ οὐδὲν ἐκόμισεν. Ὁ δὲ εἶπε· « Μὴ ἐμὲ μέμφου, τὴν δὲ φύσιν τοῦ τόπου· ἐκεῖθεν γὰρ τρέφεσθαι μὲν οἷόν τε, φέρεσθαι δὲ οὐδέν. »

Οὗτος ὁ λόγος ἁρμόσειεν ἂν πρὸς ἐκείνους οἳ τὰς φιλίας μέχρις ἑστίασεως μόνον παρέχονται, περαιτέρω δὲ οὐδὲν τοὺς φίλους ὠφελοῦσιν.

4 ὄντι om. Pb || ἱκανὴ ἡ τροφὴ γένηται Ma || **5** ἱκανὴ ὑπάρχοι (-χει Pg) Pb Pg || καὶ αὐτὸς ... διαγένηται om. Ma || καὶ ὡς ἂν ἐκεῖσε ἐλθὼν Pb || **6** πολὺν Pg || πολλὰς εὕροι τὰς νομὰς Pa || εὕροι Pb -ρει Ma || **7** οἴσειν Ma || **8** πολλὴν μὲν τὴν κόπρον, ὑγρὰν δέ, μένων nos πολλὰς μὲν τὴν κόπρον μόνην ὑγρὰν Pa πολλὴν κόπρον, ὑγρὰν δέ, μένων Pb Pg μὲν πολλὴν κόπρον, ὑγρὰν δέ, μένων Ma || ἐνταῦθα ἐτρέφετο Pb Ma || **10** καὶ εὐεκτοῦντα om. Ma || **11** ᾔτει αὐτὸν μή τι φέρειν διότι Pa || ᾐτιᾶτο Pg Ma || ὑποσχόμενος Ma || αὐτῷ om. Pb || **12** με Pg || **13** οἴονται pro οἷόν τε Pa || **15** Οὕτως Pa om. Pb || ἁρμόσει πρὸς Pg || ἂν om. Ma || **16** αἰσθιάσεως μόνον παρέχονται. Hic desinit Ma cuius epim. fabulae sequenti annexum est. || μόνον om. Pg.

Aliter.

Ἔν τινι νησιδίῳ ταῦρος ἐνέμετο· τῇ δὲ τούτου κόπρῳ κάνθαροι ἐτρέφοντο δύο. Χειμῶνος δὲ ἐπιστάντος, ὁ εἷς ἔφη τῷ ἑτέρῳ· « Βούλομαι εἰς τὴν ἤπειρον διαπτάσθαι, ἵνα ἐκεῖ τὸν χειμῶνα μόνος ὢν διαγίνωμαι, καί, ἐὰν πολλὴν εὕρω τὴν νομήν, καὶ σὲ προσλαμβάνωμαι. » Παραγενόμενος δὲ ἐν τῇ χέρσῳ καὶ καταλαβὼν πολλὴν κόπρον, ὑγρὰν δέ, μένων ἐνταῦθα ἐτρέφετο. Τοῦ δὲ χειμῶνος παρελθόντος, πάλιν εἰς τὴν νῆσον διέπτη ⟨ἐν⟩ ᾗ ἦν ὁ ἕτερος. Θεασάμενος

Cod. Pe 49.

3 τὴν κατ' ἤπειρον cod. || **4** μόνος ὢν nos μόνιμον ἐντὸς cod. || διαγίνομαι .... προσλαμβάνομαι cod. || **8** διέπτη nos διέπτα cod. || ἐν ᾗ ἦν ὁ ἕτερος nos ἢ ἦν ὁ ἕτερος, cod.

Digitized by Google

δὲ αὐτὸν λιπαρὸν ὁ ἕτερος ᾐτιᾶτο αὐτὸν διότι ὑποσχόμενος αὐτῷ οὐ διεκόμισεν. Ὁ δὲ ἔφη αὐτῷ· « Μὴ ἐμὲ μέμφου, ἀλλὰ τὴν φύσιν τοῦ τόπου· ἐκεῖθεν μὲν γὰρ τρέφεσθαι οἷόν τε, φέρεσθαι δὲ οὔ. »

Οὗτος ὁ λόγος ἁρμόζει πρὸς ἐκείνους οἳ τὰς φιλίας μέχρι ἑστιάσεως παρέχονται, περαιτέρω δὲ οὐδὲν τοῖς φίλοις ὠφελοῦσιν.

9 διά τι pro διότι cod. || **10** αὐτῷ οὐ nos αὐτὸν οὐ cod. || ἔφη αὐτῷ nos ἔφη αὐτὸν cod. || **14** μέχρι ἑστιάσεως nos μέχρι ἂν ἐσθιάσεως cod. || παρέρχονται cod.

151

Καρκῖνος καὶ ἀλώπηξ.

Καρκῖνος ἀναβὰς ἀπὸ τῆς θαλάσσης ἐπί τινος αἰγιαλοῦ μόνος ἐνέμετο. Ἀλώπηξ δὲ λιμώττουσα, ὡς ἐθεάσατο αὐτόν, ἀποροῦσα τροφῆς, προσδραμοῦσα συνέλαβεν αὐτόν. Ὁ δὲ μέλλων καταβιβρώσκεσθαι ἔφη· « Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι θαλάσσιος ὢν χερσαῖος ἠβουλήθην γενέσθαι. »

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλιπόντες ἐπιτηδεύματα καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες εἰκότως δυστυχοῦσιν.

Codd. Pa 108 Pb 115 Pc 61 Pf 60 Pg 76 Ph 62 Ma 81 Mb 75 Me 82 Mf 72 Mj 77 Cd 64.

1 ἀπὸ θαλάσσης Ma || χερσαίου pro αἰγιαλοῦ Cd ποταμοῦ Ma || ἐπί τινος γῆς ἐνέμετο Pf Ph Me Mf Mj || **2** μόνος om. Pb || ἐκάθητο pro ἐνέμετο Pb || **3** ἀνέλαβεν Pb συνελάβετο Cd || αὐτόν om. Ph || **4** Καὶ ὃς μέλλων Ph || δικαίως Ma || **5** ὅτι χερσαῖος ἐγενόμην θαλάσσιος ὤν Pc || **6** Οὕτω... ἀνθρώπων om. Pf || Ὁ μῦθος δηλοῖ ὅτι καὶ (καὶ om. Mj) Me Mf Mj || **7** μηδενὶ Pa μὴ Pf Ph Me Mf Mj Cd || χαίροντες Ma || ἐπεμβαίνοντες εἰκότως δυστυχοῦσιν (κινδυνεύουσι Pf Ph Mj) Pf Ph Me Mf Mj Cd.

Aliter.

Καρκῖνος ἀπὸ τῆς θαλάσσης ἀναβὰς ἐπί τινος ἐνέμετο τόπου. Ἀλώπηξ δὲ λιμώττουσα, ὡς ἐθεάσατο, προσελθοῦσα ἀνέλαβεν αὐτόν. Ὁ δὲ μέλλων καταβιβρώσκεσθαι ἔφη· « Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὃς θαλάττιος ὢν χερσαῖος ἠβουλήθην γενέσθαι. »

Codd. La 99 Lb 66 Le 66 Lf 99 Lh 29 Mg 90 Ml 85.

3 συνέλαβεν Le Ml.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι καὶ τῶν ἀνθρώπων οἱ τὰ οἰκεῖα καταλιπόντες ἐπιτηδεύματα καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιχειροῦντες εἰκότως δυστυχοῦσιν.

6 Ὁ μῦθος οὕτω καὶ τῶν σοφῶν Lh || Μῦθος οὕτω καὶ Lb || οὕτω καὶ Le.

152

Καρκῖνος καὶ μήτηρ.

Μὴ λοξὰ περιπατεῖν καρκίνῳ μήτηρ ⟨ἔλεγε⟩ μηδὲ τῇ ὑγρᾷ πέτρᾳ τὰς πλευρὰς προστρίβειν. Ὁ δὲ εἶπεν· « Μῆτερ, σύ, ἡ διδάσκουσα, ὀρθὰ βάδιζε καὶ βλέπων σε ζηλώσω. »

Ὅτι τοὺς μεμψιμοίρους πρέπον ἐστὶν ὀρθὰ βιοῦν καὶ βαδίζειν, καὶ τότε ὅμοια διδάσκειν.

Cod. Ba 91.
1 ἔλεγε addidi.

Aliter.

« Μὴ λοξὰ περιπάτει, καρκῖνος ἔλεγε τῷ τέκνῳ, μηδὲ ταῖς πτέρναις πρόστριβε τὰς πλευράς σου. » Ἔφη δὲ τῇ μητρὶ ὁ καρκῖνος· « Ἐμὲ διδάσκουσα, μῆτερ, ἃ λέγεις, ὀρθὰ σὺ βάδιζε καὶ βλέπων σε ζηλώσω. »

Ὁ μῦθος τοὺς μεμψιμοίρους ἐλέγχει· πρῶτον γὰρ αὐτοὺς ὀρθὰ βιοῦν δεῖ καὶ τόθ᾽ ἑτέρους διδάσκειν.

Cod. Mh 77 (Haec fabula uersibus esse scripta uidetur).
1 Μὴ λοξὰ nos Ἡ ἡ λοξὰ cod. || 5 μεμψιμείρους cod.

Aliter.

Καρκίνῳ ποτὲ ἡ μήτηρ παρῄνει· « Μὴ λοξά, τέκνον, ἐμπεριπάτει. » Ὁ δὲ πρὸς αὐτὴν λέγει· « Σύ μοι, ὦ μῆτερ, ὑπόδειξον βαδίζειν καὶ περιπατεῖν, ὄρθια βηματίζουσα, ὅπως ὁρῶν σε κἀγὼ παραζηλώσω. »

Ὅτι μεγίστην βλάβην καὶ θάνατον οἶδε ποιεῖν τῶν κακῶν ἡ συνουσία.

Cod. Mb 74.
2 με cod. || 3 βηματίζουσα nos -ίζειν cod. || 4 παρεζηλώσω cod. || 5 εἶδε ποιῆν cod. Epimythium ad aliam fabulam pertinet || Versibus scripta esse uidetur haec fabula, qui possunt restitui, si scribas : τινὶ ποτ' in primo uersu, τέκνον ἐμόν in secundo, περιπατεῖν καὶ βαδίζειν in quarto, deleto ὄρθια βηματίζειν.

Digitized by Google

153

Καρύα.

Καρύα, παρά τινα ὁδὸν οὖσα καὶ ὑπὸ τῶν παριόντων λίθοις βαλλομένη, στενάξασα πρὸς ἑαυτὴν εἶπεν· « Ἀθλία εἰμὶ ἐγώ, ἥτις κατ' ἐνιαυτὸν ἐμαυτῇ ὕβρεις καὶ λύπας παρέχω. »

Ὁ λόγος πρὸς τοὺς ἐπὶ τῶν ἰδίων ἀγαθῶν λυπουμένους.

Codd. Pa 131 Pg 89 Cd 72.

1 Καρέα Pg Ἀροῖα Cd || πεφυκυῖα pro οὖσα Pg Cd || 2 στενάζουσα Cd || ἑαυτὸν Cd || εἰμὶ om. Cd || ἔγωγέ εἰμι Pg || 3 προφέρω Pg προσφέρει Cd || 4 ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς λυπουμένοις Pg. || Deest epim in Cd.

Aliter.

Καρύα τις ἐν ὁδῷ ἱσταμένη καρπὸν ἔφερε πολύν. Οἱ δὲ παροδῖται λίθοις αὐτὴν καὶ βάκλοις κατέκλων διὰ τὰ κάρυα. Ἡ δὲ οἰκτρὸν ἔφη· « Ὦ ἀθλία ἐγώ, ὅτι οὓς τῷ καρπῷ μου εὐφραίνω, ὑπὸ τούτων δεινὰς ἀντιλαμβάνω χάριτας. »

[Ὅτι] τοὺς ἀχαρίστους καὶ κακούργους, τοὺς ἀντὶ ἀγαθῶν κακὰ ἀντιδιδόντας, ὁ μῦθος ἐλέγχει.

Codd. Ba 60 Bb 36 Bd 30.

1 πολλὴν καρπὸν ἔφερεν Bd || πολὺν ἔφερεν Ba || 2 ὁδῖται Bd || αὐτὴν om. Bb || ῥάβδοις διὰ τὰ κάρια ἔβαλλον Bd || 3 οἰκτρὸν λόγον Ba οἰκτρῶς Bd || δειλαία Bd || οὓς εὐφραίνω διὰ τῶν καρπῶν μου Bd || 4 τιμωρίας pro χάριτας Bd || Epim. deest in Bd, ut solet.

Aliter.

Καρύα τις ἐν ⟨τῇ⟩ ὁδῷ ἱσταμένη
καρπὸν ἔφερε πολὺν ἑκάστῳ ἔτει.
Καὶ παροδῖται ταῖς ῥάβδοις τε καὶ λίθοις
ἔτυπτον σφόδρα εἵνεκα τῶν καρύων.
Ἡ στενάξασα ἐκ βάθους τῆς καρδίας
ἀνεβόησεν· « Οἴμοι τῇ παναθλίᾳ·
τί μοι συνέβη ; οὓς τοῖς καρποῖς εὐφραίνω,
μάστιγας δεινὰς ὑπ' αὐτῶν νῦν λαμβάνω. »

Cod. Mb 86.

1 Καραῖα cod. || τῇ addidi || 2 ἑκάστῳ ἔτει nos κατ' ἔτος cod. || 3 παροδῖται nos ὁδῖται cod. || 7 ὢ τοῦ πτώματος, τί μοι ἄρτι συνέβη, οὗσπερ ἐγὼ τῶν καρπῶν μου εὐφραίνω cod. ὢ τοῦ πτώματος .. ἄρτι .. περ ἐγὼ ... μου eieci et τοῖς καρποῖς emendaui.

Digitized by Google

Ὁ λόγος πρὸς ἀχαρίστους ἀνθρώπους ἀντὶ ἀγαθῶν κακὰ ἀποδιδόντας.

154

Κάστωρ.

Κάστωρ ἐστὶ ζῷον τετράπουν ἐν λίμνῃ νεμόμενον. Τούτου λέγεται τὰ αἰδοῖα εἴς τινας θεραπείας χρήσιμα εἶναι. Καὶ δή, εἴ ποτέ τις αὐτὸν θεασάμενος διώκει ἐκτέμνειν βουλόμενος, εἰδὼς οὗ χάριν διώκεται, μέχρι μέν τινος φεύγει τῇ τῶν ποδῶν ταχύτητι συγχρώμενος, πρὸς τὸ ὁλόκληρον ἑαυτὸν διαφυλάξαι· ἐπειδὰν δὲ περικατάληπτος γένηται, ἀποκόπτων τὰ ἑαυτοῦ αἰδοῖα ῥίπτει καὶ οὕτως τῆς σωτηρίας τυγχάνει.

Οὕτω καὶ τῶν ἀνθρώπων φρόνιμοί εἰσιν ὅσοι διὰ χρήματα

Codd. Pa 110 Pb 117 Pf 61 Pg 78 Ph 63 Ma 83 Mb 239 Me 83 Mj 78 Cb 56 Ce 59 Cf 63 Ch 63.

1 Κάστωρ ἐπὶ τετράπους ἐν λίμνας Cf || ἐστι om. Pa Ma || ζῷον om. Pg Ma C || ζῷόν ἐστι Pf Ph Me Mj || τετράπουν ζῷον Mb || λίμναις Cb Ce Λιβύῃ Pb Pf Ph Me Mj || γιγνόμενον Pa Pf Me Mj γενό- Pb γινό- Ph παραγενόμενος Ma νεμόμενος Cb || **2** αἰδοῖα omisso τὰ Cb || εἴς τινα χρήσιμα (εἰστιν ἀχρήσιμα Pf) Pf Ph Me Mj εἴς τινα θεραπείαν χρήσιμον Ma || εἴς τινας θεοπροπίας Mb || χρησίμας Ce || **3** εἶναι om. Pa || Καὶ δή ποτέ τις αὐτὸν θεασάμενος ἐδίωκεν. Ὁ δὲ κάστωρ εἰδὼς τίνος χάριν διώκεται, φεύγει τῇ τῶν ποδῶν ταχύτητι. Ἐπειδὰν περικατάλυπτος Ce. Καὶ δή ποτέ τις αὐτὸν ἐθεάσατο καὶ διωκώμενος εἰδὼς τίνος χάριν διώκεται, φεύγει τῇ τῶν ποδῶν ταχύτητι. Ἐπειδὰν δὲ περικατάληπτος Cf || τις om. Ma || διώκοι Pa || **4** ἐκτεμεῖν Pf Ph Me Mj || ἐκτέμνειν βουλόμενος om. Pg Ma Mb Cb Ch || εἰδὼς ὁ κάστωρ Pf Ph Mj || τίνος χάριν Pg Ma Mb Ch οὗτινος χάριν Cb || μέχρι μέντοι τινος Pa μέχρι μέν τινος om. Pg Mb Cb Ch || φεύγει μέχρις οὖν τῶν ποδῶν τῇ ταχύτητι Ma || **5** χρώμενος Pb Pg Mb Cb Ch || **6** αὐτὸν Pb || φυλάξαι Pb Cb Ch || δὲ om. Cb Ch οὖν Pg Mb || περικάλυπτος Cb || που (που om. Ma) κατάληπτος Pb Ma || **7** ἀποκόπτει ... καὶ ῥίπτει πρὸς αὐτὸν C || ἑαυτοῦ om. Pa Ph || **8** ἐπιτυγχάνει Cf || σωτηρίας αὐτοῦ περιγίνεται (παρα- Mb) Pg Ma Mb Cb Ch || **9** οἱ φρόνιμοι Pa Pb Pf || εἰσιν om. Pa Pb.

Digitized by Google

ἐπιβουλευόμενοι ἐκεῖνα ὑπερορῶσιν ὑπὲρ τοῦ τῇ σωτηρίᾳ μὴ κινδυνεύειν.

10 παρορῶσιν Pb || τῇ σωτηρίᾳ nos τῆς σωτηρίας Pa εἵνενεν τῆς σωτηρίας Pb || ἐκεῖνα ἀπολέγονται τὴν ἑαυτῶν προνοούμενοι σωτηρίαν Pf Ph Me Mj || **9-11** Ὁ μῦθος δηλεῖ ὅτι (hoc initium om. Pg) οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι (οἱ φ- ποιοῦσιν Mb) ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας οὐδένα (μηδένα Mb) λόγον τῶν (τῶν om. Ce) χρημάτων (περὶ χρημάτων Ch) ποιοῦνται (ποιούμενοι Mb ποιοῦσιν Ch) Pg Mb Ce Cf Ch. Ὅτι οὕτως καὶ τῶν φρονίμων ἀνθρώπων ὑπὲρ τῆς αὐτῶν σωτηρίας οὐδένα λόγον περὶ χρημάτων ποιοῦνται Cb. Οὕτω πολλοὶ τῶν ἀνθρώπων φρόνιμοί εἰσιν οἳ διὰ χρημάτων διαβουλευόμενοι ἐκεῖνοι (lege ἐκεῖνα) παρορῶσιν ὑπὲρ τοῦ τῆς σωτηρίας μὴ κινδυνεύειν Ma.

Aliter.

Ὁ κάστωρ ζῷόν ἐστι τετράπουν ἐν λίμναις τὰ πολλὰ διαιτώμενον, οὗ τὰ αἰδοῖά φασιν ἰατροῖς χρήσιμα εἶναι. Οὗτος οὖν, ἐπειδὰν ὑπ' ἀνθρώπων διωκόμενος καταλαμβάνηται, γινώσκων οὗ χάριν διώκεται, ἀποτεμὼν τὰ ἑαυτοῦ αἰδοῖα ῥίπτει πρὸς τοὺς διώκοντας καὶ οὕτω σωτηρίας τυγχάνει.

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας οὐδένα λόγον τῶν χρημάτων ποιοῦνται.

Codd. La 33 Lb 90 Lc 16 Ld 23 Le 90 Lf 33 Lg 16 Mc 55 Md 60 Mg 84 Mk 58 Ml 117 Mm 76 Mn 23.

1 Ὁ om. Mg || ἐστὶ ζῷον Ld || ἐστὶ τετράπουν ζῷον ἐν λίμναις νεμόμενον (γενόμενον Mc λεγόμενον Mn) Mc Md Mm Mn || Καστωρεὺς οὖν τετράπουν ζῷον ἐν ποταμοῖς καὶ λίμναις γινόμενον Mk || **2** εἶναι χρήσιμα Le || **7** Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Md Mg || οὕτω om. Le || ὑπὲρ ... σωτηρίας om. Le || **8** pro χρημάτων habent χρησίμων Lc Ld Md παρ' αὐτῆς χρησίμων Mk.

Aliter.

Κάστωρ ἐστὶ τετράπουν ζῷον ἐν λίμναις νεμόμενον. Τούτου λέγεται τὰ αἰδοῖα εἴς τινας θεραπείας χρήσιμα εἶναι. Καὶ εἴ ποτέ τις αὐτὸ διώκει, φεύγει μὲν τῇ τῶν ποδῶν ταχύτητι, εἴ πως ὁλόκληρον αὐτὸν φυλαξῃ. Ἐπὰν δὲ ἤδη καταλαμβάνηται, ἀποκόπτει αὐτοῦ τὰ αἰδοῖα καὶ ῥίπτει τῷ διώκοντι καὶ οὕτω τὴν σωτηρίαν αὐτοῦ πραγματεύεται.

Cod. Mh 55.

1 λίμαις cod. || **4** αὐτὸν pro αὑτόν cod. || **5** καταλαμβανόμενον cod. || αὐτοῦ cod. || καρίπτει cod. || **6** αὐτοῦ cod.

Ὁ μῦθος δηλοῖ ὅτι καὶ [τὰ] τῶν ἀνθρώπων οἱ φρόνιμοι ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας οὐδένα λόγον περὶ χρημάτων ποιοῦνται.

8 τὰ inclusi.

Aliter.

Κάστωρ, οἴδατε, λιμναῖον πέλει ζῷον,
ὃν θηρεύουσιν εἰς χρείαν τῶν αἰδοίων.
Οὗτος δὲ ὁλόκληρος τὸ πρῶτον θέει·
ἐπὰν δὲ αὐτῷ ὁ διώκων πελάσῃ,
τοὺς ὄρχεις ῥίψας, ὅλον τὸ σῶμα σῴζει.
  Σωτηρίας χάριν οὐδένα δεῖ λόγον
παρὰ τὰ χρήματα τοὺς φρονίμους ἔχειν.

Cod. Cd 54.

3 εἰ δὲ ὁλόκληρον τὸ πρῶτον θέλοι cod. uersum refeci || **4** αὐτῷ ὁ διώκων πελάσῃ nos αὐτὸς διώκων πελάσει cod. || **7** τοὺς φρονίμους ἔχειν πρὸς τὰ χρήματα cod. scripsi παρὰ, praeterea παρὰ τὰ χρήματα transposui.

155

Κηπουρὸς ⟨ἀρδεύων λάχανα⟩.

Κηπουρῷ τις ἐπιστὰς ἀρδεύοντι τὰ λάχανα ἐπυνθάνετο αὐτοῦ τὴν αἰτίαν δι' ἣν τὰ μὲν ἄγρια τῶν λαχάνων εὐθαλῆ τέ ἐστι καὶ στερεά, τὰ δὲ ἥμερα λεπτὰ καὶ μεμαρασμένα. Κἀκεῖνος ἔφη· « Ἡ γῆ τῶν μὲν μήτηρ ἐστί, τῶν δὲ μητρυιά. »

Οὕτω καὶ τῶν παίδων οὐχ ὁμοίως τρέφονται οἱ ὑπὸ μητρυιᾶς τρεφόμενοι τοῖς μητέρας ἔχουσιν.

Codd. Pa 111 Pb 118 Pc 63 Ma 84 Mb 78.

1 Κηπωρῷ Pb Pc || ἀρδεύοντι τὰ λάχανα ἐπιστὰς Ma || τὰ om. Pb Mb || ἐπύθετο Mb || **2** αὐτῷ Pc || δ' ἣν αἰτίαν Pb Pc || τὰ μὲν ἄλλα τῶν λαχάνων ἐνθαλῆ τέ ἐστι καὶ τὰ ἄλλα λεπτὰ Ma || εὐθανῆ τέ ἐστι καὶ ἄνθηρα Mb || **3** ἐστι om. Pa || μεμαραμένα Pc || **4** Κἀκεῖνος ἔφη Pb Καὶ εἶπεν Pa Ὁ δὲ ἔφη Ma || Καὶ ἡ γῆ, εἶπε Pc || Ὁ δὲ ἔφη ὅτι τῶν μὲν ἀγρίων ἡ γῆ μήτηρ ἐστί, τῶν δὲ ἡμέρων μητρυιά Mb || **5** μητρυά Pa Pb || ἐστι post μητρυιά Pb || **6** Ὅμοιος Mb || παιδίων Ma || ἀπὸ Mb || **7** μητρυᾶς Pa Pc || ὡς τοῖς μητέρα ἔχουσιν Ma τῶν ἐχόντων μητέρας Mb.

Digitized by Google

156

Κηπουρὸς καὶ κύων.

Κηπουροῦ κύων εἰς φρέαρ ἔπεσεν. Ὁ δὲ ἀνιμήσασθαι αὐτὸν βουλόμενος ἐκεῖ κατέβη. Ὁ δὲ κύων ἠπορημένος, ὡς προσῆλθεν αὐτῷ, οἰόμενος ὑπ᾽ αὐτοῦ βαπτίζεσθαι, ἔδακεν αὐτόν. Καὶ ὃς κακῶς διατεθεὶς ἔφη· « Ἀλλ᾽ ἔγωγε ἄξια πέπονθα· τί γάρ, σοῦ σεαυτὸν κατακρημνίσαντος, τοῦ κινδύνου σε ἀπαλλάξαι ἐπειρώμην; »

Πρὸς ἄνδρα ἀχάριστον εἰς τοὺς εὐεργέτας καὶ πρὸς ἀδικοῦντα ὁ μῦθος ἁρμόζει.

Codd. Pa 112 Pb 119 Pc 64 Pf 42 Pg 79 Ph 64 Ma 85 Mb 237 Mj 79 Cd 66.

1 Κηπωροῦ Pb Pf Mb Mj Cd || ἐνέπεσεν Pc Ph || **2** αὐτὸν om. Pg Cd || ἐκεῖ ... ἠπορημένος om. Pc || ἐπεὶ κατέβη, ὁ κύων Pa || ἐπεκατέβη Ma ὑπο- Pg ὑπε- Mb Cd || ἐκεῖ om. Pf Pg Ph Mj Cd || Ὁ δὲ ἐπαιορημένος Ma || ἀπορησάμενος (ἠπ- Mb) Pb Pg Mb || **3** ὡς .. αὐτῷ om. Ph || δοκῶν ὑπ᾽ αὐτοῦ βεβαπτίσθαι Pg Mb || ἀπ᾽ αὐτοῦ βαπτισθῆναι Pc || καταβαπτίζεσθαι Pf Pf Mj βεβαπτίσθαι Cd || **4** Καὶ ὣς Pa Ma Cd || **5** πέπονθα om. Pb, sed lacunae signum habet || τί γάρ σε αὐτὸν κατακρημνίσαντα κινδύνου Ph Mj τί γὰρ τὸν ἑαυτὸν κατακρημίσαντα τὰ κινδύνων Ma || σοῦ om. Pf Ph Mj || ἑαυτὸν Pb Mb Cd || τοῦ om. Pf Mb Cd || **6** ἀπαλλάττειν ἐβουλόμην Pb || **7** πρὸς τοὺς εὐεργέτας καὶ πρὸς ἀδικοῦντας Pa || πρὸς εὐεργέτας καὶ πρὸς τοὺς ἀδικοῦντας ὁ λόγος εὔκαιρος Pc || **7-8** Πρὸς ἄνδρα ἀχάριστον καὶ τὸν εὐεργέτην μᾶλλον προσβλάπτοντα (προσβλέποντα Pf) ὁ λόγος ἁρμόττει Pf Ph Mj Πρὸς (Ὁ λόγος ἐστὶ πρὸς Cd) ἄνδρα ἀχάριστον καὶ τοὺς εὐεργέτας ἀδικοῦντα (δικοῦντα Cd) Pg Cd. Ὁ μῦθος πρὸς ἄνδρα ἀχάριστον καὶ πρὸς ἀδικοῦντας Ma Πρὸς ἄνδρα ἀχάριστον καὶ τοὺς εὐεργέτας ἀδικοῦντα ὁ μῦθος Mb.

Aliter.

Κηπωροῦ κύων εἰς φρέαρ κατέπεσεν. Ὁ δὲ κηπωρὸς βουλόμενος αὐτὸν ἐκεῖθεν ἀνενεγκεῖν, κατῆλθε καὶ αὐτὸς εἰς τὸ φρέαρ. Οἰηθεὶς δ᾽ ὁ κύων ὡς κατωτέρω μᾶλλον

Codd. La 67 Lb 65 Lc 36 Le 65 Lf 67 Lg 36 Lh 28 Md 121 Me 80 Mg 89 Mi 95 Ml 83 Mm 85.

1 Κηπουροῦ et κηπουρός Lc Lg Md Mi Mm || Ὁ δὴ Mi || **2** ἀναγαγεῖν Md

Digitized by Google

αὐτὸν παραγέγονε καταδῦσαι, τὸν κηπωρὸν στραφεὶς ἔδακεν. Ὁ δὲ μετ' ὀδύνης ἐπανιών· « Δίκαια, φησί, πέπονθα· τί δήποτε γὰρ τὸν αὐτοχεῖρα σῶσαι ἐσπούδασα; »

Ὁ μῦθος πρὸς ἀδίκους καὶ ἀχαρίστους.

6 αὐτὸν αὐτοχεῖρα Mm || τὸν αὐτοχεῖρα ἑαυτὸν κατακρυμνίσαντα κινδύνου αὐτὸν ἀπαλλάξαι ἐσπούδασα; Me || 7 Ὁ μῦθος δηλοῖ πρὸς Lc Ὁ μῦθος ὅτι πρὸς Lb Le || οὐ δεῖ εὐεργεσίαν ποιῆσαι addit Le οὐ δεῖ ποιεῖν τι ἀγαθόν addit altera manus in Lg || Πρὸς ἄνδρα ἀχάριστον καὶ τὸν εὐεργέτην μᾶλλον βλάπτοντα ὁ λόγος ἁρμόττει Me.

157

Κιθαρῳδός.

Κιθαρῳδὸς ἀφυὴς ἐν κεκονιαμένῳ οἴκῳ συνεχῶς ᾄδων, ἀντηχούσης αὐτῷ τῆς φωνῆς, ἐνόμισεν αὐτὸν εὔφωνον σφόδρα εἶναι. Καὶ δὴ ἐπαρθεὶς ἐπὶ τούτῳ ἔγνω δεῖν καὶ εἰς θέατρον εἰσελθεῖν. Ἀφικόμενος δὲ ἐπὶ σκήνην καὶ πάνυ κακῶς ᾄδων λίθοις βαλλόμενος ἐξηλάθη.

Οὕτως καὶ τῶν ῥητόρων ἔνιοι ἐν σχολαῖς εἶναί τινες δοκοῦντες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφίκωνται, οὐδενὸς ἄξιοι εὑρίσκονται.

Codd. Pa 113 Pb 120 Pf 63 Ph 65 Ma 86 Mb 238 Me 84 Mj 80.

1 ἀφιεὶς Ma ἄμουσος Pb || οἴκῳ κενονιαμένῳ Pf Ph M || συνήθως Ma Mb || 2 ἀντηχούσης δὲ Pb || ἐνόμισεν ἑαυτὸν Mb ὥστε αὐτὸν Pa ὥστε αὐτὸν νομίσαι Pb ὥστε (ὡς Ma) νομίσαι αὐτὸν ceteri || ἄφωνον Mb || 3 εἶναι σφόδρα Pb Mb || Καὶ δὴ om. Ph καὶ δὲ Pa || ἐπὶ τούτῳ ἐπαρθεὶς Mb || ἔγνω δεῖν εἰς θέατρον (θεάτρῳ Mb) ἑαυτὸν ἐπιδοῦναι Ma Mb ἐπειρᾶτο τῷ (τῷ om. Ph) θεάτρῳ ἑαυτὸν ἐπιδοῦναι πρὸς τὸ ἐπιδείξασθαι Pf Ph Me Mj || 4 Ἀφικόμενος δὲ ἐπὶ τὸ δέξασθαι, κακῶς πάνυ ᾄδων Ma Mb || 5 κακῶς πάνυ Pf Ph Me Mj || λίθοις αὐτὸν ἐξεώσαντες (ἐξώσαντες Mj) ἀπήλασαν (ἀπέλασαν Mj ἀπέλυσαν Pf Ma Mb) Pf M || λίθοις ἐξωθεῖτο παρὰ τῶν συνειλεγμένων Ph || 6 Ὁ μῦθος δηλοῖ ὅτι οὕτω Mj || εἶναι om. Pa || δοκοῦντές τινες εἶναι (εἶναί τι Mb) Ma Mb || 7 ὅταν δὲ τὰς omisso ἐπὶ Ma || ἐπὶ τοὺς πολίτας Pb || οὐδενός εἰσιν ἄξιοι Ma Mb || 6-8 Οὕτω καὶ οἱ ἑαυτοὺς λογιζόμενοι εἶναι σοφούς, ἐπὶ δήμου (-μον Mj) ἐνδεικνύμενοι, οὐδενὸς ἄξιοι εὑρίσκονται Pf Ph Mj.

Digitized by Google

Aliter.

Κιθαρῳδὸς ἀφυὴς ἐν οἴκῳ κεκονιαμένῳ συνήθως ᾄδων, καὶ ἀντηχούσης αὐτῷ τῆς φωνῆς, ᾠήθη σφόδρα εὔφωνος εἶναι. Καὶ δὴ ἐπαρθεὶς ἐπὶ τούτῳ ἔγνω δεῖν καὶ θεάτρῳ ἑαυτὸν ἐπιδοῦναι. Ἀφικόμενος δ' ἐπιδείξασθαι καὶ κακῶς ᾄδων πάνυ, λίθοις αὐτὸν ἐξώσαντες ἀπήλασαν.

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ῥητόρων ἔνιοι ἐν ταῖς σχολαῖς δοκοῦντες εἶναί τινες, ὅταν ἐπὶ τὰς πολιτείας ἀφίκωνται, οὐδενὸς ἄξιοί εἰσιν.

Codd. La 100 Lb 67 Le 67 Lf 100 Lh 30 Mg 91 Ml 86.

5 ἐξεώσαντες Lh || ἀπώλεσαν Mg || **6** Ὁ μῦθος ὅτι Lb || **7** εἶναί τι Ml || ὅταν om. Le.

158

Κίχλα.

Ἔν τινι μυρσινῶνι κίχλα ἐνέμετο· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίστατο. Ἰξευτὴς δὲ παρατηρησάμενος ἐμφιλοχωροῦσαν ἰξεύσας συνέλαβε. Καὶ δὴ μέλλουσα ἀναιρεῖσθαι ἔφη· « Δειλαία εἰμί, ἥτις διὰ τροφῆς γλυκύτητα σωτηρίας στερίσκομαι. »

Ὁ λόγος πρὸς ἄνδρα ἄσωτον δι' ἡδυπάθειαν ἀπολωλότα εὔκαιρός ἐστιν.

Codd. Pa 83 Pb 87 Pc 45 Pe 51 Pf 42 Pg 55 Ph 44 Ma 66 Mb 51 Me 62 Mj 54 Ca 73.

1 μυρσινῶν ἢ Pa μυρσίνῳ Pb μυρσίνῃ Pe μυρρίνῃ Pg μυρίνῃ Mb Ca μυρσώνηχι Ma || **2** Ὁ ἰξευτὴς Pa || Ἰξοτὴς δέ τις Pe || **3** ἐμφιλοχωροῦσαν om. Pe Ma || ἰξεύσας om. Pf Ph Me Mj || συνέλαβεν αὐτήν Pe || Ἡ δὲ μέλλουσα Pe || μέλλουσαν Pa || **4** εἰμί om. Pg Ma Mb Ca || ἐγὼ ἥτις Pe Pg Ma Mb Ca || γλυκυτάτης Pb || **5** ζωῆς Pb Pe Ma || ἐστέρημαι Pe || **6** Ὁ μῦθος δηλοῖ πρὸς Mj || **6-7** Ὁ λόγος εὔκαιρος πρός... ἀπολωλεκότα ἑαυτόν Pb Πρὸς ἄνδρα ἀσύνετον δι' ἡδυπάθειαν ἀπολολῶτός ἐστι Pe Πρὸς ἄνδρα... ὁ λογος εὔκαιρος Pc Pf Me Ὁ λόγος πρὸς ἄσωτον ἄνδρα (ἄν- om. Pg) καὶ ἡδυπαθῆ Pg Ca Πρός... ἀπολλύμενον Ph Ὁ λόγος δηλοῖ πρός... ἀπολωλότα εὐκαίρως Ma cuius epim. fabulae sequenti annexum est Πρὸς ἄνδρα ἄσωτον καὶ ἡδυπαθῆ ὁ λόγος Mb.

Digitized by Google

159

Κλέπται καὶ ἀλεκτρυών.

Κλέπται εἴς τινα οἰκίαν εἰσελθόντες οὐδὲν μὲν ἄλλο εὗρον, μόνον δὲ ἀλεκτρυόνα, καὶ τοῦτον λαβόντες ἀπηλλάγησαν. Ὁ δὲ μέλλων ὑπ' αὐτῶν θύεσθαι ἐδέετο ὅπως αὐτὸν ἀπολύσωσι, λέγων χρήσιμον ἑαυτὸν τοῖς ἀνθρώποις εἶναι νύκτωρ αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείροντα. Οἱ δὲ ὑποτυχόντες ἔφασαν· « Ἀλλὰ καὶ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων ἡμᾶς οὐκ ἐᾷς κλέπτειν. »

Ὁ λόγος δηλοῖ ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἠναντίωται ἅτινα τῶν χρηστῶν ἐστιν εὐεργετήματα.

Codd. Pa 114 Pb 121 Pc 65 Pf 64 Pg 80 Ph 66 Ma 87 Mb 240 Me 85 Mj 81 Cd 67.

1 οἶκον Pg Ma || ἐλθόντες εὗρον οὐδὲν Pb || οὐδὲν ἄλλο εὗρον, εἰ μὴ μόνον (μόνον om. Pg) ἀλεκτρυόνα Pc Pg || καὶ (καὶ om. Me) μηδὲν ἄλλο (ἄλλον Mj) εὑρηκότες ἢ μόνον ἀλεκτρυόνα, τοῦτον λαβόντες ἀπῄεσαν Pf Ph Me Mj || οὐδὲν (οὐδένα Mb Cd) εὗρον, εἰ μὴ ἀλεκτρυόνα (μόνον addit Cd) Ma Mb Cd || **2** ἀπηλλάγεισαν Pb ἀπῄεσαν Pg Mb ἐπίεσαν Ma ἀπίεσαν Cd || **3** μέλλων ἂν Cd || θύεσθαι ὑπ' αὐτῶν Pb || ὑπ' αὐτῶν om. Pf Ph Mj || ἐδέετο (αἰδεῖτο Ma) αὐτῶν (αὐτὸν Ma) Pg Ma Mb Cd || ὅπως ἂν Pb || **4** λέγων om. Pa || χρήσιμον ὄντα τοῖς ἀνθρώποις καὶ νύκτωρ ... ἐγείρειν Pa || ἑαυτὸν χρήσιμον τοῖς ἀνθρώποις εἶναι λέγων Pc || λέγων χρήσιμος εἶναι Ph || χρήσιμον ἑαυτὸν λέγων τοῖς ἀνθρώποις Cd || ἑαυτοῖς pro ἑαυτὸν Ma || αὐτὸν (ἑαυ- Mj) εἶναι τοῖς ἀνθρώποις Pf Me Mj || ὑπάρχειν pro εἶναι Pg Mb || **5** νυκτὸς Pg Ma Mb || ἐγείροντα πρὸς τὰ ἔργα Pb || ἐπὶ ἔργα Ma Mb Cd || ἐγείραντα Mb διεγείρων Ph || ὑποτυχόντες om. Pc Pf Pg Ph Mh || **6** ἔφησαν Pb Pf Ma Me Mj Cd || Ἀλλὰ om. Pg Mb || καὶ om. Cd || Τοιγαροῦν μᾶλλόν σε (σε μᾶλλον Me) θύσομεν pro Ἀλλὰ ... θύομεν Pf Ph Me Mj || μάλιστα Pa Pc || **7** ἐξ ἑτέρων ἡμᾶς Pa Pc || κλέπτειν ἐξ ἑτέρων Pb || **8** ἠναντίωται τὰ (ἃ Pc) διὰ τῶν χρηστῶν (εἰσιν Pc) εὐεργετήματα Pa Pc || ἐναντιοῦται ἃ Pg || ἐναντιοῦται ἃ τοῖς χρηστοῖς ἐστιν εὐεργετήματα Me || **8-9** Ὁ λόγος (μῦθος Mj) δηλοῖ (hoc initium om. Ph) ὅτι τὰ εὔχρηστα εὐεργετήματα τοῖς πονηροῖς ἠναντίωται Pf Ph Mj Ὁ λόγος δηλοῖ ὅτι ταῦτα ἃ τῶν ἀχρήστων ἐστὶν εὐεργετήματα Cd || Epim. deest in Ma Mb.

Digitized by Google

Aliter.

Κλέπται εἴς τινα εἰσελθόντες οἰκίαν οὐδὲν εὗρον ὅτι μὴ ἀλεκτρυόνα, καὶ τοῦτον λαβόντες ἀπῄεσαν. Ὁ δὲ μέλλων ὑπ' αὐτῶν θύεσθαι ἐδεῖτο ὡς ἂν αὐτὸν ἀπολύσωσι, λέγων χρήσιμος εἶναι τοῖς ἀνθρώποις νυκτὸς αὐτοὺς ἐπὶ τὰ ἔργα ἐγείρων. Οἱ δὲ ἔφασαν· « Ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύομεν· ἐκείνους γὰρ ἐγείρων κλέπτειν ἡμᾶς οὐκ ἐᾷς. »

Ὁ μῦθος δηλοῖ ὅτι ταῦτα μάλιστα τοῖς πονηροῖς ἐναντιοῦται ἃ τοῖς χρηστοῖς ἐστιν εὐεργετήματα.

Codd. La 101 Lb 68 Le 68 Lf 101 Mg 92 Ml 87.

5 ἔφησαν Lb Le Lf || σε om. Le || 7 δηλοῖ ὅτι om. Lb || μάλιστα om. Le.

160

Κοιλία καὶ πόδες.

Κοιλία καὶ πόδες περὶ δυνάμεως ἤριζον. Παρ' ἕκαστα δὲ τῶν ποδῶν λεγόντων ὅτι τοσοῦτον προέχουσι τῇ ἰσχύϊ ὡς καὶ αὐτὴν τὴν γαστέρα βαστάζειν, ἐκείνη ἀπεκρίνατο· « Ἀλλ', ὦ οὗτοι, ἐὰν μὴ ἐγὼ τροφὴν ὑμῖν παράσχωμαι, οὐδὲ ὑμεῖς βαστάζειν δυνήσεσθε. »

Οὕτω καὶ ἐπὶ τῶν στρατευμάτων τὸ μηδὲν ἐπὶ τὸ πολὺ πλῆθος, ἐὰν μὴ οἱ στρατηγοὶ ἄριστα φρονῶσιν.

Codd. Pa 122 Pb 129 Pc 70 Pf 68 Mb 73 Me 93 Mf 78 Mj 85.

2 λεγόντων ὡς, omisso τοσοῦτον Mf || ὅτι τοσοῦτον om. Me || προσέχουσι Pa || προέχουσι τῇ ἰσχύϊ τοσοῦτον ὥστε Pb || 4 'Αλλ' om. Pb || ὑμῖν παράσχωμαι nos προσλάβωμαι, omisso ὑμῖν Pa Pb Pc || ἐὰν μὴ τροφὴν ὑμῖν (ἡμῖν Mb) ἐγὼ παράσχοιμι Pf M || 5 ὑμεῖς ἑαυτοὺς (ἐμὲ Mj) βαστάζειν Pc Mj || 6 στρατευμάτων ἀδύνατοί εἰσιν οἱ στρατιῶται, ἂν Pb || μηδὲν εἶναι τὸ πλῆθος omisso τὸ et ἐπὶ τὸ πολὺ Pf Mb Me Mf.

161

Κολοιὸς καὶ ἀλώπηξ.

Κολοιὸς λιμώττων ἐπί τινος συκῆς ἐκάθισεν· εὑρὼν δὲ

Codd. Pa 118 Pb 125 Pf 66 Pg 83 Ph 68 Me 92 Mf 77 Mj 83.

1 ἐκάθευδεν Pf Ph M || καὶ τοὺς ὀλύνθους εὑρὼν Pg.

Digitized by Google

τοὺς ὀλύνθους μηδέπω πεπείρους προσέμενεν ἕως σῦκα γένωνται. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν ἐγχρονίζοντα καὶ τὴν αἰτίαν παρ᾿ αὐτοῦ μαθοῦσα ἔφη· « Ἀλλὰ πεπλάνησαι, ὦ οὗτος, ἐλπίδι προσέχων, ἥτις βουκολεῖν μὲν οἶδε, τρέφειν δὲ οὐδαμῶς. »

[Πρὸς ἄνδρα φιλόνεικον.]

2 ὡς Pf Me Mf || συκαῖ Pg || **3** γίνωνται Pf Mj || **4** παρ᾿ αὐτοῦ om. Pf Ph Me Mf Mj || ἔφη πρὸς αὐτόν libri, exceptis Pa Pb || **5** ἤτι Me || παρηγορεῖν μὲν Pg || **7** Ὁ λόγος πρὸς ... Pg || ὁ λόγος εὔκαιρος addit in fine Pb || Πρὸς ἄνδρα ἐν φιλονεικίαις φρεναπατούμενον ὁ λόγος εὔκαιρος Pf Ph M. Sed illa epimythia non conueniunt fabulae. Fortasse legendum est Πρὸς ἄνδρα πλεονεξίᾳ φρένα ἀπατώμενον ὁ λόγος εὔκαιρος.

162

Κολοιὸς καὶ κόρακες.

Κολοιὸς τῷ μεγέθει τῶν ἄλλων κολοιῶν διαφέρων, ὑπερφρονήσας τοὺς ὁμοφύλους, παρεγένετο πρὸς τοὺς κόρακας καὶ τούτοις ἠξίου συνδιαιτᾶσθαι. Οἱ δὲ ἀμφιγνοοῦντες αὐτοῦ τό τε εἶδος καὶ τὴν φωνὴν παίοντες αὐτὸν ἐξέβαλον. Καὶ ὃς ἀπελαθεὶς ὑπ᾿ αὐτῶν ἧκε πάλιν πρὸς τοὺς κολοιούς. Οἱ δὲ ἀγανακτοῦντες ἐπὶ τῇ ὕβρει οὐ προσεδέξαντο αὐτόν.

Codd. Pa 115 Pb 122 Pc 66 Pf 65 Pg 81 Ph 67 Ma 88 Me 91 Mf 76 Mj 82 Cd 68.

1 ὁπόσῳ τῶν ἄλλων μεγέθει κολοιῶν ὑπερφέρων Pa || πόσῳ μεγέθει Pb Pg Ma Cd μεγέθει sine τῷ Pf Ph Me Mf Mj || **2** τοῖς ὁμοφύλοις Cd || **3** τούτους Pa Ph || ἀμφιγνόντες Pb Pc Pg Ma ἀγνοοῦντες Ph Me Mf Mj ἐπιγνῶντες Cd || **4** αὐτῷ Pa αὐτὸν Pf || τε om. Pf Ph Me Mf Mj || τὴν φωνὴν αὐτοῦ Cd || αὐτὸν om. Cd || ἐξέβαλον ἔξω Ma ἔξω ἔβαλον (ἔβαλλον Pg) Pg Cd || **5** Καὶ ὡς Pa Pf Ph Me Cd || Καὶ ἀπελαθαθεὶς Mj signum lacunae est post Καὶ || ἀπελασθεὶς Ma || ἀπ᾿ Pf Pg M || ἦλθε Pg Ma Cd || πάλιν om. Cd || εἰς Pb ἐπὶ Pg || **6** ἀγανακτήσαντες Ma || παρεδέξαντο Ma.

Digitized by Google

Οὕτω τε συνέβη αὐτῷ τῆς ἐξ ἀμφοτέρων διαίτης στερηθῆναι.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τὰς πατρίδας ἀπολιπόντες καὶ τὰς ἀλλοδαπὰς προκρίνοντες οὔτε ἐν ἐκείναις εὐδοκιμοῦσι διὰ τὸ ξένοι εἶναι καὶ ὑπὸ τῶν πολιτῶν δυσχεραίνονται διὰ τὸ ὑπερπεφρονηκέναι αὐτούς.

7 Οὕτω ... αὐτῷ om. Cd || δὲ Mj || αὐτὸν Pf Pg Me Mf Mj || ἐξ om. Cd μετ' Halm || **8** ὑστερηθῆναι Cd || **9** Ὁ μῦθος δηλοῖ ὅτι οὕτω.. Mj || ἔνιοι pro οἱ Mj || ἀπολιμπάνοντες Pb Pg καταλιπόντες Cd || **10** τὴν ἀλλοδαπὴν Pb Pc Cd τῆς — πῆς Pg || οὔτε ἐν ἐκείνοις (-ναις Pg -νῃ Cd) εὐδοκιμοῦσι καὶ ὑπὸ (παρὰ Pg) τῶν ἰδίων πολιτῶν ἀποστρέφονται Pb Pg Cd || **11** ξένοι Pc ξένους ceteri || **12** καὶ pro διὰ Pa || **9-12** Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι τὰς πατρίδας ἀπολιπόντες καὶ τὰς ἀλλοδαπὰς προκρίνοντες διὰ τὸ ὡς ξένους μὴ συμπολιτεύεσθαι οὔτε εἰς μίαν εὐδοκιμοῦσιν. Pf Ph Me Mf Mj Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τὰς ἀλλοτρίας προπροκρίνοντες οὔτε ἐν ἐκ hic desinit Ma.

163

Κολοιὸς καὶ ὄρνεα.

Ζεὺς βουλόμενος βασιλέα ὀρνέων καταστῆσαι προθεσμίαν αὐτοῖς ἔταξεν ἐν ᾗ παραγενήσεται. Κολοιὸς δὲ συνειδὼς ἑαυτῷ δυσμορφίαν περιιὼν τὰ ἀποπίπτοντα τῶν ὀρνέων πτερὰ ἀνελάμβανε καὶ ἑαυτῷ περιῆπτεν. Ὡς δὲ ἐνέστη ἡ ἡμέρα, ποικίλος γενόμενος ἧκε πρὸς τὸν Δία. Μέλλοντος δὲ αὐτοῦ διὰ τὴν εὐπρέπειαν βασιλέα αὐτὸν χειροτονεῖν, τὰ ὄρνεα ἀγανακτήσαντα περιέστη καὶ ἕκαστον τὸ ἴδιον

Codd. Pa 94 Pb 101 Pc 51 Pf 50 Pg 65 Ph 52 Ma 73 Me 65 Mf 57 Mj 65.

1 ὀρνέοις Pb || καταστήσειν Ma || **2** ἔταξε μὴ παραγενήσεσθαι Pa || παραγενήσονται Pb Pc Pg Ma παραγενήσονται (-σεται Ph) πρὸς αὐτόν Ph Me Mf Mj || Ὁ κολοιὸς δὲ Pf Me Mf Mj || **3** ἑαυτῷ om. Pb || περιάγων Pf Ph M || τὰ om. Pf || ὑποπίπτοντα Pb || **4** πτίλα Pb || ἀνελάμβανε ... ἡμέρα om. Mf || ἐλάμβανε Pf Ph M || περιετίθει Pb ἐν αὐτῷ περιῆπτεν Ma || Ὥς τε Ma || **5** Μέλλοντος δὲ τοῦ Διός Pf Ph M || **6** χειροτονῆσαι Pf Ph Mj -σειν Me Mf || τοῦτον χειροτονῆσαι διὰ τὴν εὐπρέπειαν Ma || **7** περιέστησαν Ma.

Digitized by Google

πτερὸν ἀφείλετο. Οὕτω τε συνέβη αὐτῷ ἀπογυμνωθέντι πάλιν κολοιὸν γενέσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ χρεωφειλέται, μέχρι μὲν τὰ ἀλλότρια ἔχουσι χρήματα, δοκοῦσί τινες εἶναι· ἐπειδὰν δὲ αὐτὰ ἀποδώσωσιν, ὁποῖοι ἐξ ἀρχῆς ἦσαν εὑρίσκονται.

8 πτερὸν om. Ma || ἀφείλατο Pb Ma || Καὶ οὕτως Pf Mj Καὶ οὕτω Ph Ma Me Mf || αὐτὸν ἀπογυμνωθέντα Pb || **9** ὥστε τὸ πάλιν Pc || πάλιν om. Pf Ph Me Mf Mj || κολοιῷ Pf Me Mf Mj || ἐπὶ τὸ πὸν μεῖναι pro πάλιν κ. γ. Ma || **10** χρεωφειλέτες Ma || μὲν om. Pg || **12** τὰ αὐτὰ Pa || ἀποδώσουσι Pb Pc Ma || ὁποῖοι ἂν Ma || **10-12** Οὕτω (Ὁ μῦθος δηλοῖ ὅτι οὕτω Mj) καὶ τῶν ἀνθρώπων ἔνιοι ἐν ἀλλοτρίοις χρήμασιν ἐγκαυχώμενοι δοκοῦσιν αὐχεῖν· ἐπειδὰν δὲ ταῦτα ἀπαιτηθῶσιν, ὁποῖοι τὸ πρότερον ἦσαν εὑρίσκονται Pf Ph Me Mf Mj.

Aliter.

Ζεὺς βουλόμενος βασιλέα ὀρνέων καταστῆσαι, προθεσμίαν αὐτοῖς ἔταξεν ἐν ᾗ παραγενήσονται πάντα, ὅπως τὸν ὡραιότατον πάντων καταστήσῃ ἐπ' αὐτοῖς βασιλέα. Τὰ δὲ παραγενόμενα ἐπί τινα ποταμὸν ἀπενίζοντο. Κολοιὸς δέ, συνιδὼν ἑαυτὸν δυσμορφίᾳ περικείμενον, ἀπελθὼν καὶ τὰ ἀποπίπτοντα τῶν ὀρνέων πτερὰ συλλεξάμενος, ἑαυτῷ περιέθηκε καὶ προσεκόλλησε. Συνέβη οὖν ἐκ τούτου εὐειδέστερον πάντων γεγονέναι. Ἐπέστη οὖν ἡ ἡμέρα τῆς προθεσμίας καὶ ἦλθον πάντα τὰ ὄρνεα πρὸς τὸν Δία.

Codd. Ca 78 Cb 49 Cd 46 Ce 51 Cf 55 Ch 56 Mc 48 Md 53 Mh 48 Mi 88 Ml 75 Mm 69.

1 καταστῆσαι ὀρνέων Md Mh Mi Mm || **2** αὐτῶν ἔταξεν Cb || ἔδωκεν Ca ἐπέταξεν Md Mi || ἐν ᾧ Mc || πάντες Cb Ch πάντες πρὸς αὐτόν Md Mh Mi Mm || **3** ὡραιότερον Ce Md Mh Mi Mm || τὸν παρ' αὐτῶν πάντων ὡραιότερον Cf || πάντων ὡραιότατον Ml || πάντων om. Cb Mc || καταστήσει Cb Ch Cf Mc καταστῆσαι Mh || ἐπ' om. Cb Cd Mc || ἐπ' αὐτοὺς Md Mh Mi Mm || Τὰ δὲ ... ἀπενίζοντο Md Mh Mi Mm om. ceteri || **4** Κολοιὸς δὲ ἐπὶ τούτοις (τοῦτο Ml) δυσφορῶν, ἀπελθὼν Ce Cf Ml || **5** περικείμενον δυσμορφίᾳ Md Mh Mi Mm || δυσμορφίαν Ch Mc || ἃ ἀπεθῶν Cb || **6** ἀποπίπτον Cd || παρασυλλεξάμενος pro πτερὰ σ- Md Mi || **7** παρέθηκεν Cf περιέθηκέ τε Md Mh Mi Mm || προσεκώλυσε Cb Cd Ce Mc -κόλυσε Cf Mh || Συνέβη γοῦν ἐκ τούτων απάντων εὐειδέστερον τοῦτον γενέσθαι Cd || γοῦν Mh || αὐτῷ ἐκ τούτων (τούτου Mc) Cb Mc || **8** γενέσθαι Cf Md Mh Mi Ml Mm γίγ- Ch || Ὡς οὖν ἐπέστη Mc || Τῆς οὖν προθεσμίας παρελθούσης, ἦλθον Mh || οὖν om. Cb || **9** καὶ ante ἦλθον om. Cb Mc || ἦλθον οὖν πάντα Mh.

Digitized by Google

῾Ο δὲ κολοιὸς ποικίλος γενόμενος ἧκε καὶ αὐτός. Τοῦ δὲ Διὸς μέλλοντος χειροτονῆσαι αὐτοῖς τὸν κολοιὸν βασιλέα διὰ τὴν εὐπρέπειαν, ἀγανακτήσαντα τὰ ὄρνεα, ἕκαστον τὸ ἴδιον αὐτοῦ πτερὸν ἀφείλετο. Οὕτω τε συνέβη αὐτῷ ἀπογυμνωθέντι κολοιὸν πάλιν γενέσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ χρεωφειλέται, μέχρι μὲν τὰ ἀλλότρια ἔχουσι χρήματα, δοκοῦσί τινες εἶναι, ἐπειδὰν δὲ αὐτὰ ἀποδώσωσιν, ὁποῖοι ἐξ ἀρχῆς ἦσαν εὑρίσκονται.

10 ῾Ο δὲ κ. ... αὐτός om. Cb Cf Ch Md Mh Mi Ml Mm || καὶ οὗτος Ca || **11** Διός om. Mh || χειροτονεῖν C (praeter Ca) Mc Mh || αὐτοῖς om. Mh || χειροτονεῖν, χειροτονεῖ αὐτοῖς Cf || **12** ἀγανακτήσαντα οὖν Ce Cf || αὐτοῦ (-τῶν Cd Mc) τὸ ἴδιον Cb Cd Mc || τὸ οἰκεῖον πτερὸν (τῶν οἰκείων πτερῶν Mm) ἀφείλετο (-λατο Mi) ἐξ αὐτοῦ Md Mh Mi Mm || **13** πτερὸν αὐτοῦ Cf Ml || ἀφείλατο Ce Cf Ch ἀνείλατο Cb Mc -λετο Cd || pro Οὕτω .. γενέσθαι habent καὶ ὁ (ὁ om. Cd) κολοιὸς πάλιν ἦν (ἦν πάλιν Cd Md Mi Mm) κολοιός Cb Cd Ch Cf Mc Md Mh Mi Mm, καὶ ὁ κολοιὸς πάλιν ἔμεινε ὡς ἦν ἐξ ἀρχῆς Ce || **15** ῾Ο μῦθος δηλοῖ ὅτι Ch Mc || οὕτως (῞Οτι οὕτως Cb) πολλοὶ (καί τινες pro πολλοὶ Cd) τῶν ἀνθρώπων χρεωφειλέται μέχρις ἂν κατέχωσι τὰ ἀλλότρια χρήματα Cb Cd Ch Mc || ῾Ο μῦθος οὗτος δηλοῖ ὅτι πολλοὶ τῶν ἀνθρώπων χρεοφειλετῶν μέχρις ἂν τὰ ἀλλότερα κατέχωσι χρήματα Cf || ῾Ο μῦθος δηλοῖ ὅτι καὶ (οὕτω καὶ Mh) οἱ χρεωφειλέται καὶ οἱ ἐπικτήτους προσκτώμενοι πλούτους, μέχρις ἂν κατέχωσι τὰ ἀλλότρια, δοκοῦσιν εἶναί τινες Md Mh Mi Mm || ῾Ο μῦθος δηλοῖ ὅτι πολλοὶ τῶν ἀνθρώπων μέχρις ἂν τὰ ἀλλότρια κατέχωσι Ml || **16** ἐπὰν δὲ Cb Cd Ch Mc Md Mh Mi Mm ὅταν δὲ Cf Ml || **17** αὐτὰ om. Md || ἀποδῶσιν Ml ἀπαιτηθῶσιν Md Mh Mi Mm || ὁποῖοι (ὁποῖοι om. Cd) ὑπῆρχον πρότερον φαίνονται (τοιοῦτοι γίνονται Cf γίγνονται πάλιν Ch τοιοῦτοι πάλιν γίνονται Ml) Cb Cd Cf Ch Mc Ml ὁποῖοι ἦσαν πρότερον γιγνώσκονται (γιγνώσκονται πρότερον Md Mi γίνονται πρότερον Mm) Md Mh Mi Mm || **15-17** ῾Ο μῦθος δηλοῖ πολλοὶ τῶν ἀνθρώπων δι' ἀλλοτρίων χρημάτων ἐπὶ πολὺ ἐμφανίζονται· ὅταν δὲ τὰ ξένα ἀρθῶσιν ἀπ' αὐτῶν, τότε μένουσιν ὡς καὶ πρόην ἄποροι Ce.

Aliter.

Ζεύς, βουλόμενος καταστῆσαι βασιλέα ὀρνέων, προθεσμίαν αὐτοῖς ἔταξεν ἐν ᾗ παραγενήσονται πάντα, ὅπως τὸν ὡραιότατον πάντων καταστήσῃ βασιλέα αὐτοῖς. ῾Ο δὲ κολοιὸς συνιδὼν ἑαυτὸν δυσμορφίᾳ περικείμενον, ἀπελθὼν ὅπου τὰ λοιπὰ ὄρνεα ἐλούετο, τὰ πίπτοντα ἐκείνοις πτερὰ συλλέξας, ἑαυτῷ περιέθηκε καὶ συνήρμοσεν αὐτά. Συνέβη

Cod. Mk 52.

2 ἐν ᾧ cod. || **4** ἑαυτῷ cod. || **5** τὰ πίπτοντα ἐκείνοις πτερὰ nos αὐτῶν πιπτώτων ἐκείνοις πτερῶν cod.

Digitized by Google

οὖν ἐκ τούτου ὡραιότερον πάντων φανῆναι τῷ Διὶ ἐν τῇ ἡμέρᾳ τῆς προθεσμίας. Μέλλοντος οὖν τοῦ Διὸς χειροτονεῖν βασιλέα τούτοις τὸν κολοιὸν διὰ τὴν εὐπρέπειαν, ἀγανακτήσαντα τὰ ὄρνεα ἕκαστον αὐτῶν τὸ ἴδιον πτερὸν ἔλαβε, καὶ ὁ κολοιὸς πάλιν ἦν κολοιός.

Ὁ μῦθος δηλοῖ ὅτι οὕτως πολλοὶ τῶν ἀνθρώπων χρεωφειλέται, μέχρις ἂν κατέχωσι τὰ ἀλλότρια χρήματα, δοκοῦσιν εἶναί τινες· ἐπειδὰν δὲ αὐτὰ ἀποδώσωσιν, ὁποῖοι ὑπῆρχον πρότερον φαίνονται.

Aliter.

Ἶρις, ἡ τῶν θεῶν ἄγγελος, πᾶσι πετεινοῖς ἐκήρυξεν· « Εἴ τις ὑμῶν κρείττων εἰς κάλλος φανῇ, οὗτος πτηνῶν πάντων βασιλεύσει ὑπὸ τοῦ Διός. » Ἐπισυνηγμένων δὲ πάντων ὀρνέων εἰς τὴν τῆς Στυγὸς κρήνην καὶ ἀπολουομένων, κολοιός, υἱὸς κορώνης γέρων, πάντων ὀρνέων τὰ πτερὰ πρὸς ἑαυτὸν ἁρμοσάμενος, ἦλθεν ἀετοῦ κρείσσων. Ὁ Ζεὺς δὲ τὸ κάλλος θαμβηθεὶς τὴν νίκην τούτῳ παρέχειν ἔμελλεν, εἰ μὴ χελιδὼν Ἀθηναία τοῦτον ἤλεγξε, τὸ πτερὸν αὐτῆς ἐκσπάσασα. Ταὐτὸ δὲ καὶ τῶν λοιπῶν ὀρνέων ποιησάντων, διεγνώσθη κολοιὸς ὤν.

Ὅτι ὄνειδός ἐστιν ἀνθρώπῳ ἐξ ἀλλοτρίου πλούτου κοσμεῖσθαι ἑαυτόν, ὅτι κατάδηλος πᾶσι καὶ φανερὸς γίνεται.

Cod. Ba 59.

1 ὁ τῶν θεῶν cod. || 8 πτερὸν αὐτοῦ cod. || **12** πᾶς εἰ pro πᾶσι cod. || γένηται cod.

Aliter.

Πρόσταγμα παρὰ τοῦ Διὸς ἐξῆλθεν ἐν τῷ ποταμῷ διέλθωσι καὶ λουθῶσι καὶ θεάσῃ αὐτῶν τὴν καλλονήν. Ὁ δὲ Ζεὺς τοῦτο τὸ δόγμα ἐπιθείς, ἦλθον πάντα τὰ ὄρνεα λουθῆναι ἐν τῷ ποταμῷ καὶ λουόμενα ἔπιπτον τὰ πτερὰ τῶν ὀρνέων. Ὁ δὲ κολοιὸς καὶ αὐτὸς ἀπελθὼν λουθῆναι ἤθελεν ὁμοιωθῆναι καὶ τοῖς λοιποῖς καὶ εὐειδέσιν ὀρνέοις· ἐκ τῶν πιπτόντων ὀρνέων τὰ πτερὰ περισωρεύσας περιεβάλλετο ἑαυτόν, ἵνα φαίνῃ καὶ αὐτὸς τῷ Διὶ ὡς τὰ λοιπὰ ὄρνεα. Ἄνεμος δὲ φυσήσας ἔρριψε τὰ πτερὰ τοῦ κολοιοῦ καὶ πάλιν κολοιὸς τοῖς πᾶσιν ὤφθη καὶ ᾐσχύνθη κολοιὸς ἔκτοτε φανείς· ἐκ τούτου οὐδεὶς ὅτι τῶν πλουσίων ἐμυήθη.

Ὅτι δεῖ τὸν καθένα οἷος καὶ ὑπάρχει οὕτως καὶ φαίνεσθαι καὶ μή, πένης ὤν, φαίνεσθαι πλούσιος.

Cod. Mo 152.

11-13 ἐκ τούτου ... πλούσιος corrupta sunt.

Digitized by Google

164

Κολοιὸς καὶ περιστεραί.

Κολοιὸς ἰδὼν περιστερὰς ἔν τινι περιστεροτροφείῳ καλῶς τρεφομένας, λευκάνας ἑαυτὸν ἧκεν ὡς καὶ ἀπὸ τῆς αὐτῆς διαίτης μεταληψόμενος. Αἱ δέ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι, προσίεντο· ἐπειδὴ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα ἀμφιγνοήσασαι αὐτοῦ τὴν φωνὴν ἐξήλασαν αὐτόν. Καὶ ὃς ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς ἐπανῆλθε πάλιν πρὸς τοὺς κολοιούς· κἀκεῖνοι οὐ γνωρίζοντες αὐτὸν διὰ τὸ χρῶμα τῆς μετ' αὐτῶν διαίτης ἀπεῖρξαν αὐτόν. Οὕτω τε δυοῖν ἐπιθυμήσας οὐδὲ μιᾶς ἔτυχεν.

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τοῖς ἑαυτῶν ἀρκεῖσθαι, λογιζομένους ὅτι ἡ πλεονεξία πρὸς τῷ μηδὲν ὠφελεῖν πολλάκις καὶ τὰ προσόντα ἀφαιρεῖται,

Codd. Pa 121 Pb 128 Ph 69.

1 τροφείῳ Pb περιστερῶνι Ph || **2** ὡς τῆς Pb ὡς καὶ αὐτὸς ἀπὸ τῆς Ph || **3** μὲν om. Pa || ἡσύχαζον Pa || **4** εἶναι αὐτὸν Pb || ἐπεὶ Ph || **5** ἀμφιγνοήσασαι nos ἀμφιγνώσασαι Pa Ph || αὗται γνωρίσασαι Pb || **7** ἀπῆλθε Pb Ph || εἰς Pb || **9** ἀπεῖξαν Pa || ἀπεῖρξαν αὐτὸν τῆς μετ' αὐτῶν διαίτης Ph || Οὕτω δὲ τοῖν δυοῖν ἐπιτυχεῖν ζητῶν οὐδεμίας Pb || ἐπιθυμήσας Ph ἐπιθυμῆσαι ζητῶν Pa || **11** Ὅτι δεῖ καὶ ἡμᾶς τοῖς.. Ph || **12** πρὸς τὸ Pa.

Aliter.

Κολοιὸς ἔν τινι περιστερεῶνι περιστερὰς ἰδὼν καλῶς τρεφομένας, λευκάνας ἑαυτὸν ἦλθεν ὡς καὶ αὐτὸς τῆς αὐτῆς διαίτης μεταληψόμενος. Αἱ δέ, μέχρι μὲν ἡσύχαζεν, οἰόμεναι περιστερὰν αὐτὸν εἶναι, προσίεντο· ἐπεὶ δέ ποτε ἐκλαθόμενος ἐφθέγξατο, τηνικαῦτα τὴν αὐτοῦ γνοῦσαι φύσιν, ἐξήλασαν παίουσαι. Καὶ ὃς ἀποτυχὼν τῆς ἐνταῦθα τροφῆς ἐπανῆκε πρὸς τοὺς κολοιοὺς πάλιν. Κἀκεῖνοι διὰ

Codd. La 105 Lb 72 Le 72 Lf 105 Me 89 Mf 75 Mg 96 Ml 90.

2 ἧκεν Lb Le Me Mf || **3** ἡσύχαζεν om. Le || **4** περιστερὰν οἰόμεναι Le || αὐτὸν om. Le Mg || οὐδὲν ἔλεγον pro προσίεντο Mg || ἐπειδὰν δὲ Ml || πότε ἐκλαθόμενος om. Mg || **6** παίουσαι ἐξήλασαν Me Mf || **7** ἐπανῆλθεν Lb Le || εἰς Le.

Digitized by Google

τὸ χρῶμα αὐτὸν οὐκ ἐπιγνόντες, τῆς μεθ' αὐτῶν διαίτης ἀπεῖρξαν, ὥστε δυοῖν ἐπιθυμήσαντα μηδετέρας τυχεῖν.

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ καὶ ἡμᾶς τοῖς ἑαυτῶν ἀρκεῖσθαι, λογιζομένους ὅτι ἡ πλεονεξία, πρὸς τῷ μηδὲν ὠφελεῖν, ἀφαιρεῖται καὶ τὰ προσόντα πολλάκις.

8 ἐξεπιγνόντες pro οὐκ ἐπιγνόντες Lf || **9** ἐπιθυμήσαντες Ml || **10** Ὁ μῦθος ὅτι Lb || **11** πρὸς τὸ Lf Ml.

165

Κολοιὸς φυγάς.

Κολοιόν τις συλλαβὼν καὶ δήσας αὐτοῦ τὸν πόδα λίνῳ κάλῳ τῷ ἑαυτοῦ παιδὶ ἔδωκεν. Ὁ δὲ οὐχ ὑπομείνας τὴν μετ' ἀνθρώπων δίαιταν, ὡς πρὸς ὀλίγον ἀδείας ἔτυχε, φυγὼν ἧκεν εἰς τὴν ἑαυτοῦ καλιάν. Περιειληθέντος δὲ τοῦ δέσμου τοῖς κλάδοις, ἀναπτῆναι μὴ δυνάμενος, ἐπειδὴ ἀποθνήσκειν ἔμελλεν, ἔφη πρὸς ἑαυτόν· « Ἀλλ' ἔγωγε δείλαιος, ὅστις τὴν παρὰ ἀνθρώπων δουλείαν μὴ ὑπομείνας ἔλαθον ἐμαυτὸν καὶ σωτηρίας στερήσας. »

Οὗτος ὁ λόγος ἁρμόσειεν ἂν ἐπ' ἐκείνων τῶν ἀνθρώπων οἳ μετρίων ἑαυτοὺς κινδύνων ῥύσασθαι βουλόμενοι ἔλαθον εἰς μείζονα δεινὰ περιπεσόντες.

Codd. Pa 123 Pb 130 Pf 67 Ph 70 Mj 84 — La 106 Lb 73 Lc 26 Le 73 Lf 106 Lg 26 Me 90 Mg 97 Ml 91.

1 τὸν αὐτοῦ πόδα Pb || λίνῳ καλῷ Pa λίνῳ ceteri || **2** τοῖς αὐτοῦ παισὶν Pb || δέδωκεν Pa Pf Mj || τῷ ἑαυτοῦ παρέδωκε παιδί L Me Mg Ml || μὴ Me Mg Ml L praeter Lc qui omisit μή || **4** Περιληφθέντος Pf Ph Mj Περιειληφέντος Lg || **5** ἀποπτῆναι L Me Mg Ml || **6** πρὸς ἑαυτὸν ἔφη L Me Mg Ml || Δείλαιος ἔγωγε ὃς τὴν παρ' ἀνθρώποις μὴ (οὐχ Lg om. Le) ὑπομείνας δουλείαν ἔλαθον ἐμαυτὸν τῆς ζωῆς στερήσας (καὶ σωτηρίας ἐστέρησα, omisso ἔλαθον Le) L || **7** μετὰ τῶν ἀνθρώπων Pb || **8** στερῆσαι Pa Pb ἐστερῆσθαι Pf -ρημαι Ph -ρήθην Mj || **9** ἂν om. Pb || ἐπ' ἐκείνοις ... οἵτινες Pb || **11** περιπεσεῖν Pa πεσόντες Pb || **9-11** Ὅτι τινὲς (Οὗτος ὁ λόγος ἁρμόσειεν ἂν ἐπ' ἐκείνων τῶν ἀνθρώπων οἳ Ph Ὁ μῦθος δηλοῖ ὅτι τινὲς Mj) ἐκ μικροῦ κινδύνου φυγεῖν βουληθέντες ἔλαθον εἰς μείζονα περιπαρέντες Pf Ph Mj Ὁ μῦθος δηλοῖ (δηλοῖ om. Lb) ὅτι (ὅτι οὕτω Lb Le Me Ml) τινὲς ἔσθ' (ἔστιν Le Me) ὅτε μετρίων κινδύνων ἑαυτοὺς βουλόμενοι ῥύσασθαι εἰς μείζους (μείζονα Le -ας Lf Ml) περιπίπτουσιν tota classis L, sed sic incipiunt Οὕτω τινὲς ὅτε Lc Ὅτι τινὲς Mg Ὁ μῦθος δηλοῖ ὅτι οἱ μετρίων Lg.

Digitized by Google

166

Κόραξ καὶ ἀλώπηξ.

Κόραξ κρέας ἁρπάσας ἐπί τινος δένδρου ἐκάθισεν. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν καὶ βουλομένη τοῦ κρέατος περιγενέσθαι στᾶσα ἐπῄνει αὐτὸν ὡς εὐμεγέθη τε καὶ καλόν, λέγουσα καὶ ὡς πρέπει αὐτῷ μάλιστα τῶν ὀρνέων βασιλεύειν, καὶ τοῦτο πάντως ἂν ἐγένετο, εἰ φωνὴν εἶχεν. Ὁ δὲ παραστῆσαι αὐτῇ θέλων ὅτι καὶ φωνὴν ἔχει, ἀποβαλὼν τὸ κρέας μεγάλα ἐκεκράγει. Ἐκείνη δὲ προσδραμοῦσα καὶ τὸ κρέας ἁρπάσασα ἔφη· « Ὦ κόραξ, καὶ φρένας εἰ εἶχες, οὐδὲν ἂν ἐδέησας εἰς τὸ πάντων σε βασιλεῦσαι. »

Πρὸς ἄνδρα ἀνόητον ὁ λόγος εὔκαιρος.

Codd. Pa 116 Pb 123 Pc 67 Pg 82 Ma 89.

2 τοῦτον θεασαμένη Pg || τοῦτον θεασαμένη, βουλομένη δὲ καὶ τοῦ κρέως παρασπᾶσαι στᾶσα ἐπαίτει Ma || καὶ ante βουλομένη om. Pa Pc Pg || κρέατος Pa κρέως ceteri || **4** καὶ post λέγουσα om. Pa Pc || ὅτι πρέπει μάλιστα αὐτὸν (αὐτοῦ Ma) Pg Ma || μάλιστα om. Pc || **5** γένοιτο Pb Pg Ma || **6** περιστῆσαι Pb || αὐτῷ Pc || βουλόμενος Pb || παραστῆσαι ... ἔχει om. Pg Ma || βαλὼν Pb Pg Ma ἐκβαλὼν Pc || **7** τὸ κρέας κάτω Pg || μεγάλως Pb || ἐκέκραγεν Ma || παραδραμοῦσα Pb || **8** καὶ τὸ κρέας ἁρπάσασα om. Ma || Ὦ κόραξ, ἔχεις τὰ πάντα· νοῦν μόνον κτῆσαι Pb || εἰ καὶ (καὶ om. Pg) φρένας εἶχες Pg Ma || **9** οὐδὲν ἂν ἔδει σε τῶν πάντων βασιλεῦσαι Pc || οὐκ ἂν (οὐδὲν pro οὐκ ἂν Ma) ἐδέησέ σε εἰς τὸ πάντων (π- om. Ma) βασιλεῦσαι (-λεύειν Ma) Pg Ma || **10** Ὁ λόγος οὗτος ἁρμόζει πρὸς ἄνδρα ἀνόητον Pg || Οὗτος ὁ λόγος πρὸς ἄνδρα ἀνόητον μικρόν τι πλεονέκτημα ἔχοντα Ma cuius ep. est in fabula sequente.

Aliter.

Κόραξ κρέας ἁρπάσας ἐπί τινος δένδρου ἐκάθισεν. Ἀλώπηξ δὲ τοῦτον θεασαμένη καὶ βουληθεῖσα τοῦ κρέατος

Codd. Ch 66 Cb 58 Ce 60 Cf 64 Mc 58 Md 63 Mh 59 Mk 60 Ml 92 Mm 77.

1 καὶ ἐπί Cb || κάθησεν Cb ἐκάθησεν Ce Mh Ml καθήσας ἤσθιεν Mc κατέχων ἐκάθισε Mk || **2** ἰδοῦσα Md Mh Mm || τούτου pro τοῦ κρέατος Mk.

περιγενέσθαι, στᾶσα κάτωθεν, ἐπῄνει αὐτὸν ὡς εὐμεγέθες καὶ καλὸν ὄρνεον λέγουσα καὶ θηρευτικὸν καὶ εὔμορφον καὶ ὅτι « ἁρμόζει σοι βασιλέα εἶναι ὀρνέων, καὶ τοῦτο ἐκ παντὸς ἐγένετο ἄν, εἰ φωνὴν εἶχες· ἀλλ' ὢ ποῖον ὄρνεον καὶ ἄλαλον ὑπάρχεις. » Ὁ δὲ κόραξ ταῦτα ἀκούσας καὶ χαυνωθεὶς τοῖς ἐπαίνοις εὐθέως ῥίψας τὸ κρέας μεγάλα ἐκεκράγει. Ἡ δὲ ἀλώπηξ δραμοῦσα ἔλαβε τὸ κρέας καὶ στραφεῖσα ἔφη αὐτῷ· « Ἔχεις, κόραξ, ἅπαντα· νοῦς δέ σε λείπει. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ τινα ὑπὸ τῶν κολάκων ἐπαίρεσθαι· πολλάκις γὰρ βλάβος αὐτῷ ἐκ τούτων γίνεται.

3 περιγίγνεσθαι Cb || περιγενέσθαι τοῦ κρέατος Md Mh Mm || ἐπαίνει Ce || εὐμεγέθες nos εὐμεγέθης Mh -θος Mm -θον Ml -θη ceteri || **4** καὶ ἀλλόφωνον λέγουσα Mk || λέγουσα om. Ce Cf Ml || **5** ἥρμοζε Md Mh Mm || σε Ce Cf Mc Ml || βασιλέα γενέσθαι ὀρνέων· ἀπαρέσκονται μέντοι ταῦτα τοῦτο, ὡς οὐκ εὖ ἔχει σοι λέγοντα ἡ φωνή· ἐγὼ δὲ βουλοίμην ἄν σε μέγιστον ὅσον δύνασαι φωνῆσαι, ὅπως τοὺς σοὺς ἐχθροὺς καταισχύνῃς. Ὁ δὲ κόραξ Mk || τῶν ὀρνέων Mh || ἐκ παντὸς Ch Cb Mc om. ceteri || **6** ἄν om. Mc || ἐὰν pro εἰ Cb Mc ἂν Ce εἴη Cf || εἰ καὶ φωνητικὸς ὑπῆρχες, omisso καὶ τοῦτο .. ἐγένετο ἂν Md Mh Mm || ὢ om. Ce Cf Ml || ὄρνεον καὶ καλὸν ὑπάρχων φωνὴν οὐκ ἔχεις Mc || **7** ὑπάρχει Md Mh Mm || ἀκούσας ταῦτα Md Mh Mm || πάντα pro ταῦτα Cb Mk || **8** χολωθεὶς Cf || ὑπὸ τῶν ἐπαίνων Mk || εὐθέως om. Md Mh Mm || καὶ (καὶ om. Ce Ml) ῥίψας τὸ κρέας εὐθὺς Ce Cf Ml || μέγα Cb μεγάλως Md καὶ μεγάλα Mc || μεγάλα ... στραφεῖσα om. Mh || **9** ἐκεκράγη Ch Mc ἔκραξεν Ce Cf Ml || δραμοῦσα καὶ τὸ κρέας λαβοῦσα (ἁρπάσασα Mc λαβοῦσα τὸ κρέας Md Mm) Mc Md Mk Mm || **10** εἶπεν Mk || αὐτῷ om. Ce Cf Mk Ml || πρὸς αὐτόν Md Mh Mm || πάντα Mc Mk || νοῦν Mm || σοι Mh γε Md || νοῦν οὐκ ἔχεις μόνον Mc νοῦν δὲ μόνον οὐκ ἔχεις Mk νοῦν κτῆσαι μόνον Cb || **12** Ὅτι οὐ δεῖ Cb || **13** Post ἐπαίρεσθαι desinunt Ce Cf Ml || ἐπαινούμενον ἐπαίρεσθαι Mc || ἀπατᾶσθαι Md Mh Mm || βλάβη Md Mh Mm || αὐτῆς Cb αὐτοῖς Md Mh Mm || ἐκ τῶν κολάκων Cb Mc || **11-12** Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖνα ὑπὸ κολάκων ἐπαινούμενον ἐπαίρεσθαι· πολλάκις γὰρ ἐκ τῶν τοιούτων βλάβη γίνεται προφανής Mk.

Aliter.

Κόραξ τυρὸν ἔδακνεν· ἡ δὲ πανοῦργος ἀλώπηξ τὸν τυρὸν ἐθέλουσα φαγεῖν ἐπαίνῳ τὸν κόρακα ἐξηπάτα φάσκουσα ὡς « πάντων ὀρνέων εὐπρεπείᾳ διαφέρεις ἔν τε

Codd. Ba 61 Bb 37.

2 ἐπαινεῖ τὸν κόρακα καὶ ἐξαπατῶν ἔφασκεν Bb.

Digitized by Google

πτεροῖς καὶ αὐχένι, καὶ στῆθος ἔχεις ἀετοῦ καὶ ὄνυχας· ἀλλ' ὁ τοιοῦτος ὄρνις ἄφωνος εἶ καὶ κωφός. » Κόραξ δὲ τοῖς ἐπαίνοις χαυνωθεὶς τὸν τυρόν τε τοῦ στόματος ἐκβαλὼν ἐκεκράγει μεγάλα. Τοῦτον δὲ ἡ ἀλώπηξ ἁρπάσασα ἔφη· « Ἔχεις, κόραξ, ἅπαντα· νοῦς δέ σοι λείπει. »

Ὅτι οὐ δεῖ τινα τοῖς τῶν κολάκων ἐπαίνοις τυφοῦσθαι καὶ ἐπαίρεσθαι· βλάβη γὰρ αὐτοῖς ἀντὶ τῆς τοιαύτης τιμῆς ἕπεται.

4 αὐχένου Bb || **5** ἄφωνός ἐστι Bb || **8** λίπει Ba λείπῃ Bb || **10** ἢ ἐπαί ρεσθαι Ba || τιμὴν Bb.

Aliter.

Κόραξ ἐπὶ κλωνὸς καθήμενος δένδρου
κρέας ἔφερεν τῷ στόματι κατέχων.
Τοῦτον δ' ἀλώπηξ ἄνω θεασαμένη
κάτωθεν ἔστη προσφέρουσα ἐπαίνους·
« Ὄρνεον καλὸν καὶ εὐμέγεθες λίαν
χερσὶ κρατούμενον βασιλικαῖς πρέπεις. »
Ταῦτα λέγουσα προσάγει καὶ « τὸ εἶναι
σὲ βασιλέα ἁπάντων τῶν ὀρνέων,
εἰ οὐκ ἦς σιωπηρὸν καὶ φωνῆς δίχα·
⟨τοῦτό γ'⟩ εἰκάζω, ἄλαλος οὕτως πέλεις. »
Ἀλλὰ χαυνωθεὶς ὁ κόραξ τοῖς ἐπαίνοις
ῥίψας τὸ κρέας ἐκέκραγε μεγάλως.
Δραμοῦσα δ' ἀλώπηξ καὶ λαβοῦσα κρέας·
« Ἔχεις, » ἔφησε, στραφεῖσα πρὸς ἐκεῖνον,
« ἅπαντα, κόραξ, νοῦς δὲ μόνον σοι λείπει. »
Κόραξ τοὺς ὀφθαλμοὺς σώματος ὀρύττει·
ψυχῆς δὲ κόρας ὀρύττει κολακία.

Cod. Cd 57.

2 ἐν τὸ στόματι cod. || **5** λίαν εὐμεγέθη cod. || **6** σε πρέπει cod. || **8** πάντων cod. || **9** εἰ μόνον οὐχ ἦς σιωπηρὸν καὶ δίχα φωνῆς cod. || **10** τοῦτό γ' addidi || ἐκάζω ἄλαλον cod. || **11** κόραξιν cod. || **13** τὸ κρέας || **16** Κόραξ ὀρύττει cod. transposui ὀρύττει || **17** ὀρύττουν κολακίαι cod.

167

Κόραξ καὶ Ἑρμῆς.

Κόραξ ὑπὸ παγίδος κρατηθεὶς ηὔξατο τῷ Ἀπόλλωνι

Codd. Ba 62 Bb 38 Mb 79 (Mb truncus incipit a Πάλιν δὲ ὑφ' ἑτέρας).

1 ὑπὸ παγίδα Bb || εὔξατο Ba.

Digitized by Google

λιβανωτὸν ἐπιθύσειν. Σωθεὶς δὲ τοῦ κινδύνου τῆς ὑποσχέσεως ἐπελάθετο. Πάλιν δὲ ὑφ' ἑτέρας κρατηθεὶς παγίδος, ἀφεὶς τὸν Ἀπόλλωνα, τῷ Ἑρμῇ ὑπέσχετο θῦσαι. Ὁ δὲ πρὸς αὐτὸν ἔφη· « Ὦ κάκιστε, πῶς σοι πιστεύσω, ὃς τὸν πρότερόν σου δεσπότην ἠρνήσω καὶ ἠδίκησας; »

Ὅτι οἱ πρὸς τοὺς εὐεργέτας ἀγνώμονες γενόμενοι ἐν περιστάσει ἐμπεσόντες οὐχ ἕξουσι βοηθούς.

2 ἐπιθύσει Bb || **3** κρατηθεῖσα Mb || **4** τῷ Ἀπόλλωνι Bb Mb || **5** τὸ πρότερον Ba || **7** εὐεργετοῦντας Bb || ἀγνωμονεῖν πνόμενοι Mb || **8** βοήθειαν Bb Mb.

Aliter.

Κόραξ ἐν παγίδι κρατηθεὶς ηὔξατο τῷ Ἀπόλλωνι λιβανωτὸν ἐπιθύσειν, εἰ τῆς παγίδος αὐτὸν ῥύσειε. Σωθεὶς δὲ τῆς ὑποσχέσεως ἐπελάθετο. Αὖθις δὲ ἐν ἑτέρᾳ παγίδι ληφθείς, ἀφεὶς τὸν Ἀπόλλωνα, τῷ Ἑρμῇ ηὔξατο θῦσαι. Ὁ δὲ πρὸς αὐτὸν εἶπεν· « Ὦ κάκιστον ζῷον, πῶς σοι πιστεύσω, ὅτι πρότερόν σου δεσπότην ἠδίκησας; »

Cod. Bd 31.

168

Κόραξ καὶ ὄφις.

Κόραξ τροφῆς ἀπορῶν, ὡς ἐθεάσατο ὄφιν ἔν τινι εὐηλίῳ τόπῳ κοιμώμενον, τοῦτον καταπτὰς ἥρπασε. Τοῦ δὲ ἐπιστραφέντος καὶ δακόντος αὐτόν, ἀποθνήσκειν μέλλων, ἔφη· « Ἀλλ' ἔγωγε δείλαιος, ὅστις τοιοῦτον ἕρμαιον εὕρηκα ἐξ οὗ καὶ ἀπόλλυμαι. »

Codd. Pa 120 Pb 127 Pc 69 Pg 84 Ma 90 Mh 58 Cd 69 — La 104 Lb 71 Lc 71 Lf 104 Me 88 Mf 74 Mg 95 Ml 84.

1 ὡς κατεῖδεν ἔν τινι εὐηλίῳ τόπῳ (τόπῳ εὐηλίῳ Me τόπῳ om. Mf) ὄφιν L M exceptis Ma Mh || ὄφιν τόπῳ εὐηλίῳ κοιμώμενον ταπτὰς ἥρπασε Ma || ἐν τῷ ἡλίῳ Mh Cd || **2** κύμενον Mh || **3** στραφέντος Mh || δάκνοντος Pb Ma || καὶ ὡς ἀποθνήσκειν ἔμελλεν Cd || καὶ μέλλων θνήσκειν λέγει Mh || ἀποθνήσκων Lf || **4** εἴρηκε· « Δείλαιος ἔγωγε ὃς τοιοῦτον εὗρον ἕρμαιον L M exceptis Ma Mh || ὅτι Pb || τοιούτης τροφῆς ἔλμεον εὑρὼν ἐξ οὗ ἀπόλημαι Mh || εὗρον Pb Pg Ma || εὑρὼν κακῶς ἀπόλλυμαι Cd || **5** ἀπόλυμαι Pa ἀπολλώμην Ma.

Digitized by Google

Οὗτος ὁ λόγος λεχθείη ἂν ἐπ' ἄνδρα ὃς διὰ θησαυροῦ εὕρεσιν καὶ περὶ σωτηρίας ἐκινδύνευσεν.

6 Οὗτος ὁ λόγος ἁρμόζει πρὸς ἄνδρα ὅστις (ὅ τις **Cd**) πρὸς σωτηρίαν θησαυρὸν εὑρὼν ὑπ' αὐτοῦ (ὑπ' αὐτοῦ om. **Cd**) ἐκινδύνευσεν **Pg Cd** || Πρὸς ἄνδρα .. **Mg** || Μῦθος δηλοῖ τὸν λανθάνοντα πάσχειν **Mh** || Ὁ μῦθος πρὸς ἄνδρα διὰ θησαυρῶν εὕρεσιν ἐπὶ σωτηρίᾳ κινδυνεύσαντα **L M exceptis Ma Mh** || πρὸς ἄνδρα **Pb** ἐπ' ἀνδρὸς **Pc** || **Ma epim. fabulae praecedentis habet** : Οὗτος ὁ λόγος πρὸς ἄνδρα ἀνόητον μικρόν τι πλεονέκτημα ἔχοντα.

169

Κόραξ νοσῶν.

Κόραξ νοσῶν ἔφη τῇ μητρί· « Μῆτερ, εὔχου τῷ θεῷ καὶ μὴ θρήνει. » Ἡ δ' ὑπολαβοῦσα ἔφη· « Τίς σε, ὦ τέκνον, τῶν θεῶν ἐλεήσει; τίνος γὰρ κρέας ὑπὸ σοῦ γε οὐκ ἐκλάπη; »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

Codd. La 136 Mg 98.

4 Ὅτι **Mg**.

Aliter.

Κόραξ δὲ νοσῶν τῇ μητρὶ ἐπεφώνει·
« Εὔχου τοῖς θεοῖς, ὦ μῆτερ, καὶ μὴ θρήνει. »
Ἡ δὲ πρὸς αὐτὸν ταῦτα βοῶσα ἔφη·
« Καὶ τίς σε, τέκνον, τῶν θεῶν ἐλεήσει;
Τίνος γὰρ κρέα ὑπὸ σοῦ οὐκ ἐκλάπη; »

Codd. Ch 69 Ca 87 Cb 60 Cd 60 Ce 66 Cf 70 Ma 174 Mb 80 Mc 60 Md 66 Mh 62 Mm 80 Lf 136.

1 Κόραξ δὲ **Ch Cd** Κόραξ τις **Ma Md Mh Mm** δὲ om. **ceteri** || νοσήσας **Mb** || προσεφώνει **Mb** || **2** τῷ θεῷ **Cb Cd Cf Mc Lf** || ὦ μῆτερ, τῷ θεῷ (τοῖς θεοῖς **Mb**) **Ce Mb** || μῆτέρ μου **Ca** || μὴ om. **Ca** || **3** ταῦτα om. **Ma Md** || ταῦτα ... ἔφη om. **Cf** || βοώσας **Md** || αὐτὸν τοιαῦτα ἐπεβόα **Mb** || **3 et 4** αὐτόν· Θαρεῖς, ὦ τέκνον, τὸν θεὸν ἐλεῆσαι; **Ce** || **4** τί σε, ὦ **Mb** || τί γὰρ **Mc** || τὸν θεὸν ἐλεῆσαι **Cf** || **5** κρέας **Cb Cf Md** || ἀπὸ σοῦ **Cd** παρὰ σοῦ **Ce** || οὐκ ἐκλάπη ὑπὸ (παρὰ **Cf**) σοῦ **Cb Cf**.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι οἱ πολλοὺς ἐχθροὺς ἐν βίῳ ἔχοντες οὐδένα φίλον ἐν ἀνάγκῃ εὑρήσουσιν.

6 Ὅτι Cb Mb Md || οἱ om. Cf || οἱ ἔχοντες πολλοὺς ἐχθροὺς Ce || ἔχοντες ἐν βίῳ Cf || ἐν τῷ βίῳ Ma Md Mh Mm || οἱ ἐν βίῳ πολλοὺς ἐχθροὺς ἔχοντες Mb || **7** οὐδὲ Md || ἐν om. Mm || ἀνάγκαις Ce Cf || εὑρίσκουσι Ca Cb Ce Md εὑρήσωσιν Lf || εὕρωσιν ἐν ἀνάγκαις Mb || **6-7** Ὁ λόγος δηλοῖ ὅτι οἱ μὴ φίλον ἔχοντες κατὰ τὸν βίον βοηθὸν οὐκ ἔχουσίν τιν' εἰς ἀνάγκην Cd.

Aliter.

Κόραξ νοσήσας τῇ μητρὶ κλαιούσῃ εἶπεν· « Εὔχου τοῖς θεοῖς, μῆτερ, καὶ μὴ κλαῖε. » Ἡ δὲ εἶπεν· « Τίς σε τῶν θεῶν, τέκνον, ἐλεήσει ; τίνος γὰρ αὐτῶν βωμὸς ὑπὸ σοῦ οὐκ ἐσυλήθη ; »

Ὅτι ὁ πάντας ἐν τῷ βίῳ ἐχθροὺς κεκτημένος οὐδένα φίλον ἐν ἀνάγκαις εὑρήσει.

Codd. Ba 63 Bb 39.

5 ὁ ante πάντας om. Bb.

Aliter.

Κόραξ νοσήσας τῇ μητρὶ κλαιούσῃ εἶπεν· « Εὖξαι τοῖς θεοῖς, ὦ μῆτερ, καὶ τῶν δακρύων ἀπόσχου. » Ἡ δὲ εἶπε· « Καὶ τίς σε τῶν θεῶν, ὦ τέκνον, ἐλεήσει ; τίνος γὰρ ὑπὸ σοῦ βωμὸς οὐκ ἐσυλήθη ; »

Cod. Bd 32.

3 ἐλεήση cod. || **4** οὐκ ἐλήθη cod.

170

Κορυδαλός.

Κορυδαλὸς εἰς πάγην ἁλοὺς θρηνῶν ἔλεγεν· « Οἴμοι τῷ ταλαιπώρῳ καὶ δυστήνῳ πτηνῷ· οὐ χρυσὸν ἐνοσφισάμην τινός, οὐκ ἄργυρον, οὐκ ἄλλο τι τῶν τιμίων· κόκκος δὲ σίτου μικρὸς τὸν θάνατόν μοι προὐξένησεν. »

Codd. La 55 Lb 64 Le 64 Lf 55 Lh 27 Mc 79 Mf 70 Ml 82 Cf 69.

1 Κορυδαλλὸς Lb Ml || **3** παντίμων Cf || **4** προὐξένισεν Ml προεξένισεν Cf.

Digitized by Google

Ὁ μῦθος πρὸς τοὺς διὰ κέρδος εὐτελὲς μέγαν ὑφισταμένους κίνδυνον.

5 Ὁ μῦθος δηλοῖ τοὺς διὰ κέρδος εὐτελές τι μέγαν ὑφεστηκότας κίνδυνον Me Mf Ὁ μῦθος δηλοῖ ὅτι τοὺς δικέρδους εὐτελεῖς μέγα ἀφισταμένους θάνατον Cf || κέρδους εὐτελοῦς Le.

Aliter.

Κορυδαλὸς εἰς πάγην πεσὼν ἐθρήνει λέγων· « Οἴμοι τῷ ταλαιπώρῳ καὶ δυστηνῷ πτηνῷ· οὐ διὰ χρυσόν, οὐ διὰ ἄργυρον, οὐ διὰ ἄλλο τι τῶν τιμίων, διὰ ⟨δὲ⟩ κόκκον σίτου μικρὸν τὸν θάνατον ἐμαυτῷ προεξένησα. »
Ὁ μῦθος δηλοῖ [ὅτι] τοὺς διὰ κέρδος εὐτελὲς ὑφισταμένους θάνατον.

Cod. Cc 65.

2 δεινίσσῳ πτηνῷ cod. || **3** δὲ addidi..

Aliter.

Κουκουλάτης.

Κουκουλάτου ἔτυχε τοῦ βίου τέλος
καὶ στενάζων ἔλεγε μετὰ δακρύων·
« Οἴμοι τῷ πτωχῷ καὶ ξένῳ καὶ δυστήνῳ·
οὐ χρυσὸν, οὐκ ἄργυρον ἐνοσφισάμην·
κόκκος δὲ μικρὸς τὸν θάνατον προσῆξε
καὶ παγὶς ἐν γῇ μικρὰ ἐγκεκρυμμένη
† περιεῖλέ μου τὴν κουκουλίθραν. †

Ὁ μῦθος δηλοῖ τοὺς πένητας οἵτινες ἐξερχόμενοι συνάξαι διατροφὰς συλλαμβάνονται παρὰ δυναστῶν καὶ κινδυνεύουσι μὴ ἐλεούμενοι ὑπ᾽ αὐτῶν τετυφλωμένων ὄντων καὶ ἀσυνέτων.

Codd. Ma 176 Md 68 Mh 64 Mm 82.

1 Κουκουλάτου Ma -τον ceteri (uocabulum ignotum) || **6** ἐν γῇ Mh om. ceteri || **7** τὴν om. Ma Md (uersum imperfectum reliqui, quia quid sit κουκουλίθραν me fugit || **9** διὰ τροφὰς Ma Mh || παρ᾽ ἀδυνάτων Mh.

Digitized by Google

171

Κορώνη καὶ κόραξ.

Κορώνη φθονήσασα κόρακι ἐπὶ τῷ διὰ οἰωνῶν μαντεύεσθαι ἀνθρώποις καὶ τὸ μέλλον προφαίνειν καὶ διὰ τοῦτο ὑπ' αὐτῶν μαρτυρεῖσθαι, ἐβουλήθη τῶν αὐτῶν ἐφικέσθαι· καὶ δὴ θεασαμένη τινὰς ὁδοιπόρους παριόντας ἧκεν ἐπί τινος δένδρου, καὶ στᾶσα μεγάλα ἐκεκράγει. Τῶν δὲ πρὸς τὴν φωνὴν ἐπιστραφέντων καὶ καταπλαγέντων, εἷς τις ὑποτυχὼν ἔφη· « Ἀλλ' ἀπίωμεν, ὦ φίλοι· κορώνη γάρ ἐστιν, ἥτις κεκραγυῖα οἰωνὸν οὐκ ἔχει. »

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς κρείττοσιν ἀνθαμιλλώμενοι πρὸς τῷ τῶν ἴσων μὴ ἐφικέσθαι, καὶ γέλωτα ὀφλισκάνουσιν.

Codd. Pa 117 Pb 124 Ma 91.

1 ἐπὶ τὸ Pa Ma || **2** προφέρειν Ma || **4** παρόντας Ma || ἐπί τι δένδρον Pb || **5** μεγάλως Pb || μεγάλας φωνὰς ἐκέκραγε Ma || ἐπιστραφέντων πρὸς τὴν φωνὴν Ma || πρὸς τὰς φωνὰς Pa || **6** ὑποτυχών τις, omisso εἷς Ma || **7** ὦ φίλοι om. Pa || ἐστιν om. Pa || **8** ἥτις ἐκέκραγε καὶ οἰωνὸν Ma || **10** πρὸς τὸ Pa Ma || ἥσ' Pa ἴσον Ma || γέλωτος Ma.

Aliter.

Κορώνη φθονήσασα κόρακι ἐπὶ τῷ δι' οἰωνῶν τοῖς ἀνθρώποις μαντεύεσθαι, καὶ διὰ τοῦτο μαρτυρουμένῳ ὡς προλέγοντι τὸ μέλλον, θεασαμένη τινὰς ὁδοιπόρους παριόντας, ἧκεν ἐπί τι δένδρον καὶ στᾶσα μεγάλως ἔκραξεν. Τῶν δὲ πρὸς τὴν φωνὴν ἐπιστραφέντων καὶ καταπλαγέντων, ὑποτυχών τις ἔφη· « Ἀπίωμεν, ὦ οὗτοι· κορώνη γάρ ἐστιν, ἥτις κέκραγε καὶ οἰωνισμὸν οὐκ ἔχει. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς κρείττοσιν ἁμιλλώμενοι, πρὸς τῷ τῶν ἴσων μὴ ἐφικέσθαι καὶ γέλωτα ὀφλισκάνουσι.

Codd. La 102 Lb 69 Le 69 Lf 102 Me 86 Mf 73 Mg 93 Ml 88.

1 φθήσασα Mg || **2** μαρτυρουμένων (-ομένων Lb) ὡς προλεγόντων Lb Le Lf Me Mf Ml || **4** μεγάλα ἔκραξε (ἔκραζε Mf) Me Mf || ἔκρωξε Lb Le || **6** τις om. Le || ὦ οὗτος Le || **7** κέκραξε Lf ἔκρωξε Le.

Digitized by Google

172

Κορώνη καὶ κύων.

Κορώνη Ἀθηνᾷ θύουσα κύνα ἐφ' ἑστίασιν ἐκάλεσεν. Ὁ δὲ ἔφη πρὸς αὐτήν· « Τί μάτην τὰς θυσίας ἀναλίσκεις; ἡ γὰρ δαίμων οὕτως σε μισεῖ ὡς καὶ τῶν σῶν οἰωνῶν τὴν πίστιν περιελέσθαι. » Καὶ ἡ κορώνη ἀπεκρίνατο· « Ἀλλὰ καὶ διὰ τοῦτο αὐτῇ θύω, διότι οἶδα αὐτὴν ἀπεχθῶς διακειμένην, ἵνα διαλλαγῇ. »

Οὕτω πολλοὶ διὰ φόβον τοὺς ἐχθροὺς εὐεργετεῖν οὐκ ὀκνοῦσιν.

Codd. Pa 119 Pb 126 Pc 68 Pf 69 Mb 85 Mj 86.

1 Ἀθηνᾷ θύουσα scripsi ex La pro ἑστιῶσα codd. ἑστιῶσα om. Pb Mb || τινα κύνα Pb || ἐπέστίασιν Pa ἐπ' ἑστίασιν Pf Mj εἰς ἑ- Pc πρὸς ἑ- Mb || προσεκαλεῖτο Mb || **2** Τί γὰρ Pc || Μὴ ... ἀνάλισκε Mb || **3** ὁ γὰρ δαίμων Pb ἡ γὰρ θεὰ Pf Mb || οὕτω Pb || σῶν υἱῶν Pa || τὴν om. Mj || **4** προελέσθαι Pf Mb Mj || Ἀλλὰ διὰ Mb || **5** αὐτῷ Pb || αὐτὸν .. διακείμενον Pb || **6** ἵνα καὶ Pf Mj || διαλλαγῇ μοι Pb εὐμενής μοι γίνηται Mb || **7** διὰ φόβον πολλοὶ Mb || τοὺς ἐχθροὺς scripsi ex La τοὺς πολεμίους Pa τοὺς πολλοὺς ceteri || Ὅτι (Ὁ μῦθος δηλοῖ ὅτι Mj) πολλοὶ τῶν ἀνθρώπων διὰ φόβον καὶ οὐ διὰ τὸ δέον τοὺς πολλοὺς τιμῶσι καὶ εὐεργετοῦσι (-τῶσι Pf) Pf Mj.

Aliter.

Κορώνη Ἀθηνᾷ θύουσα κύνα ἐπὶ ἑστίασιν ἐκάλει. Ὁ δὲ πρὸς αὐτὴν ἔφη· « Τί μάτην τὰς θυσίας ἀναλίσκεις; ἡ γὰρ θεὸς οὕτω σε μισεῖ ὡς κἀκ τῶν συντρόφων σοι οἰωνῶν τὴν πίστιν περιελεῖν. » Καὶ ἡ κορώνη πρὸς αὐτόν· « Διὰ τοῦτο μᾶλλον αὐτῇ θύω, ἵνα διαλλαγῇ μοι. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ διὰ κέρδος τοὺς ἐχθροὺς εὐεργετεῖν οὐκ ὀκνοῦσιν.

Codd. La 103 Lb 70 Le 70 Lf 103 Me 87 Mg 94 Ml 89.

1 ἐκάλεσεν Me || **2** ἔφη πρὸς αὐτήν Me || ἡ δὲ θεὸς Le || **3** θεὰ Me || ὡς κἂν Le Me || **6** Ὁ μῦθος ὅτι Lb || διὰ φθόνον τοὺς πολλοὺς Lb Le Lf Ml || Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ τῶν ἀνθρώπων διὰ φόβον καὶ οὐ διὰ τὸ δέον τοὺς πολλοὺς τιμῶσι καὶ εὐεργετοῦσι Me.

Digitized by Google

173

Κοχλίαι.

Γεωργοῦ παῖς κοχλίας ὤπτα· ἀκούσας δὲ αὐτῶν τριζόντων ἔφη· « Ὦ κάκιστα ζῷα, τῶν οἰκιῶν ὑμῶν ἐμπιπραμένων, αὐτοὶ ᾄδετε. »

Ὁ λόγος δηλοῖ ὅτι πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπονείδιστον.

Codd. Pa 54 Pb 54 Pc 25 — La 82 Lb 31 Lc 42 Le 31 Lf 82 Lg 42 Md 135 Me 38 Mg 40 Mi 109 Mj 36 Mm 49.

1 ὤπτα Pc ὤπτει Pa Pb || ὤπτα κοχλίας L M || τριζόντων Pa Pb Lc Lg Mm τρυζόντων ceteri || **2** ἡμῶν Mi || ἐμπιπρωμένων Mj || **4** Ὁ λόγος P Ὁ μῦθος ceteri, || Ὁ μῦθος ὅτι Lb Ὅτι Md Mg Mi || πραττόμενον Le || **5** ἐπονείδιστόν ἐστι Pc.

174

Κύκνος ⟨ἀντὶ χηνὸς ἀπαχθείς⟩.

Ἀνὴρ εὐπορῶν χῆνά τε ἅμα καὶ κύκνον ἔτρεφεν, οὐκ ἐπὶ τοῖς αὐτοῖς μέντοι· τὸν μὲν γὰρ ᾠδῆς, τὸν δὲ τραπέζης ἕνεκεν. Ἐπεὶ δὲ ἔδει τὸν χῆνα παθεῖν ἐφ' οἷς ἐτρέφετο, νὺξ μὲν ἦν, καὶ διαγινώσκειν ὁ καιρὸς οὐκ ἀφῆκεν ἑκάτερον. Ὁ δὲ κύκνος, ἀντὶ τοῦ χηνὸς ἀπαχθείς, ᾄδει τι μέλος θανάτου προοίμιον, καὶ τῇ μὲν ᾠδῇ μηνύει τὴν φύσιν, τὴν δὲ τελευτὴν διαφεύγει τῷ μέλει.

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις ἡ μουσικὴ τελευτῆς ἀναβολὴν ἀπεργάζεται.

Codd. La 78 Lb 19 Le 19 Lf 78 Md 132 Mg 11 Mi 106 Mj 22 Ml 16 Mm 32.

1 ἀπορῶν Md Mi || **3** Ἐπειδὴ Lc || **4** μὲν om. Ml || ἑκάτερον οὐχ ἀφῆκεν ὁ καιρὸς Md Mi Mm || **6** τῆς δὲ τελευτῆς Mm || **8** Ὁ μῦθος ὅτι Mm Ὅτι Md Mi.

Digitized by Google

175

Κύκνος ⟨καὶ δεσπότης⟩.

Τοὺς κύκνους φασὶ παρὰ τὸν θάνατον ᾄδειν. Καὶ δή τις περιτυχὼν κύκνῳ πωλουμένῳ καὶ ἀκούσας ὅτι εὐμελέστατόν ἐστι ζῷον, ἠγόρασε. Καὶ ἔχων ποτὲ συνδείπνους προσελθὼν παρεκάλει αὐτὸν ᾆσαι ἐν τῷ πότῳ. Τοῦ δὲ τότε μὲν ἡσυχάζοντος, ὕστερον δέ ποτε, ὡς ἐνόησεν ὅτι ἀποθνήσκειν ἔμελλεν, ἑαυτὸν θρηνοῦντος, ὁ δεσπότης αὐτοῦ ἀκούσας ἔφη· « Ἀλλ' εἰ σὺ οὐκ ἄλλως ᾄδεις, ἐὰν μὴ ἀποθνήσκῃς, ἐγὼ μάταιος ἦν, ὃς τότε σε παρεκάλουν, ἀλλ' οὐκ ἔθυον. »

Οὕτως ἔνιοι τῶν ἀνθρώπων, ἃ μὴ ἑκόντες χαρίσασθαι βούλονται, ταῦτα ἄκοντες ἐπιτελοῦσιν.

Codd. Pa 225 Pf 130 Me 167 Mf 138.

2 εὐμενέστατον omisso ἐστι Pf Me Mf || **3** ἠγόραζε Pa || σύνδειπνον Pf || **4** ᾆσαι τὸν πότον Pf Me Mf || Τοῦ δέ ποτε Pa || **5** ἡσυχάσαντος Pf Me Mf || ποτε om. Me Mf || **6** ἔμελλε, θρηνοῦντος αὐτὸν ὁ δεσπότης ἀκούσας Pf Me Mf || **7** οὐ καλῶς Pa || **8** ἀποθνήσκεις Pf Mf || μάταιος ἤμην τότε ὅτε Pf Me Mf || **10** χαρῖσθαι Pa || **10-11** Οὕτω τινὲς τῶν ἀνθρώπων ἃ μὴ βούλονται ἑκουσίως ποιεῖν, ἄκοντες ταῦτα ἐπιτελοῦσιν Pf Me Mf.

176

Κύνες δύο.

Ἔχων τις δύο κύνας, τὸν μὲν θηρεύειν ἐδίδασκε, τὸν δὲ οἰκουρὸν ἐποίησε. Καὶ δή, εἴ ποτε ὁ θηρευτὴς ἐξιὼν ἐπ' ἄγραν συνελάμβανέ τι, ἐκ τούτου μέρος καὶ τῷ ἑτέρῳ

Codd. Pa 88 Pb 93 Pe 55 Pf 47 Pg 60 Ph 49 Me 58 Mf 52.

1 τὸν μὲν ἕνα Pe || θηρευτικὸν ἐδίδασκε Pf Ph Me Mf || ἐδίδαξε Pb Pe || τὸν δὲ ἄλλον οἰκουρεῖν Pe τὸν δὲ οἰκοφυλακεῖν Me Mf || **2** εἴ ποτε om. Pb εἰ om. Pa Pf Ph Me Mf || ὁ θηρευτικὸς Pb Pg Me Mf || πρὸς ἄγραν Pb εἰς ἄ- Pe || **3** τι om. Pf Ph Me Mf || τούτῳ (τούτου Pg) ἐκ μέρους Pa Pg || ἐκ μέρους καὶ τοῦ ἑτέρου ἔβαλλεν Pe || καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτῷ τῆς θοίνης Me Mf || τῷ οἰκουρῷ Pf Ph.

Digitized by Google

παρέβαλλεν. Ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ καὶ τὸν ἕτερον ὀνειδίζοντος, εἴ γε αὐτὸς μὲν ἐξιὼν παρ' ἕκαστα μοχθεῖ, ὁ δὲ οὐδὲν ποιῶν τοῖς αὐτοῦ πόνοις ἐντρυφᾷ, ἐκεῖνος ἔφη πρὸς αὐτόν· « Ἀλλὰ μὴ ἐμὲ μέμφου, ἀλλὰ τὸν δεσπότην, ὃς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλοτρίους δὲ πόνους κατεσθίειν. »

Οὕτω καὶ τῶν παίδων οἱ ῥᾴθυμοι οὐ μεμπτέοι εἰσίν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἄγωσιν.

4 παρέβαλεν Pa Pb Ph || Ἀγανακτήσας Pe || 5 ἔλεγεν (pro εἴ γε). Ἐγὼ καθ' ἑκάστην μοχθῶ. Ὁ δὲ ἔφη· Οὐδὲν τοῖς σοῖς μόχθοις ἐντρυφῶ, ἀλλ' ἕτερα Pe || μὲν om. Pg || μηδ' ἐξιὼν pro μὲν ἐ- Pb || παρ' ἑκάστην Me διόλου pro παρ' ἕκαστα Pb || 6 μοχθοίη Pa -θείην Pb || τοῖς ἑαυτοῦ Pb τοῖς αὐτοὺς Ph || τοὺς αὐτοῦ πόνους Me Mf || 7 ἔφη om. Pg || ἐμὲ μὴ Pf Ph Me Mf || τὸν δεσπότην δὲ Pb τὸν δὲ δ- Ph ἀλλ' ἢ τὸν δεσπότην Pe || 8 μὲν ἔδειξεν pro με ἐδίδαξε Pa || ἀλλὰ πόνους ἀλλοτρίους (πόνοις -τρίοις Pb) ἐσθίειν Pb Me Mf || κόπους Pe || 10 οἱ τῶν παίδων ῥάθυμοι Pe || εἰσίν om. Pa || 11 οἱ γονεῖς αὐτοὺς οὕτω ἀγαπῶσιν Pe || 10-11 Ὁ μῦθος δηλοῖ ὅτι καὶ τῶν νέων οἱ μηδὲν ἐπιστάμενοι οὐ μεμπτέοι εἰσίν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἄγωσιν Me Mf.

Aliter.

Ἔχων τις δύο κύνας, τὸν μὲν ἕτερον θηρεύειν ἐδίδαξε, τὸν δὲ λοιπὸν οἰκοφυλακεῖν. Καὶ δή, εἴ ποτε ὁ θηρευτικὸς ἠγρευέ τι, καὶ ὁ οἰκουρὸς συμμετεῖχεν αὐτῷ τῆς θοίνης. Ἀγανακτοῦντος δὲ τοῦ θηρευτικοῦ κἀκεῖνον ὀνειδίζοντος, εἴ γε αὐτὸς μὲν καθ' ἑκάστην μοχθεῖ, ἐκεῖνος δὲ μηδὲν πονῶν τοῖς αὐτοῦ τρέφεται πόνοις, ὑπολαβὼν αὐτὸς εἶπε· « Μὴ ἐμέ, ἀλλὰ τὸν δεσπότην μέμφου, ὅς οὐ πονεῖν με ἐδίδαξεν, ἀλλὰ πόνους ἀλλοτρίους ἐσθίειν. »

Ὁ μῦθος δηλοῖ ὅτι καὶ τῶν νέων οἱ μηδὲν ἐπιστάμενοι οὐ μεμπτοί εἰσιν, ὅταν αὐτοὺς οἱ γονεῖς οὕτως ἀγάγωσιν.

Codd. La 96 Lb 51 Le 51 Lf 96 Lh 17 Mg 74 Mj 61 Ml 62.

1 θἄτερον μὲν libri exceptis La Mg || 3 συμμετεῖχεν αὐτοῦ Mj || 5 μὲν post αὐτός om. Le || 7 ἀλλὰ τὸν δὲ Lb || 8 ἀλλοτρίων Lh || 9 Ὁ μῦθος ὅτι Lh Ὅτι Mg || 10 μεμπτέοι Lb Le Lh Mj Ml.

Digitized by Google

177

Κύνες λιμώττουσαι.

Κύνες λιμώττουσαι, ὡς ἐθεάσαντο ἔν τινι ποταμῷ βύρσας βρεχομένας, μὴ δυνάμεναι αὐτῶν ἐφικέσθαι, συνέθεντο ἀλλήλαις ὅπως πρῶτον τὸ ὕδωρ ἐκπίωσι, εἶθ' οὕτως ἐπὶ τὰς βύρσας παραγένωνται. Συνέβη δὲ αὐταῖς πινούσαις διαρραγῆναι πρὶν ἢ τῶν βυρσῶν ἐφικέσθαι.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων δι' ἐλπίδα κέρδους ἐπισφαλεῖς μόχθους ὑφιστάμενοι φθάνουσι πρότερον καταναλισκόμενοι ἢ ὧν βούλονται περιγενόμενοι.

Codd. Pa 128 Pb 134 Pc 74 Pf 72 Mb 243 Me 95 Mf 80 Mj 89 Cd 70.

1 λιμώττοντες Cd || ἐπί τινος ποταμοῦ Cd || **2** δυνάμενοι Pa Cd || **3** ἀλλήλοις Mb Cd || πρὸς pro πρῶτον Pa πρόην Mb om. Pb || τὸ ὕδωρ πρῶτον Pc || ἐκπιεῖν Pa ἐκπίοσι Mb || καὶ pro εἶθ' οὕτως Pa || καὶ εἶθ' οὕτως Pf Me Mf Mj || **4** περὶ τὰς Mb || παραγίνωνται Pb || αὐτὰς πινούσας Pb || πιούσαις Mj || αὐτῶν πινόντων τὸ ὕδωρ Cd || **5** πρότερον διαρραγῆναι ἢ Mj || πρὶν om. Pa Pc Pf Mb Me Mf Cd || καὶ pro ἢ Pc || **6** Οὕτως om. Cd || Πολλοὶ δι' ἐλπίδα κέρδους ἐπισφαλοῦς Pf Me Mf Mj || **7** φθάνουσι πρὸς τὸν μόχθον ὧν βούλονται περιγίγνεσθαι Pa || φθάνουσι πρῶτον Pc Pf Mb Me Mf Mj || καταναλισκόμενοι hic desinunt Pf Me Mf Mj || ἀναλισκόμενοι Mb || **8** περιγενήσεσθαι Cd.

178

Κυνόδηκτος.

Δηχθείς τις ὑπὸ κυνὸς περιῄει ζητῶν τὸν ἰασόμενον. Εἰπόντος δέ τινος οὕτως ὡς ἄρα δέοι αὐτὸν ἄρτῳ τὸ αἷμα ἐκμάξαντα τῷ δακόντι κυνὶ βαλεῖν, ὑποτυχὼν ἔφη· « Ἀλλ'

Codd. Pa 62 Pb 64 Pc 31 Pe 31 Pg 41 Ph 31 Ma 45.

1 περιίει Pe || ἐζήτει omisso περιῄει Pb || ἰασάμενον Ma || **2** Ἑπόμενος δέ τις αὐτῷ εἶπεν ὡς ἐὰν ἄρτον αἱματώσῃ ἐκ τοῦ δακτύλου καὶ τῷ δακόντι κυνὶ ἐπιδώσει, ὑπολαβὼν δὲ αὐτὸς ἔφη Pe || δέει Ma || αὐτῷ .. ἐκμάξαντι Pb || αὐτὸν τῷ αἵματι αἱμάξαντα Pg || ἄρτι correctum in ἄρτον Pc || **3** αἱμάξαντα τῷ δάκνοντι Ma || ὑποτυχὼν δὲ ὁ δηχθεὶς Pb || ὑπολαβὼν Pg.

Digitized by Google

ἐὰν τοῦτο πράξω, δεήσει με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δάκνεσθαι. »

Οὕτω καὶ ἡ τῶν ἀνθρώπων πονηρία δελεαζομένη ἔτι μᾶλλον ἀδικεῖν παροξύνεται.

4 ταῦτα Ph || πάντων om. Pb || **6** Οὕτως τῶν ἀνθρώπων ἀποδελεαζομένη Pg || καὶ Pa Ph om. ceteri || φύσις pro πονηρία Pb || ἡ πονηρία τῶν ἀνθρώπων Pc || οἱ πονηροὶ δελεαζόμενοι ... παραξύνονται Ph || **7** παροξύνονται Pc || Ep. om. Pe, in fabula sequente habet Ma.

Aliter.

Δηχθείς τις ὑπὸ κυνὸς περιῄει ζητῶν τὸν τοῦτον ἰάσασθαι δυνάμενον. Καί τις τῶν παρατυχόντων ἀκούσας ἔφη αὐτῷ· « Ὦ οὗτος, εἰ θέλεις σῴζεσθαι, λαβὼν ἄρτον, τὸ αἷμα ἐκμάξας τῆς πληγῆς τῷ δακόντι κυνὶ ἐπίδος. » Ὁ δὲ γελάσας ἔφη· « Ἀλλ' ἐὰν τοῦτο πράξω, δέον ἐστὶν ἵνα ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυνῶν δηχθήσωμαι. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ πονηρίᾳ δελεαζόμενοι ἔτι μᾶλλον ἀδικεῖν παροξύνονται.

Codd. Ca 55 Cb 37 Cd 34 Ce 38 Cf 43 Ch 44 Mh 37.

1 Ταχθεὶς Cd || περιεζήτει (-τα Cb ἐζήτει Mh) omisso περιῄει Cb Cd Mh καὶ περιζητῶν omisso περιῄει Ce Cf || τὸν om. Cd || τούτῳ Ce || **2** δυνάμενον ἰάσασθαι Cb Cd Ce Cf Ch || δυνάμενον, τὶς Ce || παρόντων Cb Cd περιτυχόντων Cf || **3** εἰ θέλεις, ὦ οὗτος Mh || καὶ τὸ αἷμα Cd || καὶ τῷ αἵματι ἐκμάξας τῆς σῆς πληγῆς τῷ δράκοντι ἐπίδος φαγεῖν Mh || **4** πληγὸς Cb || **5** ἂν Cd || πρᾶξαι Cb || ἀπὸ Mh || **6** τῶν om. Cb || κυνῶν δαχθήσωμαι τῶν ὄντων ἐν τῇ πόλει Cd || δηχθήσομαι Cb Ce Cf Mh || **7** Ὅτι οὕτω καὶ ἡ τῶν ἀνθρώπων πονηρία δελεαζομένη ... παροξύνεται Cb || ὅτι οἱ (οἱ om. Cf) τῶν ἀνθρώπων πονηροὶ Ce Cf || **8** ὅτι pro ἔτι Cf || **7-8** Ὁ λόγος δηλοῖ ὅτι καὶ ἡ τῶν ἀνθρώπων πονηρία ἔτι μᾶλλον παροξύνεται δελεαζομένη ἢ χαρίσμασι καὶ ξενίοις Cd Ὁ μῦθος δηλοῖ ὅτι οἱ κακοὶ τῶν ἀνθρώπων ὑπὸ τῆς πονηρίας δελεαζόμενοι πλεῖον μᾶλλον ἀδικεῖν διεγείρονται Mh.

Aliter.

Δηχθείς τις ὑπὸ κυνὸς τὸν ἰασόμενον περιῄει ζητῶν. Ἐντυχὼν δέ τις αὐτῷ καὶ γνοὺς ὃ ζητεῖ· « Ὦ οὗτος,

Codd. La 25 Lb 36 Lc 13 Ld 16 Le 36 Lf 25 Lg 13 Md 42 Me 43 Mf 38 Mg 45 Mi 77 Mj 42 Mk 40 Ml 47 Mm 54 Mn 16.

1 ἰασάμενον Ld || **2** ὅ τι ζητεῖ Le.

εἶπεν, εἰ σῴζεσθαι βούλει, λαβὼν ἄρτον καὶ τούτῳ τὸ αἷμα τῆς πληγῆς ἐκμάξας, τῷ δακόντι κυνὶ φαγεῖν ἐπίδος. » Κἀκεῖνος γελάσας ἔφη· « Ἀλλ' εἰ τοῦτο ποιήσω, δεῖ με ὑπὸ πάντων τῶν ἐν τῇ πόλει κυκῶν δηχθῆναι. »

Ὁ μῦθος δηλοῖ ὅτι καὶ τῶν ἀνθρώπων οἱ πονηροὶ εὐεργετούμενοι μᾶλλον ἀδικεῖν παροξύνονται.

3 τοῦτο τὸ αἷμα Lc Le || 4 δακόντι σε Mk || 6 ἐν πόλει Me Mf || 7 Ὁ μῦθος ὅτι Lb Ld Md Mi Mm Ὅτι Mg.

179

Κύων ⟨ἑστιώμενος.⟩ siue Ἄνθρωπος καὶ κύων.

Ἄνθρωπός τις ἡτοίμαζε δεῖπνον, ἑστιάσων τινὰ τῶν φίλων αὐτῷ καὶ οἰκείων. Ὁ δὲ κύων αὐτοῦ ἄλλον κύνα ἐκάλει, λέγων· « Ὦ φίλε, δεῦρο συνδείπνησόν μοι. » Ὁ δὲ προσελθὼν χαίρων ἵστατο, βλέπων τὸ μέγα δεῖπνον, βοῶν ἐν τῇ καρδίᾳ· « Βαβαί, πόση μοι χαρὰ ἄρτι ἐξαπιναίως ἐφάνη· τραφήσομαί τε γὰρ καὶ εἰς κόρον δειπνήσω, ὥστε με αὔριον μηδαμῇ γε πεινᾶσαι. » Ταῦτα καθ' ἑαυτὸν λέγοντος τοῦ κυνὸς καὶ ἅμα σείοντος τὴν κέρκον, ὡς δὴ εἰς τὸν φίλον θαρροῦντος, ὁ μάγειρος, ὡς εἶδε τοῦτον ὧδε κἀκεῖσε τὴν κέρκον περιστρέφοντα, κατασχὼν τὰ σκέλη αὐτοῦ ἔρριψε παραχρῆμα ἔξωθεν τῶν θυρίδων. Ὁ δὲ κατιὼν ἀπῄει μεγάλως κράζων. Τῶν τις δὲ κυνῶν, τῶν καθ' ὁδὸν αὐτῷ σαναντώντων, ἐπηρώτα· « Πῶς ἐδείπνησας, φίλος ; » Ὁ δὲ πρὸς αὐτὸν ὑπολαβὼν ἔφη· « Ἐκ τῆς πολλῆς πόσεως μεθυσθεὶς ὑπὲρ κόρον οὐδὲ τὴν ὁδὸν αὐτὴν ὅθεν ἐξῆλθον οἶδα. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ θαῤῥεῖν τοῖς ἐξ ἀλλοτρίων εὖ ποιεῖν ἐπαγγελλομένοις.

Codd. La 133 Mg 20.

4 τὸν μέγαν δεῖπνον libri.

Digitized by Google

Aliter.

Ἄνθρωπος δέ τις δεῖπνον παρετοιμάζει
εἰς τὸ καλέσαι φίλον αὐτοῦ οἰκεῖον.
Αὐτοῦ δ' ὁ κύων ἄλλον κύνα ἐκάλει
λέγων· « Ὦ φίλε, δεῦρο δείπνησον ὧδε. »
Ὁ δὲ προσελθὼν χαίρων ἵστατο βλέπων
τὸ μέγα δεῖπνον, βοῶν ἐν τῇ καρδίᾳ·
« Βαβαί, πόση μοι ἄρτι χαρὰ ἐφάνη·
ἐξαπίνης με ἄρτι τοῦτο κατέσχε·
τραφήσομαι γὰρ καὶ εἰς κόρον δειπνήσω,
ἵνα αὔριον μὴ πεινάσω καθόλου. »
Ταῦτα οὖν λέγων καθ' ἑαυτὸν ὁ κύων
ἔσειε τὴν κέρκον θαρρῶν εἰς τὸν φίλον
τὸν κεκληκότα αὐτὸν ἐπὶ τὸ δεῖπνον.
Ὁ οὖν μάγειρος τοῦτον εὐθὺς ὡς εἶδεν,
οὐρὰν περιστρέφοντα ὧδε κἀκεῖσε,

Codd. Ch 16 Ca 22 Cb 16 Cc 13 Cd 16 Mb 81 Mc 21 Mk 22 Lf 133.

1 Ἀνθρώπου τινὸς δεῖπνον παρετοιμάζοντος (παρασκευάζοντος Cc Ca Cc || Ἄνθρωπός τις δεῖπνον ἡτοίμαζεν Mk || παρετοιμάζει Ch -άζων Cb Cd Mc -αζεν Lf || Mb sic incipit: Κύων ἄλλον κύνα ἐκάλει ἐπὶ δεῖπνον, τοῦ κυρίου αὐτοῦ δεῖπνον τοῖς γνωστοῖς καὶ φίλοις καὶ σὺν ἤθεσι παρητοιμακότος. Ὁ δὲ προσελθὼν || **2** οἰκεῖον αὐτοῦ Ce || **3** Καὶ (καὶ om. Cc) ὁ κύων τούτου Ca Cc Ὁ δὲ κύων αὐτοῦ Mk || δὲ om. Mc || κύνα om. Cb Cd || **4** φίλε κύων Cb Cd || συνδείπνησόν μοι (με Lf) Cb Cd Mc Mk Lf || **5** βλέπων δὲ Ca βλέπειν Mb || βλέπων et octo uersus sequentes om. Cc || **6** τὸν μέγαν (-γα Cd) libri excepto Ch || ἔχων pro βοῶν Mb ἐβόα Ca || **7** πόση με χαρὰ ἄρτι κατέσχεν, ἐπεὶ ἐξαπίνης ἂν τοῦτο ἐφάνη Ca || μοι χαρὰ πόση ἄρτι ἐφάνη Mb || **8** μοι Cb Cd Mc Mk Lf || συνέβη pro κατέσχε Mk || **9** τροφήσομε Mb τραφήσομαι δὲ Mk || **10** ἵνα φαγὼν αὔριον μὴ πεινάσω Cd || καθόλου om. Cb Cd || **11** γοῦν Mb οὖν om. Mk || ἑαυτοῦ Lf || **12** ἔσει Cb Cd ἐσείει Lf || ὡς θαρρῶν Cb Cd Mb Mc Mk Lf καθορῶν pro θαρρῶν Ca || **13** τὸ δεῖπνον Ch τὸν δ- ceteri || u. 13 om. Cb Cd Mc Mk Lf || **14** τοῦτο Cb || ἴδεν Mc || ὡς εἶδε διερχόμενον ὧδε κἀκεῖσε μάτην κατασχὼν αὐτὸν ἐκ σκελῶν ἀμφοτέρων ἔρριψεν εὐθὺς ἔξωθεν τῶν θυρίδων Mb || **15** ὧδε κἀκεῖσε τὴν οὐρὰν (κέρκον Mc Mk Lf) περιστρέφοντα (-φων Mc Lf ἐπιστρέφων Cb Cd) Ch Ca Cb Cd Mc Mk Lf || u. 15 om. Cc.

Digitized by Google

κατασχὼν αὐτοῦ τοῦ σκέλους παραχρῆμα
ἔρριψεν αὐτὸν ἔξωθεν τῶν θυρίδων.
Ὁ δε κατιὼν ἀπῄει ἀνακράζων.
Τῷ δὲ τῶν κυνῶν ὁδῷ προσυπαντώντων
κἀπερωτώντων· « Πῶς ἐδείπνησας, φίλε ; »
οὗτος πρὸς αὐτοὺς ὑπογελῶν ἐβόα·
« Ἐξ ὧν ἔπιον μεθυσθεὶς ὑπὲρ κόρον
οὐδὲ τὴν ὁδὸν ὅθεν ἐξῆλθον εἶδον. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ θαρρεῖν τοῖς μηδὲν ἀνύουσιν.

16 κατασχὼν περὶ τοῦ σκέλους αὐτοῦ καὶ μανεὶς οὖν ὁ μάγειρος τοῦτον ἐκ τοῦ κέρκου ἁρπάσας ὧδε κἀκεῖσε προστρίψας ἔρριψεν αὐτὸν ἐκ θυρίδων Cb. || καὶ μανεὶς ὁ μάγειρος σχὼν ἐκ τῆς κέρκου τοῦτον ὧδε δὲ κἀκεῖσε τούτου συστρέψαι ἔρριψεν αὐτὸν ἐκ τῆς θυρίδος. Ὁ δὲ κατιὼν καὶ τὸ σκέλος συνθλάσας ἀπίειν βοῶν καὶ κράζων Cd || κατασχὼν αὐτὸν ἔρριψεν ἔξω τῆς θυρίδος ceteris omissis Mk || τὰ σκέλη Ca Cc Mc τὰ σκεύη Lf || παραυτίκα Mc Lf || παραχρῆμα om. Cc || **17** ἔξω Ca Cc || 18 κατιὼν om. Mk || ἀπίει Mc ἀπείει Mk || ἀνοιμώζων Mb || **19** Τῷ δὲ nos Τὸν δὲ Ch Mc Lf Τῶν δὲ Ca Cb Cc Cd || τῶν ante κυνῶν om. Ca Cc Cd || αὐτῷ pro ὁδῷ Ca Cc || προσαπαντώντων Cd Mc Lf || Ἑτέρων δὲ τούτων κυνῶν ὑπηντηκότων εὐθὺς ἠρώτων Mb Ἐπερωτώτων δὲ αὐτὸν τῶν προσυπαντώντων κυνῶν Mk || 20 κἀπερωτώντων nos κατεπηρώτων (κατεπε- Mc) Ch Mc κατ- αὐτὸν Cb Cd Lf καὶ κατεπερωτώντων Ca καὶ ἐπηρωτώντων Cc || **21** Ὁ δὲ Cb Cd Mb Mc Lf || Οὗτος πρὸς αὐτοὺς om. Mk || ὑπογελῶν om. Cc ἀπογελῶν Cb Cd Mc Mk Lf || ἔβα Mb ἔλεγε Cc || **22** Ἐκ τὰ ἔπιον Ch Mc Ἐκ τὰ ἔπιον πολλὰ Cb Cd Ἐκ τὰ ἔπια Lf ὡς γὰρ ἔπιον Ca Cc || τοσοῦτον ἐμεθύσθην τῇ ἡδονῇ ὥστε οὐδὲ ... εἶδα Mk u. 22 om. Mb || **23** εἶδον ὅθεν ἐξῆλθον Mb || εἶδον om. Cd Mc οἶδα Lf || **24** Ὅτι Cb || μηδὲν δυναμένοις Mk || τοῖς πολλὰ μὲν ἐπαγγελλομένοις, μηδὲν δὲ ἀνύουσιν Cd || Λόγος οὗτος ἐπ' ἀνδρὸς λεχθείη αὐθαδοῦς ὃς τοὺς κατὰ πολὺ δυνατωτέρους συκοφαντεῖν ἐπίχει, epim. cancellatum Mb.

Aliter.

Ἄνθρωπός τις δεῖπνον ἡτοίμαζεν εἰς τὸ καλέσαι φίλον αὐτοῦ οἰκεῖον. Ὁ δὲ κύων αὐτοῦ ἄλλον κύνα ἐκάλει λέγων· « Ὦ φίλε, δεῦρο δείπνησον ὧδε. » Ὁ δὲ προσελθὼν καὶ ἰδὼν τὸ μέγα ἐκεῖνο δεῖπνον ἵστατο καὶ διελογίζετο· « Βαβαί, πόση μοι χαρὰ ἄρτι ἐφάνη· ἐξαπίνης γάρ με αὕτη κατέσχε, καὶ εἰς κόρον μέλλω τρυφῆσαι. » Ταῦτα καθ'

Codd. Ma 151 Md 21 Mh 14 Mi 56 Mm 21.

2 οἰκρὸν pro οἰκεῖον Mh || Ὁ δὲ om. Ma || **4** τὸν μέγαν (-γα Mh) δεῖπνον ἐκεῖνον Mh Mm τὸν μέγαν ἐκεῖνον (ἐκ- in margine Md) δεῖπνον ceteri || χαίρων ἵστατο Mh || **5** αὕτη με Mm

ἑαυτὸν στρέφων ὁ κύων καὶ σείων τὴν κέρκον, ἑώρα πρὸς τὸν φίλον τὸν κεκληκότα ἐπὶ τὸ δεῖπνον. Ὁ οὖν μάγειρος ἰδὼν αὐτὸν τὴν κέρκον ὧδε κἀκεῖσε περιστρέφοντα, κατασχὼν ἐκ τοῦ σκέλους, ἔρριψεν αὐτὸν διὰ τῆς θυρίδος. Ὁ δὲ κατιὼν ἀπῄει κράζων. Τῶν δὲ κυνῶν προσυπαντώντων καὶ ἐπερωτώντων αὐτόν· « Πῶς ἐδείπνησας; » ὑπολαβὼν ἔφη πρὸς αὐτούς· « Ἐξ ὧν ἔπιον μεθυσθεὶς ὑπὲρ κόρον οὐδὲ τὴν ὁδὸν εἶδον ὅθεν ἐξῆλθον. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ θαρρεῖν τοῖς μηδὲν ἀνύουσιν.

8 κεκληκότα αὐτόν Mh || **9** κἀκεῖσε τὴν κέρκον Mh || **10** Ὁ δὲ κύων Mi || **11** καταπιὼν Mi || Τὸν δὲ κυνῶν προσυπάντων Ma || **13** αὐτόν Mh || **14** ὁδὸν om. Mi || **15** Ὁ μῦθος ὅτι Md Mi.

Aliter.

Δεῖπνόν τις εἶχεν. Ὁ δὲ τούτου κύων ἕτερον κύνα φίλον αὐτοῦ ἐκάλει. Ὁ δὲ ἦλθεν. Ὁ μάγειρος δὲ ἄρας αὐτὸν τοῦ σκέλους ἔρριψεν ἔξω. Τῶν κυνῶν δὲ ἐρωτώντων αὐτὸν πῶς ἐδείπνησε· « Τοιαῦτα ἔφη ὅτι οὐδὲ τὴν ὁδὸν οἶδα ὅθεν ἐξῆλθον. »

Ὅτι πολλάκις οἱ ἐκβληθέντες ὡς ἀνάξιοι δόξης αἰσχυνόμενοι πειρῶνται κενοδοξεῖν διὰ λόγων.

Cod. Ba 27

Aliter.

Δεῖπνόν τις ἐτέλει λαμπρόν. Ὁ δὲ τούτου κύων ἕτερον κύνα διὰ φιλίας εἰς τὸ δεῖπνον μετεκαλεῖτο. Τοῦ δὲ κεκλημένου καταλαβόντος καὶ ἐν τῷ ὀπτανείῳ περιπολοῦντος, ὁ ὀψοποιὸς τοῦτον ἐκ τοῦ σκέλους λαβὼν τῆς πύλης ἔξωθεν ἐσφενδόνησεν. Ὁ δὲ ἀναστὰς πρὸς φυγὴν ἐτράπετο. Τῶν δὲ ὑπαντώντων κυνῶν ἐπερομένων αὐτὸν πῶς τῷ δείπνῳ ἐπανεπαύσατο, εἶπε· « Τῇ τρυφῇ καρωθεὶς οὐδὲ τὴν ὁδὸν εἶδον ὅθεν ἐξῆλθον. »

Ὅτι πολλάκις διὰ λόγου τινὲς τὴν ἀτιμίαν αὐτῶν πειρῶνται διασκεδάζειν.

Cod. Bc 21.

Aliter.

Δεῖπνόν τις ἄνθρωπος εἶχεν. Ὁ δὲ τούτου κύων ἕτερον κύνα ἑαυτοῦ φίλον ἐπὶ τὸ δεῖπνον ἐκάλει. Ἐλθόντα οὖν ὁ μάγειρος αὐτὸν ἐκ τῶν ποδῶν ἄρας τοῦ μαγειρίου ἔρριψεν

Cod. Bd 10.

Digitized by Google

ἔξω. Τῶν δὲ λοιπῶν κυνῶν ἐν τῇ ὁδῷ ἐρωτώντων ὅπως ἐδείπνησεν· « Οὕτως, ἔφη, ὥστε οὐδὲ τὴν ὁδὸν εἶδον ὅθεν ἐξῆλθον. »

180

Κύων ⟨θηρευτικὸς καὶ κύνες⟩.

Κύων τρεφόμενος ἐν οἴκῳ, θηρσὶν εἰδὼς μάχεσθαι, ἰδὼν πολλοὺς ἐν τάξει ἱσταμένους, ῥήξας τὸν κλοιὸν τοῦ τραχήλου, ἔφευγε διὰ τῶν ἀμφόδων. Κύνες δὲ ἄλλοι τοῦτον ἰδόντες εὐτραφῆ οἷα ταῦρον εἶπον· « Τί φεύγεις; » Ὁ δὲ εἶπεν· « Ὅτι μὲν τροφῇ συζῶν περισσῇ οἶδα καὶ σῶμα τὸ ἐμὸν εὐφραίνων· ἀεὶ δὲ πλησίον εἰμὶ θανάτου, ἄρκοις καὶ λέουσι μαχόμενος. » Οἱ δὲ πρὸς ἀλλήλους εἶπον· « Καλὸν βίον ἡμεῖς, εἰ καὶ πανιχρόν, ζῶμεν, οἵτινες οὔτε λέουσι οὔτε ἄρκοις μαχόμεθα. »

Ὅτι οὐ δεῖ κινδύνους ἑαυτῷ ἐπιφέρειν διὰ τρυφὴν καὶ ματαίαν δόξαν, ἀλλὰ τούτους ἐκφεύγειν.

Codd Ba 69 Mb 244.

2 που λύκον ... ἱστάμενον Mb || ῥύξας Mb || **4** εἶπεν Ba || **5** τροφῇ ... σσῃ οἶδα καὶ ... Mb reliqua linea legi non potest; in linea sequente legi possunt οὐ λέουσιν οὔτε ἄρκτοις; reliqua linea euanida est, atque duae lineae mediae omissae sunt || **6** εὐφραίνω codd. || **7** λέουσι Knöll κυσὶ Ba || **10** κινδύνου Ba.

Aliter.

Κύων θηρευτικὸς ῥήξας τοὺς δεσμοὺς τοῦ τραχήλου ἔφευγε διὰ τῶν ἀμφόδων. Κύνες δὲ ἕτεροι οἷάπερ ταῦρον ἰδόντες εὐπαθῆ, τὴν αἰτίαν τῆς φυγῆς ἐπηρώτων. Ὁ δὲ εἶπεν· « Ὅτι τροφῇ συζῶ περισσῇ καὶ τὸ σῶμα τὸ ἐμὸν εὐφραίνω οὐκ ἀπαρνοῦμαι· ἀεὶ μέντοι πλησίον εἰμὶ θανάτου ἄρκοις καὶ λέουσι μαχόμενος. » Οἱ δὲ πρὸς ἀλλήλους εἶπον· « Καλῶς ἡμῖν τὸ πενιχρῶς ζῆν οὔτε λέουσιν οὔτε ἄρκοις μαχομένοις. »

Cod. Bd 34.

2 ἀφόδων cod. || **3** ἐπερώτων cod. || **5** εὐφραί/ω/ cod. || **8** μαχόμενοι cod.

Digitized by Google

181

Κύων καὶ ἀλέκτωρ καὶ ἀλώπηξ.

Κύων καὶ ἀλέκτωρ φιλίαν πρὸς ἀλλήλους ποιησάμενοι ἐν τῷ ἅμα ὥδευον. Τῆς δὲ νυκτὸς καταλαβούσης, ἐν τόπῳ ἀλσώδει ἐλθόντες, ὁ μὲν ἀλεκτρυὼν ἐπί τι δένδρον ἀναβὰς ἐν τοῖς κλάδοις ἐκάθισεν· ὁ δὲ κύων κάτωθεν τῆς ῥαγάδος τοῦ δένδρου ἀφύπνωσε, καὶ τῆς νυκτὸς παρελθούσης καὶ αὐγῆς καταλαβούσης, ὁ ἀλέκτωρ κατὰ τὸ σύνηθες μεγάλα ἐκεκράγει. Ἀλώπηξ δὲ τούτου ἀκούσασα καὶ βουλομένη αὐτὸν καταθοινήσασθαι, ἐλθοῦσα καὶ στᾶσα κάτωθεν τοῦ δένδρου ἐβόα πρὸς αὐτόν· « Ἀγαθὸν ὄρνεον εἶ καὶ χρηστὸν τοῖς ἀνθρώποις· κατάβηθι δὲ ὅπως ᾄσωμεν τὰς νυκτερινὰς ᾠδὰς καὶ συνευφρανθῶμεν ἀμφότεροι. » Ὁ δὲ ἀλέκτωρ ὑπολαβὼν ἔφη αὐτῇ· « Ἄπελθε, φίλε, κάτωθεν πρὸς τὴν ῥίζαν τοῦ δένδρου καὶ φώνησον τὸν παραμονάριον, ὅπως κρούσῃ τὸ ξύλον. » Τῆς δὲ ἀλώπεκος ἀπελθούσης τοῦ φωνῆσαι αὐτόν, ὁ κύων ἄφνω πηδήσας καὶ τὴν ἀλώπεκα δραξάμενος, διεσπάραξεν αὐτήν.

Codd. Ca 88 Ce 64 Cf 68 Mh 65.

1 κτησάμενοι πρός ἀλλήλους φιλίαν ὤδευον ἐν τῷ ἅμα Mh || ἐν τὸ ἅμα Ce || **2** Τῆς νυκτὸς ἐλθόντες ἐν τόπῳ ἀλσώδι Mh || καὶ ἐν τόπῳ ἀλσώδη ἐλθόντες Cf || **3** ἐλθόντων Ca || ἐπί τι nos ἐπὶ τὸ Ca || τῷ δένδρῳ sine ἐπὶ Ce Cf ἐν δένδρῳ Mh || **4** ἐκάθησεν Ce || κάτωθεν τῆς ῥίζης Ce || τῆς ῥαγάδος om. Mh || ῥάγδος Cf || **5** ἐφύπνωσε Cf ἐκάθησεν ὑπνώσας Ce || τῆς δὲ νυκτός Ce Cf Mh || **6** συνῆθι Mh || μεγάλα om. Ce Cf || **7** ἐφώνει Ce Cf || **8** τοῦτον καταφαγεῖν Mh || φαγεῖν Ce Cf || ἐλθοῦσα ἔστη κάτω τοῦ δένδρου εὐφημοῦσα τὸν ἀλέκτορα οὕτως Ce || ἐλθοῦσα καὶ om. Mh || κάτωθεν στᾶσα Mh || **9** ὅτι ἀγαθὸν ὄρνεον εἶναι Cf || ὦ ἀγαθὸν ὄρνεον καὶ χρηστὸν τοῖς ἀνθρώποις, κατάβηθι ὅπως Ce Mh || **10** ἀνθρώποις καὶ ὅτι κατάβηθι Cf || **11** ἀμφότεροι καὶ συνευφρανθῶμεν ὅμου Ce || ἀλεκτρυών Mh || **13** λάλησον τῷ παραμοναρίῳ Mh || προσμονάριον Ce Cf || **14** Ἡ δὲ ἀλώπηξ ἀπελθοῦσα πρὸς τὸ φωνῆσαι αὐτὸν (φωνήσον pro πρὸς τὸ φωνῆσαι αὐτὸν Mh) Ce Cf Mh || **15** καὶ ταύτην δραξάμενος Mh || **16** αὐτήν om. Mh.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι, ὁπόταν τι κακὸν αὐτοῖς ἐπέλθῃ, ῥᾳδίως πρὸς αὐτὸ ἀντιπαρατάσσονται.

17 Ὁ μῦθος δηλοῖ ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τοὺς πανούργους κατὰ τέχνην αὐτοὺς παγιδεύουσιν Ce Ὁ μ- δ- ὅ- φ- τ- ἀ- ἐπιτηδείως τοῖς ἀνθρώποις τὰ ἀντάξια ἀποδίδουσιν Mh || οἱ φρόνιμοι τῶν ἀνθρώπων Cf || 18 πρὸς τοὺς ἐχθροὺς αὐτῶν παραγίνονται τὰ ἀντάξια Cf.

Aliter.

Κύων καὶ ἀλεκτρυὼν ἑταιρείαν ποιησάμενοι ὥδευον. Ἑσπέρας δὲ καταλαβούσης, ὁ μὲν ἀλεκτρυὼν ἐπὶ δένδρου ἐκάθευδεν ἀναβάς, ὁ δὲ κύων πρὸς τῇ ῥίζῃ τοῦ δένδρου κοίλωμα ἔχοντος. Τοῦ δὲ ἀλεκτρυόνος κατὰ τὸ εἰωθὸς νύκτωρ φωνήσαντος, ἀλώπηξ ἀκούσασα πρὸς αὐτὸν ἔδραμε καὶ στᾶσα κάτωθεν πρὸς ἑαυτὴν κατελθεῖν ἠξίου· ἐπιθυμεῖν γὰρ ἀγαθὴν οὕτω φωνὴν ζῷον ἔχον ἀσπάσασθαι. Τοῦ δὲ εἰπόντος τὸν θυρωρὸν πρότερον διυπνίσαι ὑπὸ τὴν ῥίζαν καθεύδοντα, ὡς, ἐκείνου ἀνοίξαντος, κατελθεῖν, κἀκείνης ζητούσης αὐτὸν φωνῆσαι, ὁ κύων αἴφνης πηδήσας αὐτὴν διεσπάραξεν.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων τοὺς ἐχθροὺς ἐπελθόντας πρὸς ἰσχυροτέρους πέμπουσι παραλογιζόμενοι.

Codd. La 36 Lb 63 Le 63 Lf 36 Lh 26 Ma 177 Md 70 Me 78 Mf 69 Mg 87 Ml 81 Mm 84.

1 Κύων κτησάμενοι καὶ ἀλέκτωρ (καὶ ἀλ- κτησάμενοι Mm) πρὸς ἀλλήλους φιλίαν ὥδευον Ma Md Mm || 2 καταλαμβανούσης Ma Md || ἡ μὲν ἀλεκτρυὼν Lf || ἐπὶ δένδρον Me Mf || 3 πρὸς τὴν ῥίζαν Me Mf || ῥίζᾳ Lf || τοῦ δένδρου om. Lh || 6 κάτωθεν καὶ (καὶ om. Lf Me Mf Ml) αὐτὸν (αὐτὴν Le ἑαυτὸν Lf) κατελθεῖν libri excepto L1 Mg || 7 φωνὴν οὕτω Lh || ζῷον οὕτω φωνὴν ἔχον ἀσπάζεσθαι Ma Md || ζώου ἔχοντος Le || ἔχων Mm || 11 κατεσπάραξεν Ml || 12 Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Md Mg || 13 ἰσχυροτέρους ἐχθροὺς Le Lh Me Ml Mm.

182

Κύων καὶ κόχλος.

Ὠά τις κύων καταπίνειν εἰθισμένος, ἰδών τινα κόχλον, χάνας τὸ στόμα αὐτοῦ, μεγίστῃ συνολκῇ καταπέπωκε

Cod. Ma 145.

1 ἠθισάμενος cod. || 2 σὺν ὁλκῇ καταπέποκε cod.

Digitized by Google

τοῦτον, οἰηθεὶς ᾠὸν εἶναι. Βαρούμενος δὲ τὰ σπλάγχνα καὶ ὀδυνόμενος ἔλεγε· « Δίκαια ἔγωγε πέπονθα, εἴγε πάντα περιφερῆ ᾠὰ πεπίστευκα. »

Διδάσκει ἡμᾶς ὁ λόγος ὅτι οἱ ἀδικάστως πρᾶγμα προσιόντες λανθάνουσιν ἑαυτοὺς περιπείροντες ἀτόποις.

5 περιφέρειν cod. || **6** ἀδεκάστως cod. || **7** ἀτοπίσις. cod.

183

Κύων καὶ λαγωός.

Κύων θηρευτικὸς λαγωὸν συλλαβών, τοῦτον ποτὲ μὲν ἔδακνε, ποτὲ δὲ αὐτοῦ τὰ χείλη περιέλειχεν. Ὁ δὲ ἀπαυδήσας ἔφη πρὸς αὐτόν· « Ἀλλ', ὦ οὗτος, παῦσαί με καταδάκνων ἢ καταφιλῶν, ἵνα γνῶ πότερον ἐχθρὸς ἢ φίλος μου καθέστηκας. »

Πρὸς ἄνδρα ἀμφίβολον ὁ λόγος εὔκαιρος.

Codd. Pa 129 Pb 135 Pg 88 Cd 71.

1 λαβὼν ποτε λαγωόν, τοῦτον πῇ μὲν ἔδακνε, πῇ δ' αὐτοῦ Pb || συλλαβόμενος Pg Cd || τοῦτον om. Pg Cd || **2** τὰ χείλη αὐτοῦ Cd || ἀπιδήσας Cd || **3** παῦσαι μὴ Pa Cd || δάκνων Pb || **4** πότε ἐχθρὸς εἶ φίλος Cd || μου καθέστηκας om. Pg Cd || **6** εὔκαιρος om. Pg || Ὁ λόγος ἁρμόζει πρὸς ἄνδρα ἀμφίβολον Cd.

Aliter.

Κύων λαγωὸν διώξας ἐκράτησεν καὶ ποτὲ μὲν ἔδακνε, ποτὲ δὲ σαίνων προσέχαιρε καὶ ἐφίλει. Καὶ ὁ λαγωὸς εἶπεν· « Εἰ μὲν φίλος εἶ, τί δάκνεις; εἰ δὲ ἐχθρός, τί σαίνεις οὐρήν; »

Ὅτι τοῖς τὸ ἦθος ἀνθρώποις παλίμβουλον κεκτημένοις οὔτε ἀπιστεῖν ἔνεστι οὔτε πιστεύειν.

Cod. Ba 68.

2 ἠφίη cod.

Digitized by Google

184

Κύων καὶ μάγειρος.

Κύων εἴς τι μαγειρεῖον εἰσελθών, τοῦ μαγείρου ἀσχοληθέντος, καρδίαν ἁρπάσας ἔφυγεν. Ὁ δὲ ἐπιστραφείς, ὡς ἐθεάσατο αὐτόν, εἶπεν· « Ἀλλ', ὦ οὗτος, ὅπου ἂν ᾖς, φυλάξομαι σε· οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν δέδωκας. »

Ὁ λόγος δηλοῖ ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνονται.

Codd. Pa 124 Pg 85 Mb 241 — Ce 61 Cf 65 Ch 67 Mh 60.

1 τι om. C Mh || μαγειρίον C || είσελθοῦσα Pg Mb ἐλθών Mh || καὶ τοῦ μαγείρου C Mh || ἀσχοληθέντος Pa ἀσχολουμένου ceteri || **2** ἁρπάσασα Pg Mb || ἔφαγεν Mb || Ὁ δὲ μάγειρος C Mh || στραφεὶς Ce Cf || καὶ ἰδὼν Mh || **3** αὐτὴν Pg Mb αὐτὸν φεύγοντα C Mh || εἶπεν Pa ἔφη ceteri || 'Αλλ' om. C Mh || ὦ om. Pg Mb || αὕτη P Mb || ὅπου δ' ἂν εἶ (ᾖ Cf) Ch Cf || ᾖ Pa Mh εἴης Pg || ἀπὸ τοῦ νῦν pro ὅπου ἂν ᾖς Ce || **4** σοι Mb C σου Mh || οὐ γὰρ .. δέδωκας om. Pa Pg Mb || ὑπ' Mh || ἔμοιγε Cf Ch Mh || **5** ἔδωκας Mh || **6** τῶν ἀνθρώπων Pg Mb Ch Mh || **7** γίνονται μαθήματα Ce.

Aliter.

Κύων εἰσπηδήσας εἰς μαγειρεῖον καί, τοῦ μαγείρου ἀσχολουμένου, καρδίαν ἁρπάσας, ἔφυγεν. Ὁ δὲ μάγειρος ἐπιστραφείς, ὡς εἶδεν αὐτὸν φεύγοντα, εἶπεν· « Ὦ οὗτος, ἴσθι ὡς, ὅπουπερ ἂν ᾖς, φυλάξομαί σε· οὐ γὰρ ἀπ' ἐμοῦ καρδίαν εἴληφας, ἀλλ' ἐμοὶ καρδίαν ἔδωκας. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνονται.

Codd. La 34 Lb 61 Lc 17 Ld 24 Le 61 Lf 34 Lg 17 Ma 172 Mc 56 Md 64 Me 76 Mf 67 Mg 85 Ml 79 Mm 78 Mn 24.

1 καὶ om. Ma || **2** ἁρπάγας Lc ἀποσπάσας Le || **4** ὡς om. Ma Mc Md Mn || ὅπερ Mf || ἀπ' ἐμαυτοῦ Mm || **5** δέδωκας Lb Mm || **6** Ὅτι Md || **7** γίνεται Lc Lf Me Ml.

Digitized by Google

Aliter.

Κύων εὑρὼν μάγειρον ἐν μαγειρείῳ
ἀσχολούμενον εἰς τὸ ποιῆσαι ὄψα,
ἁρπάσας ἔφυγεν καρδίαν προβάτου.
Ἔφησε δ' ὁ μάγειρος πρὸς κύνα οὕτως·
« Ὦ κακὲ κύων, οὐκ ἂν ἐμὲ λανθάνοις·
ἣν γὰρ ἐμοῦ καρδίαν δοκεῖς λαμβάνειν,
ταύτην ἐγὼ ἔλαβον διπλῆν ἐκ σοῦ γε. »
Ἐκεῖνα μανθάνει τις ἅπερ μαθεῖν φέρει ἡ τύχη.

Cod. Cd 58.

1 μαγειρίῳ cod. ||3 ἔφυγεν καρδίαν προβάτου nos ἔφυγεν ὁ κύων καρδίαν τοῦ προβάτου cod. || 5 ἐμὲ λανθάνοις nos μου λήθεις cod.

185

Κύων ⟨κοιμώμενος⟩ καὶ λύκος.

Κύων πρὸ ἐπαύλεώς τινος ἐκοιμᾶτο. Λύκος δὲ θεασάμενος καὶ συλλαβὼν οἷός τε ἦν καταφαγεῖν. Ὁ δὲ αὐτοῦ ἐδεήθη πρὸς τὸ παρὸν μεθεῖναι αὐτόν, λέγων· « Νῦν μὲν λεπτός εἰμι καὶ ἰσχνός· μέλλουσι δέ μου οἱ δεσπόται γάμους ἄγειν· ἐὰν οὖν ἀφῇς με νῦν, ὕστερον λιπαρώτερον καταθοινήσῃ με. » Ὁ δὲ πεισθεὶς τότε μὲν ἀπέλυσε· μεθ'

Codd. Pa 127 Pb 133 Pc 73 Pf 71 Pg 87 Mb 83 Mj 88.

1 πρὸς ἐπαύλεως Pb || τοῦτον (αὐτὸν Pc) θεασάμενος Pb Pc || 2 ᾤετο pro οἷός τε ἦν Pb || καταθοινίσασθαι Pg || Ὁ δὲ om. Pa || ἐδεήθη αὐτοῦ Pf Mj || 3 μετεῖναι Pb μὴ θῦσαι Pg μὴ θῦναι Mb || μὲν om. Mb || 4 αὐτοῦ οἱ δεσπόται Pf Mj οἱ δεσπόται μου Pg Mb || 5 ἔχειν Pb ἀγαγεῖν Pc || ἐὰν οὖν ἀφῇς με νῦν, ὕστερον λιπαρώτερον καταθοινήσεις Pb (-σῃ nos) || ἐὰν οὖν ἀφῇ αὐτόν (αὐτὸν ἀφῇ Pa), ὕστερον λιπαρὸν (-ρώτερον Pf Mj) αὐτὸν (αὐτὸν om. Pc) καταθοινήσεται (-σασθαι Pa) Pc Pf Mj καὶ ἐὰν ἀφῇς με, ὕστερον λιπαρὸν (λυπαρότερον Mb) γεγονότα καταθοινήσῃ (καταθύσεις Mb) με Pg Mb || 6 πεισθεὶς αὐτῷ Pb Pf Pg Mb Mj || πεισθεὶς αὐτὸν ἀπέλυσεν Pc || ἀπέλυσεν αὐτόν Pf Pg Mb Mj.

Digitized by Google

ἡμέρας δὲ ὀλίγας ἐλθών, ὡς ἐθεάσατο αὐτὸν ἐπὶ τοῦ δώματος κοιμώμενον, ἐκάλει πρὸς αὐτόν, ὑπομιμνῄσκων τῶν ὁμολογιῶν. Ὁ δὲ ὑποτυχὼν ἔφη· « Ἀλλ', ὦ λύκε, ἐὰν αὖθίς με πρὸ τῆς ἐπαύλεως κοιμώμενον ἴδῃς, μηκέτι γάμους ἀναμείνῃς. »

Οὕτως οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν περί τι κινδυνεύσαντες ἐκφύγωσι, ταῦτα εἰς ὕστερον φυλάσσονται.

7 ἐλθὼν om. Pa || 8 δωματίου Pb || κοιμώμενον om. Pc || κατεκάλει Pc κατενεκάλει Pf || προσεκαλεῖτο αὐτόν τῶν συνθηκῶν Pg Mb || πρός αὐτόν ἀρτίως ἐξελθεῖν Pb || αὐτὸν codd. || 9 ὑπολαβὼν Pg Mb || 10 ὑπὸ τῆς ἐπαύλεως Pc || κοιμώμενον om. Pg Mb || 11 ὑπομείνῃς Pc || 12 Οὔτω καὶ Pc || Οὕτως καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι Pf Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῶν ἀνθρώπων οἱ φρόνιμοι Mj || περί τινος Pb περί τινι Pc || 13 πάντα ὕστερον Pb ταῦτα ὕστερον Pc ὕστερον ταῦτα Pg Mb.

Aliter.

Κύων πρό τινος ἐπαύλεως ἐκοιμᾶτο. Λύκος δὲ τοῦτον θεασάμενος ἔδραμεν ἐπ' αὐτόν, μέλλων αὐτὸν καταφαγεῖν. Ὁ δὲ κύων ἐδέετο αὐτοῦ ὅπως μὴ θύσῃ αὐτόν, λέγων· « Νῦν, ὦ κύριέ μου, μὴ φάγῃς με, ὅτι λεπτός εἰμι καὶ ἰσχνὸς καὶ πτωχός· μικρὸν δὲ ἀνάμεινόν με· μέλλουσι γὰρ οἱ ἐμοὶ δεσπόται γάμους ποιῆσαι, καὶ ἐὰν ἄρτι ἐάσῃς με, φαγὼν περισσότερον, λιπαρώτερος γενήσομαι καὶ τότε

Codd. Ca 86 Cb 59 Ce 62 Cf 66 Ch 68 Mc 59 Mh 61 Mk 61.

1 Κύων ἐκάθευδε πρό τινος ἤδη ἐπαύλεως Mk || πρός Ca Mh || ἐπαύλεώς τινος C excepto Ca Mk || ἐκοιμᾶτον Mc || 2 θεασάμενος, καταλαβὼν (δραμὼν Ch) ἐπ' αὐτὸν καὶ λαβόμενος (αὐτὸν addit Mc) ἔμελλε φαγεῖν Cb Ch Mc || δραμὼν ἐπ' αὐτὸν καὶ μέλλων φαγεῖν, ὁ κύων Ce Cf καὶ δραμὼν πρὸς αὐτὸν καὶ κρατήσας ἔμελλεν ἐκεῖνον φαγεῖν Mk || ἔδραχεν Mh || ἤμελλε καταφαγεῖν Mh || 3 ἐδέετο αὐτὸν Mc Mh || αὐτὸν ἐδεῖτο Mk || ὅπως τὸ παρὸν μὴ θῦσαι (θύσῃ Ch) αὐτόν Cb Ch Mc ὅπως ἐάσῃ αὐτὸν Mh ὅπως τὸ νῦν ἔχων μὴ φάγῃ αὐτόν Mk || 4 Νῦν μὲν λέγων Mh || Νῦν μὲν omnes excepto Ca || ὦ om. Mk || μὴ φάγῃς με, ὅτι om. libri, excepto Ca || λεπρός Ce Cf || 5 ἀλλὰ μικρὸν ἀνάμεινόν μοι (με Ch Cf) Cb Ce Cf Ch Mc Mk ἀλλ' ἀνάμεινόν μοι μικρόν Mh || 6 εἰ Mh || ἐάσῃς μοι Cb ἀφῇς με Mk || 7 περισσοτέρως Cb Mc Mh, om. Ce Cf ἐγὼ περισσοτέρως Mk || γένομαι Mh || καὶ τὸ κρεῖττόν σοι φανοῦμαι Mh καὶ τότε .. φανήσομαι om. Ce.

Digitized by Google

κρείττων τίς σοι φανήσομαι. » Ὁ δὲ πεισθεὶς τοῖς λόγοις αὐτοῦ τότε μὲν κατέλιπεν αὐτόν· μεθ' ἡμέρας δὲ ὀλίγας ἐλθὼν ἐζήτει αὐτὸν καὶ εὑρίσκει αὐτὸν ἐπὶ τοῦ δώματος κοιμώμενον. Ὁ δὲ σταθεὶς κάτω ἐπεκαλεῖτο αὐτόν, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. Ὑπολαβὼν δὲ ὁ κύων ἔφη αὐτῷ· « Ὦ λύκε, ἐὰν ἀπὸ τοῦ νῦν πρὸ τῆς ἐπαύλεως ἴδῃς με, μηκέτι γάμους ἀναμείνῃς. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν περί τι κινδυνεύσαντες ἐκφύγωσιν, ὕστερον ταῦτα φυλάττονται.

8 κρεῖττόν σοι φανήσομαι Cf Mc σοι κρείττων φανοῦμαι Mk || τίς om. Cb Cf Ch || πεισθεὶς αὐτῷ (αὐτοῦ Mc) Cb Ch Mc Mh || τοῖς λόγοις αὐτοῦ om. Ce Cf Mk || 9 κατέλειπεν Cb Cf -λειψεν Ce -λιπεν Mk || 10 καὶ εὑρὼν αὐτὸν ἄνω ἐπὶ τοῦ δόματος Mh || καὶ οὐχ εὕρισκεν αὐτὸν πρὸς τῆς ἐπαύλεως κοιμώμενον Mk || εὑρίσκει ἐπὶ τοῦ δώματος αὐτὸν (αὐτὸν om Cb) κοιμώμενον Cb Mc || κοιμώμενον ἐν τῷ δόματι Ce || ἐπὶ om. Cf || 11 Καὶ σταθεὶς Ce Cf || Ὁ δὲ σταθεὶς κάτω om. Mh || κάτωθεν Mc || κοιμώμενον. Ὡς δὲ ἄνω εἶδεν αὐτόν, ὑπεμίμνησκεν αὐτὸν τὰς συνθήκας Mk || 12 αὐτῷ (αὐτοῦ Mc Mh) τὰς συνθήκας Cb Ce Cf Mc Mh || 13 αὐτῷ om. Mk || 14 εὕρις με Mh με ἴδῃς Cb Mc Mk || ἀναμένεις Cb || 15 Ὅτι οἱ Cb || οὕτως καὶ Cf || οὕτω om. Mc Mh Mk || 16 παρά τι Cb Mc Mk || κινδυνεύοντες Cf || κινδυνεύσωσι, ὕστερον ἐκ τούτου ἀσφαλῶς φυλάττονται Ce κινδυνεύσωσι, καὶ τοῦτο ἐκφύγωσι, ὕστερον ἐκεῖνο φυλάττονται Mk || ταῦτα om. Mh.

Aliter.

Κύων πρὸ ἐπαύλεώς τινος ἐκάθευδε. Λύκου δ' ἐπιδραμόντος καὶ βρῶμα μέλλοντος θήσειν αὐτόν, ἐδεῖτο μὴ νῦν αὐτὸν καταθῦσαι. « Νῦν μὲν γάρ, φησί, λεπτός εἰμι καὶ ἰσχνός· ἂν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους, κἀγὼ τηνικαῦτα πολλὰ φαγὼν πιμελέστερος ἔσομαι, καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι. » Ὁ μὲν οὖν λύκος πεισθεὶς ἀπῆλθε· μεθ' ἡμέρας δ'

Codd. La 35 Lb 62 Lc 44 Le 62 Lf 35 Lg 44 Lh 25 Ma 173 Md 65 Me 77 Mf 68 Mg 86 Ml 80 Mm 79.

1 ἐπαύλεις Mm || ἐκάθητο Le ἐκοιμᾶτο Me || 2 θύσειν Lg Mg Ml || 4 ἰχνὸς Lg ἰσχρός, omisso καὶ Lc || ἀλλ' εἰ (εἰ om. Md) μικρὸν Lg Ma Md Mm || ἀναμένῃς Lg || 5 ποιῆσαι Ma || γάμον Lg || πιμελεύγερος Ma ἐπιμελέστερος Mm || 6 σὺ ἡδύτερος Le ἡδέστερον Lc.

Digitized by Google

ἐπανελθὼν εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν κύνα καθεύδοντα, καὶ στὰς κάτωθεν πρὸς ἑαυτὸν ἐκάλει, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. Καὶ ὁ κύων· « Ἀλλ', ὦ λύκε, εἰ τὸ ἀπὸ τοῦδε πρὸ τῆς ἐπαύλεώς με ἴδοις καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων, ὅταν περί τι κινδυνεύσαντες σωθῶσι, διὰ βίου τοῦτο φυλάττονται.

8 ἄνω om. Le || κύονα Lf || 9 ἑτὸν pro ἑαυτὸν Le || συνεκάλει ὑπομνήσκων ἑαυτὸν Lg || αὐτῷ pro αὐτὸν Ml || 10 τῶν συνθηκῶν La Lg Md Mg τὰς συνθήκας ceteri || εἰ στόα τῇδε pro εἰ τὸ ἀπὸ τοῦδε Lg || 11 με om. Le || ἴδῃς Lc Lg Md || 12 ἀνάμενε Me Mf || 13 Ὁ μῦθος ὅτι Lb Lh Md Mm Ὅτι Mg || 14 διασωθῶσι Lc Lh M excepto Mg διασπασθῶσι Le || διὰ θεοῦ Lf || ὕστερον pro διὰ βίου Ml.

Aliter.

Καθεύδων κύων ἐν αὐλῇ τοῦ δεσπότου,
λύκος ἐθεάσατο νυκτί γε τοῦτον
καὶ δραμὼν ἐκράτησεν ἐκ τοῦ σφονδύλου.
Ὁ δὲ κύων ἔφη πρὸς τὸν λύκον οὕτως·
« Μηδαμῶς, ὦ κύριε, κατεστιάσῃ·
πτωχὸς γάρ εἰμι τὰ νῦν καὶ νεύρων πλήρης
καὶ πρὸς δεῖπνον χείριστος τῷ εὐωχοῦντι·
ἀλλὰ μικρόν με μέθες· καὶ γὰρ ἐλπίζω
ὡς οἱ ἐμοὶ δεσπόται γάμους ποιοῦσιν,
καὶ πλεῖστα φαγὼν λιπαρόσαρκος γένω
καὶ τότε φαγών με, εὐφρανῶ σου γεῦσιν. »
Ὁ δ' αἱμοβόρος καὶ μωρὸς ὄντως λύκος
πεισθεὶς τοῖς λόγοις ἀφίησι τὸν κύνα.
Αὖθις δὲ ἦλθεν ὁ λύκος μεθ' ἡμέρας,
ἀλλ' οἴκοι κοιμώμενον εὗρε τὸν κύνα,
καὶ κάτω σταθεὶς πρὸς αὐτὸν ἐπεβόα·
« Τὰς συνθήκας, ἔλεγε, ποιεῖ μοι, φίλε. »
« Ἂν ἀπὸ τοῦ νῦν, ὁ κύων ἀντεφώνει,
πρὸς ἔπαυλιν εὕδοντα ἐφεύρῃς, φίλε,
μηδαμῶς ἀναμείνῃς δεσπότου γάμους. »
Ὁ αὔριον ὄρνις τοῦ σήμερον κρεῖττον.

Cod. Cd 59.

4 ἔφησε cod. || 5 κατεσθιάσῃ cod. || 8 μοι μέθες cod. || 10 γένω barbarismus : fortasse λιπαρὸς ἂν γενοίμην || 11 τὴν γεῦσιν cod. || 14 δὲ ἦλθεν scripsi γὰρ πάλιν cod. || τοῦ σήμερον nos τῷ ὂν σήμερον cod.

Digitized by Google

186

Κύων κρέας φέρουσα.

Κύων κρέας ἔχουσα ποταμὸν διέβαινε· θεασαμένη δὲ τὴν ἑαυτῆς σκιὰν κατὰ τοῦ ὕδατος, ὑπέλαβεν ἑτέραν κύνα εἶναι μεῖζον κρέας ἔχουσαν. Διόπερ ἀφεῖσα τὸ ἴδιον ὥρμησεν ὡς τὸ ἐκείνης ἀφαιρησομένη. Συνέβη δὲ αὐτῇ ἀμφοτέρων στερηθῆναι, τοῦ μὲν μὴ ἐφικομένῃ, διότι οὐδὲ ἦν, τοῦ δὲ, ὅτι ὑπὸ τοῦ ποταμοῦ παρεσύρη.

Πρὸς ἄνδρα πλεονέκτην ὁ λόγος εὔκαιρος.

Codd. Pb 132 Pa 126 (truncus) Pc 72 Ma 92.

2 ἐν τῷ ὕδατι Pa || τὴν σκιὰν ὑπέλαβε μείζονα κρέας ἔχουσαν, ceteris omissis Ma || ὑπέλαβεν... ἔχουσαν om. Pa || **3** μείζονα Pc || **4** ὡς τὸ ἐκείνης ἀφαιρησομένη Pc ὥστε τὸ ἐκείνης ἀφαιρήσεται Pa εἰς τὸ ἐκείνης ἀφαιρεθησομένη Pb ὡς τὰ ἐκείνης ἀφαιρησομένης Ma || Συνέβη... στερηθῆναι om. Pa || αὐτὴν Ma || **5** καὶ τὸ μὲν ... τὸ δὲ Pa || μὴ om. Pa || ἐφικόμενον Pa -νην Pc Ma || διὸ μηδὲν ἦν Ma || οὐδὲ nos οὐδὲν Pa μηδὲ Pb μηδὲν Pc || **7** Ὁ λόγος πρὸς ἄνδρα πλεονέκτην εὔκαιρος Ma.

Aliter.

Κύων κρέας φέρων ποταμὸν διέβαινε· θεασάμενος δὲ τὴν ἑαυτοῦ σκιὰν κατὰ τοῦ ὕδατος ὑπέλαβεν ἕτερον κύνα εἶναι μεῖζον κρέας κατέχοντα, καὶ ἀφεὶς τὸ ἴδιον ὥρμησεν τὸ ἐκείνου λαβεῖν. Συνέβη δὲ αὐτὸν ἀπολέσαι ἀμφότερα, τὸ μὲν, διότι οὐδὲ ἦν, τὸ δὲ, ὅτι ὃ κατεῖχεν ὑπὸ τοῦ ῥεύματος κατεσύρη.

Codd. Ch 71 Cb 61 Ce 63 Cf 67 Mc 61 Md 69 Ml 93 Mm 83.

1 Κύων κρέας πλησίον ποταμοῦ ἤσθιεν Mc || καὶ θεασάμενος Ce Cf Ml θεασαμένου δὲ Md || **2** ἐπὶ τοῦ Md Mm ὑπὸ τοῦ Ml || **3** μεῖζον (-ων Cb) αὐτοῦ Cb Mc || νομίζων pro μεῖζον Ce Cf || μεῖζον om. Md Ml Mm || τῷ ἐκεῖνα Cb || **4** αὐτὴν Cb Ce αὐτῷ Ml || ἄμφο Cb || ἀμφότερα ὠλέσαι Ce καὶ τὸ ἀμφότερον omisso ἀπολέσαι Cf καὶ ἄμφω ἀπολέσαι Ml || Ἀπώλεσε δὲ ἀμφότερα Md Mm || τὸ μὲν οὖν οὐχ ἦν omisso διότι Md Mh || **5** οὐδὲν Cb Cf Mc Ml || ὅτι om. Cb Mc Md || ὃ κατεῖχεν om. Ce οὗ κατ- Mc ὃ δὲ κατ- omisso τὸ δὲ ὅτι Md Mm ἀφεὶς pro ὃ κατεῖχεν Ml || **6** παρεσύρει Cb Mc κατεσύρει Ch Ce Cf Ml παρεσύρετο Md κατε- Mm.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι οἱ πλειόνων ἐπιθυμοῦντες καὶ ἃ ἔχουσιν ἀπόλλουσιν.

7-8 Ὁ μῦθος δηλοῖ (δηλοῖ om. Ml) πρὸς (a Πρὸς incipit Cb) τοὺς πλεονεκτοῦντας (πλεονέκτας Cb Mc) οἵτινες πλειοτέρων (-ερον Cb πλείονων Ml) ἐπιθυμοῦντες (-μοῦσι Cb Mc) καὶ ἃ (ὃν Mc) ἔχουσιν ἀπολοῦσιν (προσαπολλοῦσι Md Mm) Cb Cf M Ὁ μῦθος δηλοῖ πρὸς τοὺς πλεονεκτοῦντας τὰ πλεία ζητοῦντες καὶ ἃ ἔχουσιν ἀποβάλλονται Ce.

Aliter.

Κύων κρέας ἔφερεν εἰς τὸ ποιῆσαι δεῖπνον· σκιὰν δὲ τὴν αὐτοῦ ἰδὼν εἰς ποταμὸν ἑστῶσαν, κρέας φέρουσαν κἀκείνην ὡς καὶ αὐτός, ῥίψας τὸ οἰκεῖον ἐγύρευε τὸ ξένον· καὶ ῥεῦμα τούτου προσέσυρε τὸ κρέας· τὸ δ' ἄλλο ἠφάνισται, καὶ γὰρ οὐκ ἦν γε· ἀμφότερα γὰρ παρέσυρε τὸ ῥεῦμα.

Τοῦτο παρίστησι σαφῶς ὡς ὁ λιχνεύων τὸ μέγιστον χαίνει καὶ τὸ ἧττον, καὶ ὁ θέλων πλεῖστα ἐσθίειν χαίνει καὶ τὰ μικρά.

Cod. Cd 62.

2 φέρουσα cod. || **3** ὡς καὶ οὕτως cod. || κρατὸν pro οἰκεῖον uel κρατηθὲν cod. || **4** ἄλον pro ἄλλο cod. || **6** παρίστα cod. || χάνει cod. || **7** χάνει cod.

Aliter.

Κύων ἐκ μαγειρείου κρέας κλέψας ποταμὸν διεπέρα· τὴν δὲ σκιὰν τοῦ κρέατος μείζω ἰδών, εἰς τὸ ὕδωρ ἐφῆκε τὸ κρέας καὶ τῇ σκιᾷ ἐπέδραμεν· κἀκείνης μὲν ἠστόχησε, προσαπώλεσε δὲ καὶ τὸ κρέας ὃ εἶχεν.

Ὅτι ὁ τοῦ ἀπλήστου ἀνδρὸς βίος ταῖς ματαίαις ἐλπίσι καὶ ἀβεβαίοις ἀναλοῦται.

Cod. Ba 66 Bb 42.

1 μαγειρίου κρέα codd. || **2** μείζων Bb || **3** κἀκεῖνο Bb || **5** οὐ pro ὁ Ba, om. Bb || **6** ἀβαίοις Bb || ἀναλοῦνται Ba ἀλοῦται Bb.

187

Κύων κωδωνοφορῶν.

Λάθρᾳ κύων ἔδακνε. Τούτῳ δὲ ὁ δεσπότης κώδωνα ἐκρέμασεν, ὥστε πρόδηλον εἶναι τοῖς πᾶσι. Οὗτος δὲ τὸν

Codd. Ba 71 Bb 45 Mb 84.

1 Τοῦτον δὲ Bb || κρεμάσας Bb || **2** τοῖς πᾶσι om. Ba Mb || Οὕτως δὲ Mb.

Digitized by Google

κώδωνα σείων ἐν τῇ ἀγορᾷ ἠλαζονεύετο. Γραῦς δὲ κύων εἶπεν αὐτῷ· « Τί φαντάζῃ; οὐ δι' ἀρετὴν τοῦτον φορεῖς, ἀλλὰ δι' ἔλεγχον τῆς κεκρυμμένης σου κακίας. »

Ὅτι οἱ τῶν ἀλαζόνων κενόδοξοι τρόποι πρόδηλοί εἰσι δηλοῦντες τὴν ἀφανῆ κακίαν.

3 Γραῦς δὲ εἶπεν αὐτῷ κύων Bb || 4 τοῦτο Bb Mb || 5 κρεμαμένη Mb || 7 ἀφανῆ nos ἐμφανῆ codd.

Aliter.

Λάθρᾳ κύων ἔδακνε τοὺς ἐντυγχάνοντας. Ὥστε δὲ εἶναι τοῦτον διάδηλον, ⟨ὁ δεσπότης⟩ κώδωνα ἐπὶ τοῦ τραχήλου ἐκρέμασε. Αὐτὸς δὲ ἐπὶ τούτῳ ἠλαζονεύετο· Γέρων δὲ κύων αὐτὸν ἰδὼν ἔφη· « Ὦ μάταιε, τί ἐπὶ τούτῳ μέγα κομπάζεις; οὐ γὰρ δι' ἀρετὴν τοῦτον φέρεις, ἀλλὰ δι' ἔλεγχον τῆς κεκρυμμένης σου κακίας. »

Cod. Bd 36.

2 ὁ δεσπότης addidi.

188

Κύων ⟨λέοντα διώκων⟩ καὶ ἀλώπηξ.

Κύων θηρευτικὸς λέοντα ἰδών, τοῦτον ἐδίωκεν. Ὡς δὲ ἐπιστραφεὶς ὁ λέων ἐβρυχήσατο, φοβηθεὶς εἰς τοὐπίσω ἔφυγεν. Ἀλώπηξ δὲ θεασαμένη αὐτὸν ἔφη· « Ὦ κακὴ κεφαλή, σὺ λέοντα ἐδίωκες, οὗ οὐδὲ τὸν βρυχηθμὸν ὑπέμεινας; »

Ὁ λόγος λεχθείη ἂν ἐπ' ἀνδρῶν αὐθάδων οἳ κατὰ πολὺ

Codd. Pa 125 Pb 131 Pc 71 Pf 70 Pg 86 Ma 175 Mb 82 Md 67 Me 94 Mf 79 Mh 63 Mj 87 Mm 81 Ch 70.

1 Ἐπιστραφεὶς δὲ ὁ λέων καὶ βρυχησάμενος, ὁ κύων φοβηθεὶς ἔφυγεν εἰς τοὐπίσω (τὰ ὀπ- Ch). Ἀλώπηξ δὲ (δὲ om. Ma Mh) τοῦτον θεασαμένη Ma Md Mh Mm Ch || 2 ὡς pro ὁ Pa || ἐκεῖνος pro ὁ λέων Pb Pc Pg Mb Me Mf Mj || εἰς τὰ ὀπίσω Pf Pg Mb Me Mf Mj || 4 ἐδίωκες λέοντα Pc || ὃς οὐδὲ τὸν βρυχηθμὸν ὑπέμεινας τὸ σύνολον Pc || οὗτινος Pf Ch M excepto Mb || οὐδὲ βρυγμὸν (βρυχ- Mb) Pg Mb οὐδὲ τὸν βρυγμὸν (ῥυγμὸν Pf) Pf Me Mf Mj Ch || βρυχισμὸν Mh || ὑπήνεγκας Pf Me Mf Mj Ch ἤνεγκας Ma Md Mh Mm || 6 ἔπανδρα αὐθάδην Pa ἐπ' ἀνδρῶν αὐθαδείᾳ συνόντων Pb.

Digitized by Google

δυνατωτέρων συκοφαντεῖν ἐπιχειροῦντες, ὅταν ἐκεῖνοι ἀντιστῶσιν, εὐθέως ἀναχαιτίζουσιν.

7 δυνατωτέρους Pc || 8 εὐθὺς Pc || ἀναχαιτίζονται Pb || 6-8 Ὁ λόγος κατὰ ἀνδρῶν αὐθάδων οἳ κατὰ δυνατωτέρων συκοφαντεῖν ἐπιχειροῦντες εἰς ὄψιν ἐρχόμενοι ἀναχαιτίζονται Pf Me Mf Mj Ὁ λόγος οὗτος (οὗτος om. Mh) ἐπ' ἀνδρὸς (ἄνδρα Mb) λεχθείη αὐθάδους ὃς τοὺς κατὰ πολὺ δυνατωτέρους συκοφαντεῖν ἐπιχειρῶν, ὅταν ἐκεῖνοι ἀντιστῶσιν, ἀναχαιτιζόμενος φεύγει. Pg Mb Ὁ μῦθος (Ὁ om. Mm) δηλοῖ ἄνδρας (ὅτι ἄνδρες Mh) αὐθάδεις οἵτινες συκοφαντεῖν ἐπιχειροῦσι τοὺς κρείττονας, ἐπὰν δ' ἐκεῖνοι φανῶσιν, εὐθὺς (εὐθὺς om. Ma Md) οὗτοι φεύγουσιν Ma Md Mh Mm Ὁ μῦθος πρὸς ἄνδρας αὐθάδεις οἵτινες πρὸς δυναστὰς συκοφαντεῖν ἐπιχειρνοῦντες, ὅταν ἐκεῖνοι ἀναφανῶσιν, εὐθέως οὗτοι φεύγουσιν Ch.

Aliter.

Κύων λέοντα διώκει κατὰ κράτος.
Λέων δὲ στραφεὶς καὶ βρυχησάμενός γε
ᾤχετο φυγὰς τρομάξας εἰς τοὐπίσω.
Τοῦτον δ' ἀλώπηξ προσιδοῦσ' ἐπεφώνει·
« Πῶς σὺ διώκεις οὗ τὴν φωνὴν οὐ φέρεις; »

Ἄφρων δ' ὃς ἐθέλει πρὸς κρείττονας ἀντιφερίζειν· νίκης τε στέρεται ⟨καὶ⟩ πρὸς τούτοις γελοῖα πάσχει.

Cod. Cd 61.

4 προσιδὼν cod. || 5 Πῶς σὺ ἐκεῖνον διώκεις οὗ τὴν φωνὴν οὐδ' ὅλως φέρεις correxi pro necessitate uersus || 7 καὶ πρὸς τούτοις γελοῖα nos πρὸς ταῦτα πάγεα cod.

189

Κώνωψ καὶ λέων.

Κώνωψ πρὸς λέοντα ἐλθὼν εἶπεν· « Οὔτε φοβοῦμαί σε, οὔτε δυνατώτερός μου εἶ· εἰ δὲ μή, τί σοί ἐστιν ἡ δύναμις; ὅτι ξύεις τοῖς ὄνυξι καὶ δάκνεις τοῖς ὀδοῦσι; τοῦτο καὶ γυνὴ τῷ ἀνδρὶ μαχομένη ποιεῖ. Ἐγὼ δὲ λίαν ὑπάρχω σου

Cod. T 6

1 οὐδὲ ... οὐδὲ cod. || 2 δυνατότερος cod.

Digitized by Google

ἰσχυρότερος. Εἰ δὲ θέλεις, ἔλθωμεν καὶ εἰς πόλεμον.» Καὶ σαλπίσας ὁ κώνωψ ἐνεπήγετο, δάκνων τὰ περὶ τὰς ῥίνας αὐτοῦ ἄτριχα πρόσωπα. Καὶ ὁ λέων τοῖς ἰδίοις ὄνυξι κατέλυεν ἑαυτόν, ἕως ἀπηύδησεν. Ὁ δὲ κώνωψ νικήσας τὸν λέοντα, σαλπίσας καὶ ἐπινίκιον ᾄσας, ἔπτατο· καὶ ἀράχνης δεσμῷ ἐμπλακεὶς ἐσθιόμενος ἀπωδύρετο πῶς μεγίστοις πολεμῶν ὑπό εὐτελοῦς ζῴου, τῆς ἀράχνης, ἀπώλετο.

8 ἀπηύδησεν. Ὁ δὲ κώνωψ νικήσας nos ἀγανακτήσας ὁ κώνωψ καὶ νικήσας cod. || Neuelet addit hoc epim. e nescio quo codice sumptum: Ὁ μῦθος πρὸς τοὺς καταβάλλοντας μεγάλους καὶ ὑπὸ μικρῶν καταβαλλομένους.

190

Κώνωψ καὶ ταῦρος.

Κώνωψ ἐπιστὰς κέρατι ταύρου καὶ πολὺν χρόνον ἐπικαθίσας, ἐπειδὴ ἀπαλλάττεσθαι ἔμελλεν, ἐπυνθάνετο τοῦ ταύρου εἰ ἤδη βούλεται αὐτὸν ἀπελθεῖν. Ὁ δὲ ὑποτυχὼν εἶπεν· « Ἀλλ' οὔτε, ὅτε ἦλθες, ἔγνων, οὔτε, ἐὰν ἀπέλθῃς, γνώσομαι. »

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα ἀδύνατον, ὃς οὔτε παρὼν οὔτε ἀπὼν ἐπιβλαβὴς ἢ ὠφέλιμός ἐστι.

Codd. Pa 130 Pb 136 Pc 75.

3 ὑποτυχὼν om. Pc || **4** οὔτε ὅτε ἐὰν ἀπέλθῃς Pa || ἄν ἀπέλθῃς Pc || **6** Οὕτω pro Τούτῳ Pa || **7** ἐστι om. Pa.

Aliter.

Κώνωψ καὶ βοῦς.

Κώνωψ ἐπὶ κέρατος βοὸς ἐκαθέσθη καὶ ηὔλει. Εἶπε δὲ πρὸς τὸν βοῦν· « Εἰ βαρῶ σου τὸν τένοντα, ἀναχωρήσω. »

Codd. Ba 70 Bb 44 Bd 35.

1 κέρατι Ba Bd || βοὸς καθήμενος ηὔλει Bd.

Digitized by Google

Ὁ δὲ ἔφη· « Οὔτε, ὅτε ἦλθες, ἔγνων, οὔτε, ἐὰν μένῃς, μελήσει μοι. »

[Ὅτι] τοὺς εὐτελεῖς καὶ ἀδόξους [καὶ] μαχομένους τυράννοις ἐλέγχει ὁ μῦθος.

3 Ὁ δὲ ταῦρος Bd || ὡς ἦλθες, ἔγνων, οὔτε, ὡς ἀναχωρήσεις Bd || μείνῃς Ba Bb || 5 εὐκλεεῖς Bb || καὶ inclusi || τυράννοις nos τυράννους Bb om. Ba || 6 λόγος Bb || Ep. om. Bd, ut solet.

191

Λαγωοὶ καὶ ἀλώπεκες.

Λαγωοί ποτε πολεμοῦντες ἀετοῖς παρεκάλουν εἰς συμμαχίαν ἀλώπεκας. Αἱ δὲ ἔφησαν· « Ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν τίνες ἐστὲ καὶ τίσι πολεμεῖτε. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ φιλονεικοῦντες τοῖς κρείττοσι τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι.

Codd. Pa 157 Pb 160 Ca 108 — La 111 Lb 79 Le 79 Lf 111 Lh 36 Mg 104 Ml 99.

1 ἀετοὺς Pb || 2 ἔφησαν Pa L Ml ἔφασαν ceteri || 3 εἴδειμεν Ca εἴδοιμεν Lh || ἦτε Pa Ca εἶτε Pb || 4 Ὁ μῦθος τοῦτο δηλοῖ Ca || Ὁ μῦθος ὅτι (ὅτι om. Lb) Lb Le Ὅτι Mg || τοῖς κρείττοσι φιλονεικοῦντες Le τοῖς κρατοῦσι Pa || κρείττοσι σὺν τῷ διαμαρτεῖν καὶ καταπαίζονται Pb || 5 ἑαυτῆς Pa || καταφρονοῦσι om. Pa.

Aliter.

Λαγωοί ποτε παρατασσόμενοι ἀετοὺς πολεμῆσαι παρεκάλουν ἐλθεῖν εἰς συμμαχίαν αὐτῶν ἀλώπεκας. Αἱ δὲ εἶπον· « Ἐβοηθήσαμεν ἂν ὑμῖν, εἰ μὴ ᾔδειμεν τίνες ἦτε καὶ τίσιν ἐπολεμεῖτε. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ μαχόμενοι τοῖς κρείττοσι τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσιν.

Codd. Pf 73 Me 96 Mf 81 Mj 90.

1 ἀετοῖς Me Mf || 5 Ὁ μῦθος δηλοῖ Mj Δηλοῖ ceteri.

Digitized by Google

192

Λαγωοὶ καὶ βάτραχοι.

Λαγωοὶ καταγνόντες τῆς ἑαυτῶν δειλίας ἔγνωσαν δεῖν ἑαυτοὺς κατακρημνίσαι. Παραγενομένων δὲ αὐτῶν ἐπί τινα κρημνόν, ᾧ λίμνη ὑπέκειτο, ἐνταῦθα βάτραχοι ἀκούσαντες τῆς ποδοψοφίας αὐτοὺς εἰς τὰ βαθῆ τῆς λίμνης ἐδίδοσαν. Εἷς δέ τις τῶν λαγωῶν θεασάμενος αὐτοὺς ἔφη πρὸς αὐτούς· « Ἀλλὰ μηκέτι ἑαυτοὺς κατακρημνίσωμεν· ἰδοῦ γὰρ εὕρηνται καὶ ἡμῶν δειλότερα ζῷα. »

Οὕτω καὶ τοῖς ἀνθρώποις αἱ τῶν ἄλλων συμφοραὶ τῶν ἰδίων δυστυχημάτων παραμυθίαι γίνονται.

Codd. Pa 133 Pb 137 Pc 76 Pg 91 Ma 93 Ca 89.

1 κατεγνωκότες Pc || τὴν ἑαυτῶν δειλίαν Pb ἑαυτῶν δειλίας Pc ἑ-δειλίαν Pg Ma Ca || δεῖν om. Pa || **2** Καὶ παραγενόμενοι Pg Ma Ca || ἐπί τινα λίμνην τοῦ (τοῦ om. Pg) βαλεῖν ἑαυτούς, οἱ (οἱ om. Ca) ἐν αὐτῇ βάτραχοι τοῦ ψόφου ἀκούσαντες, ἑαυτοὺς Pg Ca || **3** ᾧ ὑπέκειτο λίμνη, οἱ ἐνταῦθα βάτραχοι ἀκούσαντες τῆς λίμνης διεδίδωσαν. Εἷς τὰ δὲ Ma || ἐπέκειτο Pb || **4** αὐτοὺς Pa ἑαυτοὺς Pb || βαθέα Pa || ἐδίωσαν Pa || **5** πρὸς τοὺς ἑτέρους Pb Pc Ma Ca πρὸς τοὺς ἑταίρους αὐτοῦ Pg || **6** Ἀλλὰ om. Ca || **7** εὕρηται Pg εὕρεται Ma || καὶ om. Pc || **8** δυστυχίαι Pb || **9** δυστημάτων Ma || παραμύθιον Ca || γίγνεται Ma.

Aliter.

Οἱ λαγωοὶ δὲ ἅπαντες συνελθόντες
ἐβόων ταῦτα πρὸς ἀλλήλους θρηνοῦντες·
« Ἵνα τί δεινός ἐστιν ἡμῶν ὁ βίος;
καὶ γὰρ ἀετοὶ ἄνθρωποί τε καὶ κύνες
ἅπαντες ἡμᾶς πειρῶνται καταθῦσαι.

Codd. Cg 23 Ch 98 Ca 150 Cb 80 Ce 89 Cf 94 Mc 78.

1 δὲ om. Ca Ce || πάντες Ch Ca Ce Cf || συνελθόντες ἐν ταὐτὸ Ce || **2** ἐβόουν Cb Ce Cf Mc || ταῦτα πρὸς ἀλλήλους om. Ce || βοῶντες καὶ θρηνοῦντες Cb || **3** δεινῶς Cb || ἐστιν ἡμῶν ὁ βίος nos ἐστιν ὁ βίος ἡμῶν Ce Cf ὁ βίος ἡμῶν ἐστι ceteri || **4** ἄνθρωποι ἀετοί τε Ce Cf || **5** ἅπαντας Ce || καταθύσειν Ce καταθῦσον Cf.

Digitized by Google

Βέλτιον οὖν ἦν ἑαυτοὺς θανατῶσαι
καὶ μὴ κακίστῳ ζῆν οὕτως ἐν ⟨τῷ⟩ φόβῳ. »
Ταῦτα δὲ αὐτῶν πρὸς ἀλλήλους εἰπόντων,
ἀπεκίνησαν πρὸς λίμνην πεπτωκέναι.
Οἱ δὲ βάτραχοι τούτους εὐθὺς ἰδόντες
ἀπερρίφησαν εἰς τὸ ὕδωρ αὐτίκα.
Εἷς δὲ λαγωὸς στρατηγέτης ὑπάρχων
ἐμειδίασε καὶ πρὸς αὐτοὺς ἐβόα·
« Στῆτε, ἀδελφοί, μηδὲν κακὸν παθόντες·
ὡς γὰρ ὁρᾶτε, δειλότερα τυγχάνει
ταῦτα τὰ ζῷα πλέον ἡμῶν ἁπάντων. »

Οὗτος ὁ μῦθος δηλοῖ ὅτι τοῖς δυστυχοῦσιν οὐ τὴν τυχοῦσαν παρηγορίαν φέρει τὸ καὶ ἑτέρους ὁρᾶν κακοπαθοῦντας.

6 γὰρ pro οὖν Cg Ch Cb Ce Cf || νῦν pro ἦν Ch ἐστιν Ca Ce Cf || βέλτιον ἦν γὰρ Mc || **6** et 7 ἡμῖν θανατῶσαι ἑαυτοὺς καὶ μὴ ζῆν οὕτω κακίστως ἐν φόβῳ Ca || **7** καὶ μὴ κακιστῷ ζῆν οὕτως ἐν τῷ φόβῳ nos καὶ μὴ κακίστῳ (-τοις Cb Mc -τοις Cf) ζῶμεν οὕτως ἐν φόβῳ Cg Cb Cf Mc καὶ μὴ κακίστως οὕτως ἐν φόβῳ ζῆν Ch καὶ μὴ κακίστοις περιπίπτωμεν καθ' ἑκάστην οὕτως ἐν φόβῳ Ce || **8** Ταῦτά γε Cb Ch || Ταῦτα δὲ τούτων Ca || Ταῦτα δὲ αὐτοὺς π. ἀ. εἰπόντας Mc || **9** ὥρμησαν εἰς λίμνην ἑαυτοὺς ἐμβαλεῖν Ca πρὸς τὴν λίμνην ὥρμησαν εὐθὺς (εὐθὺς om. Ce) ἀποπνιγῆναι Ce Cf || πεποχέναι Cb || **10** Οἱ βάτραχοι δὲ Cf || εὐθὺς τούτων (τούτους Mc) Cb Mc || εὐθὺς om. Ce Cf || **11** ἄφνω ἀπερρίφησαν εἰς τὴν λίμνην αὐτίκα Cf || παρευθὺς (παραυτὰ Ch) εἰς τὸ ὕδωρ Ca Ch εἰς τὸ ὕδωρ παραυτά Cb παραυτίκα εἰς τὴν λίμνην Ce παρ' αὐτὸ ὕδωρ Mc || **12** Εἷς δὲ τῶν λαγωῶν, ὁ ταξίαρχος, μηδιάσας πρὸς τοὺς ἑτέρους εἶπεν Ce || τυγχάνων Ch Ca || **13** ἐβόησε Ch Ca ἐξεῖπε Cf || **14** μηδένα κακὸν ποιήσητε Ce || ποιήσετε Ca ποιοῦντες Ch Cb Cf Mc || **15** τυγχάνουσι Ch Ca Ce τυγχάνουν Mc τυγχάνουσιν ἡμῶν Cf || **16** ὑπὲρ ἡμᾶς ἅπαντας Ch Ca ὑπὲρ ἡμῶν ἁπάντων Cb Mc || ταῦτα τὰ ζῶα ἡμῶν Ce || **17** Ὁ μῦθος δηλοῖ ὅτι Ch Ca Mc Ὅτι Cb || ὅτι om. Cg || **18** παραμυθίαν Ch Ca Mc || φέροντα καὶ ἑτέρους Cb || **17-19** Ὁ μῦθος δηλοῖ ὅτι παραμυθίαν μεγάλην φέρει (φέρουσι Ce) τοῖς δυστυχοῦσιν τὸ καὶ ἑτέρους ὁρᾶν δυστυχοῦντας Ce Cf.

Aliter.

Ὅλοι λαγωοὶ συναχθέντες εἰς ἕνα
βουλὴν βουλεύονται πάντες συμπνιγῆναι.
« Πάντη γάρ ἐστι δεινὸς ἡμῶν ὁ βίος.

Cod. Cd 97.

2 ἅπαντες cod.

Digitized by Google

Γένος γὰρ κυνῶν, ἀνθρώπων καὶ ὀρνέων
καὶ πᾶν τὸ κατὰ γαῖαν ἡμᾶς ἐκθλίβει. »
Ταῦτα δὲ αὐτοὶ εἰπόντες πρὸς ἀλλήλους
ἀπεκίνησαν εἰς λίμνην πεπτωκέναι.
Οἱ δὲ βάτραχοι τούτους εὐθὺς ἰδόντες
ἀπεπήδησαν, ὡς ἔθος τοῖς βατράχοις.
Εἷς δὲ λαγωὸς στρατηγέτης τυγχάνων
ἐμειδίασε καὶ πρὸς αὐτοὺς ἐβόα·
« Στῆτε, ἀδελφοί, μηδὲν κακὸν ποιοῦντες·
ἰδοῦ καὶ γένος ἄλλον ἡμᾶς δειμαίνει. »

Τοῦτο οὕτως λέγει· οἱ πτωχοὶ καὶ ἀδύνατοι ἀνθρώποι αἱροῦνται μᾶλλον θανεῖν ἢ καταφρονεῖσθαι· ἐπὰν δέ τινας ἴδωσιν αὐτῶν ἐπιδεομένους, οὐκέτι μέμνηνται τοῦ θανάτου.

8 εὖ pro εὐθὺς cod. || **10** δέ τις cod. || **14** Οὗτο pro τοῦτο cod. || **16** αὐτῶν nos αὐτοῖς cod.

Aliter.

Οἱ λαγωοί ποτε συνελθόντες τὸν ἑαυτῶν πρὸς ἀλλήλους ἀπεκλαίοντο βίον ὡς ἐπισφαλὴς εἴη καὶ δειλίας πλέως· καὶ γὰρ καὶ ὑπ' ἀνθρώπων καὶ κυνῶν καὶ ἀετῶν καὶ ἄλλων πολλῶν ἀναλίσκονται· βέλτιον οὖν εἶναι θανεῖν ἅπαξ ἢ διὰ βίου τρέμειν. Τοῦτο τοίνυν κυρώσαντες, ὥρμησαν κατὰ ταὐτὸν εἰς τὴν λίμνην, ὡς εἰς αὐτὴν ἐμπεσούμενοι καὶ ἀποπνιγησόμενοι. Τῶν δὲ καθημένων κύκλῳ τῆς λίμνης βατράχων, ὡς τὸν τοῦ δρόμου κτύπον ᾔσθοντο, εὐθὺς εἰς ταύτην εἰσπηδησάντων, τῶν λαγωῶν τις ἀγχινούστερος εἶναι δοκῶν τῶν ἄλλων ἔφη· « Στῆτε, ἑταῖροι, μηδὲν δεινὸν ὑμᾶς αὐτοὺς διαπράξησθε· ἤδη γάρ, ὡς ὁρᾶτε, καὶ ἡμῶν ἕτερ' ἐστὶ ζῷα δειλότερα. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ δυστυχοῦντες ἐξ ἑτέρων χείρονα πασχόντων παραμυθοῦνται.

Codd. La 57 Lb 95 Le 95 Lf 57 Lh 47 Me 144 Mf 119 Mg 119 Mj 118 Ml 123.

2 ἀπέκλαιον Le || ἀναπλέως Le || **3** καὶ ante ὑπ' ἀνθρώπων om. Le || **5** βουλευσάμενοι pro κυρώσαντες Le || κατ' αὐτῶν Ml || **6** ὡς ἀποπνιγόμενοι ἐμπεσόντες εἰς αὐτήν Mf || **7** ἀποπνιγόμενοι Me || **11** δεῖ pro δεινὸν Lh || ἡμᾶς Le || διαπράξασθε Mj || γάρ om. Lf || **13** Ὁ μῦθος ὅτι Lb.

Aliter.

Οἱ λαγωοὶ πάντες εἰς ἓν συνελθόντες εἶπον· « Ἀβίωτός

Digitized by Google

ἐστιν ἡμῶν ὁ βίος· καὶ γὰρ ἀετοὶ καὶ κύνες καὶ ἄνδρες ἡμᾶς καταπονοῦσιν· βέλτιον οὖν ἐστιν ἡμᾶς ῥῖψαι ἑαυτοὺς ἐν τῇ πλησίον λίμνῃ καὶ διαφθαρῆναι ». Ταῦτα εἰπόντες ἀπῄεσαν. Οἱ δὲ ἐπὶ τῆς ὄχθης καὶ τοῦ χείλους τῆς λίμνης βάτραχοι τούτους ἰδόντες ἔρριψαν ἑαυτοὺς ἐν τῇ λίμνῃ ἐκ τοῦ φόβου. Εἷς δέ τις γερὼν λαγωὸς ἔφη· « Στῆτε, καὶ μὴ ἀπογνῶμεν ἑαυτῶν· εἰσὶ γάρ, ὡς ὁρᾶτε, καὶ ὑπὲρ ἡμᾶς ἄλλοι δειλότεροι. »

Ὅτι τοῖς δυστυχοῦσιν οὐ τὴν τυχοῦσαν παραμυθίαν φέρει τὸ καὶ ἑτέρους χείρονα παθόντας ὁρᾶν.

Codd. Ba 101 Bb 62.

2 ἡμῖν Bb || **5** ἀπιέσαν codd. || **6** ἱστάντες βάτραχοι Bb || **8** ἑαυτῶν ἀπογνῶμεν Bb || ἔστι Bb || ὑπὲρ ἡμῶν Ba || **11** τὸ om. Bb || παθόντα Bb.

Aliter.

Οἱ λαγωοὶ συναχθέντες ἑαυτοῖς εἶπον· « Ἀβίωτός ἐστιν ἡμῶν ὁ βίος· καὶ γὰρ ἀετοὶ καὶ κύνες τε καὶ ἄνδρες ὡς οὐδὲν πάντες καταπονοῦσιν ἡμᾶς. Βέλτιόν ἐστιν ἡμᾶς ῥῖψαι ἐν τῇ λίμνῃ καὶ πνιγῆναι. » Ταῦτ' οὖν εἰπόντες ἀπῄεσαν ἐν λίμνῃ. Οἱ δὲ ἐπὶ ταῖς ὄχθαις τῆς λίμνης βάτραχοι τούτους ἰδόντες ἔρριψαν αὐτοὺς ἐν λίμνῃ ἐκ τοῦ φόβου. Εἷς δέ τις γέρων λαγωὸς ἔφη πρὸς τοὺς ἑτέρους· « Στῆτε, φίλοι, καὶ μὴ ἑαυτοὺς ἀποπνίξωμεν· εἰσὶ γὰρ καὶ ἄλλα ζῷα, ὡς ὁρᾶτε, δειλότερα ἡμῶν. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ ἑαυτὸν ἀπογινώσκειν δι' εὐτέλειαν σώματος ἢ πλούτου, ἀλλὰ παρηγορεῖν ἑαυτόν.

Codd. Md 88 Mh 80 Mi 4 Mm 106.

2 ἡμᾶς ὡς οὐδὲν πάντες καταπονοῦσι Mh || **3** καταποῦσιν Mi || ἐστιν om. Mm || **5** ἀπίεσαν Mh || **6** αὐτοὺς pro αὑτοὺς Md Mh Mi || **8** ἀποπνίξομεν Md Mi || **9** δειλότατα Mm || **10** ἑαυτούς pro ἑαυτόν Mh αὐτόν Mm.

193

Λαγωὸς καὶ ἀλώπηξ.

Ὁ λαγωὸς τῇ ἀλώπεκι· « Ὄντως πολλὰ κερδαίνεις ἢ ἔχεις ὅτι ὄνομά σοι κερδώ ἐστιν ; » Ἡ δὲ ἀλώπηξ· « Εἰ ἀπιστεῖς, ἔφη, δεῦρο· ἐγὼ ἑστιῶ σε. » Ὁ δὲ ἠκολούθει καὶ

Digitized by Google

ἦν ἔνδον οὐδὲν ἢ ὁ λαγωὸς δεῖπνος τῇ ἀλώπεκι. Ὁ δὲ λαγωὸς ἔφη· « Σὺν κακῷ μέν, ἀλλ' ἔμαθόν σου τὸ ὄνομα πόθεν ἐστί, οὐκ ἀπὸ τοῦ κερδαίνειν, ἀλλ' ἀπὸ τοῦ δολοῦν. »

Ὅτι τοῖς περιέργοις πολλάκις μέγιστον κακὸν συνέβη κακῶς τῇ περιεργείᾳ χρωμένοις.

Cod. Ba 100.

8 χρώμενος cod.

194

Λάρος καὶ ἰκτῖνος.

Λάρος ἰχθὺν καταπιών, διαρραγέντος αὐτῷ τοῦ φάρυγγος, ἐπὶ τῆς ἠϊόνος νεκρὸς ἔκειτο. Ἰκτῖνος δὲ αὐτὸν θεασάμενος ἔφη· « Ἄξια σύ γε πέπονθας, ὅτι πτηνὸν γεννηθεὶς ἐπὶ θαλάσσης τὴν δίαιταν ἐποιοῦ. »

Οὕτως οἱ τὰ οἰκεῖα ἐπιτηδεύματα καταλιπόντες καὶ τοῖς μηδὲν προσήκουσιν ἐπιβαλλόμενοι εἰκότως δυστυχοῦσιν.

Codd. Pa 134 Pf 74 Ca 112 Me 97 Mj 91.

1 Λάβρος Pa || καὶ τοῦ φάρυγγος αὐτοῦ διαρραγέντος Pf Me Mj || διερράγη αὐτοῦ τὸν φάρυγγα καὶ ἐπὶ τῆς νηὸς ὡς Ca || 2 ἔκειτο νεκρός Pf Me Mj || Τὶς ἴκτινος Mj Ἴκτινος ceteri || 3 σύ γε Pa γε σὺ Ca σύ ceteri || πτηνός Ca || 4 τὴν om. Pf Me Mj || 5 λιπόντες Ca || 6 μὴ προσήκουσιν ἐπιβάλλοντες Ca || 5-7 Ὁ μῦθος δηλοῖ ὅτι (hoc initium om. Mc) οὕτως οἱ τῇ ἀπλήστῳ πλεονεξίᾳ ἐπιβαίνοντες (ἐπιβαίνουσιν Mj) εἰκότως δυστυχοῦσι Me Mj. || Epim. om. Pf.

195

Λέαινα καὶ ἀλώπηξ.

Λέαινα ὀνειδιζομένη ὑπὸ ἀλώπεκος ἐπὶ τῷ διὰ παντὸς ἕνα τίκτειν· « Ἕνα, ἔφη, ἀλλὰ λέοντα. »

Codd. Pb 158 Ma 106 Mb 103 Ml 103 — Ca 106 Cb 67 Ce 76 Cf 80 Cg 5 Ch 80.

1 ὑπὸ τοῦ Cb ἐπὶ τὸ Cg ἐπὶ τοῦ Ch || ἐπὶ τὸ διὰ παντὸς τοῦ χρόνου Ca || ἀλώπεκος ὅτι τίκτει ἕνα Ce Cf Ml || 2 Ἕνα ante ἔφη om. Pb Mb Ca Cg Ch || ἔφη· Ἕνα, ἀλλὰ Cb || ἔφη· Ἕνα μὲν τίκτω, ἀλλὰ λέοντα Ce Cf Ml.

Digitized by Google

Ὅτι τὸ καλὸν οὐκ ἐν πλήθει δεῖ μετρεῖν, ἀλλὰ πρὸς ἀρετὴν ἀφορᾶν.

3 Ὁ μῦθος (λόγος Ma) δηλοῖ ὅτι Ma Ca Ce Cf Ch || τὸ om. Cf || οὐκ ἐν πλήθει, ἀλλ' ἐν (ἐν om. Ma Cb) ἀρετῇ libri, excepto Pb.

Aliter.

Λέοντος σκύμνος καὶ ἀλώπηξ.

Λεαίνης τόκον ὀνειδίζουσ' ἀλώπηξ
ἔφασκεν αὐτῷ πῶς μόνος ἐγεννήθη
καὶ μονοτόκος ἡ μήτηρ τούτου πέλει.
Ὁ δὲ ⟨σκύμνος⟩ πρὸς αὐτὴν οὕτως ἀντέφη·
« Ἕνα μὲν σκύμνον ἡ ⟨ἐμὴ⟩ μήτηρ τίκτει,
ἀλλὰ λέοντά ⟨γε⟩, ὡς νῦν ἐμὲ βλέπεις. »
Πρὸς τοὺς ὀλίγα πράττοντας, συνετῶς δέ.

Cod. Cd 80.

1 Λεαίνας cod. || ἀλώπηξ ὀνειδίζων cod. || 2 αὐτὸ cod. || ἐγενήθη cod. || 3 καὶ πάντοτε μονοτόκος eieci πάντοτε || 4 σκύμνος addidi || 5 ἐμὴ addidi || 6 γε addidi || με cod.

Aliter.

Λέαινα καὶ ζῷα.

Στάσις δὲ ἦλθε πᾶσι τοῖς τετραπόδοις
καύχημα κατέχουσα εἰς παίδων πλήθη.
Καὶ δὴ ἔφασκον τῇ λεαίνῃ βοῶντες·
« Εἰπὲ δὲ καὶ σὺ τὸ πόσους παῖδας τίκτεις. »
Ἡ δὲ γελῶσα πρὸς αὐτοὺς ταῦτα λέγει·
« Σκύμνον μὲν ἕνα, ἀλλὰ γενναῖον πάνυ. »

Ὁ μῦθος δηλοῖ ὅτι κρείσσων εἷς ῥώμῃ σώματος καὶ ἀνδρείᾳ καὶ φρονήσει ἢ πολλοὶ δειλοὶ καὶ ἄφρονες.

Codd. Ca 189 Mb 216.

1 Στάσις δὲ nos Φάσις Ca Φήμη δὲ Mb || 2 πλῆθος Mb || 4 δὲ om. Ca || τίκτεις παῖδας Mb || 6 πάντως Mb || 7 καὶ φρονήσει καὶ ἀνδρείᾳ διαπρέπων ἢ Mb.

Digitized by Google

Aliter.

Λέαινα, πάντων τῶν τετραπόδων καυχωμένων εἰς παίδων πλῆθος, ἐπεὶ καὶ τῇ λεαίνῃ ἔφασκον βοῶντες· « Εἰπὲ καὶ σὺ τὸ πόσους τίκτεις παῖδας, » ἡ δὲ γελῶσα πρὸς αὐτοὺς ταῦτα λέγει· « Σκύμνον μὲν ἕνα, ἀλλὰ γενναῖον πάντως. »

Ὅτι κρείσσων εἷς ῥώμῃ σώματος καὶ ἀνδρείᾳ καὶ φρονήσει διαπρέπων ἢ πολλοὶ δειλοὶ καὶ ἄφρονες.

Cod. Mb 102 (Haec fabula uersibus scripta fuisse uidetur).

Aliter.

Λέαινα καὶ ὗς.

Φασὶν ὗν καυχωμένην ἀγέλην παίδων ἔχουσαν εἰπεῖν τῇ λεαίνῃ· « Πόσους παῖδας σὺ γεννᾷς; » Ἡ δὲ εἶπεν· « Ἕνα μέν, ἀλλὰ γενναῖον. »

Ὅτι κρείσσων εἷς ῥώμῃ σώματος καὶ ἀνδρείᾳ ἢ καὶ φρονήσει διαφέρων ἢ πολλοὶ δειλοὶ καὶ ἄνανδροι ἢ καὶ ἄφρονες.

Cod. Ba 142.

4 χρεῖσσον cod.

196

Λέοντος βασιλεία.

Λέων τις ἐβασίλευσεν οὐχὶ θυμώδης, οὐδὲ ὠμός, οὐδὲ βίαιος, ἀλλὰ πρᾷος καὶ δίκαιος, ὥσπερ ἄνθρωπος. Ἐπὶ δὲ τῆς αὐτοῦ βασιλείας συναθροισμὸς ἐγένετο πάντων τῶν ζῴων δοῦναι δίκας καὶ λαβεῖν πρὸς ἄλληλα, ὁ λύκος μὲν προβάτῳ, πάρδαλις δὲ αἰγάγρῳ, ἐλάφῳ δὲ τίγρις, κύων δὲ λαγωῷ. Ὁ πτὼξ δὲ ἔφη· « Πολλὰ ηὐχόμην ἰδεῖν τὴν ἡμέραν ταύτην, ἵνα τοῖς βιαίοις φοβερὰ τὰ εὐτελῆ φανῶσιν. »

Ὅτι δικαιοσύνης ἐν πόλει οὔσης καὶ δικαίως πάντων δικαζόντων, καὶ οἱ εὐτελεῖς ἀταράχως βιοῦσιν.

Cod. Ba 78.

Digitized by Google

197

Λέων ⟨γηράσας⟩ καὶ ἀλώπηξ.

Λέων γηράσας καὶ μὴ δυνάμενος δι' ἀλκῆς ἑαυτῷ τροφὴν πορίζειν ἔγνω δεῖν δι' ἐπινοίας τοῦτο πρᾶξαι. Καὶ δὴ παραγενόμενος εἴς τι σπήλαιον καὶ ἐνταῦθα κατακλιθεὶς προσεποιεῖτο νοσεῖν· καὶ οὕτω τὰ παραγενόμενα πρὸς αὐτὸν ἐπὶ τὴν ἐπίσκεψιν ζῷα συλλαμβάνων κατήσθιε. Πολλῶν δὲ θηρίων καταναλωθέντων, ἀλώπηξ τὸ τέχνασμα αὐτοῦ συνεῖσα παρεγένετο, καὶ στᾶσα ἄποθεν τοῦ σπηλαίου ἐπυνθάνετο αὐτοῦ πῶς ἔχοι. Τοῦ δὲ εἰπόντος· « Κακῶς, » καὶ τὴν αἰτίαν ἐρομένου δι' ἣν οὐκ εἴσεισιν, ἔφη· « Ἀλλ' ἔγωγε εἰσῆλθον ἄν, εἰ μὴ ἑώρων πολλῶν εἰσιόντων ἴχνη, ἐξιόντος δὲ οὐδενός. »

Οὕτως οἱ φρόνιμοι τῶν ἀνθρώπων ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους ἐκφεύγουσιν.

Codd. Pa 137 Pb 140 Ma 96 Ca 91.

1 δυνάμενος ἑαυτῷ διαλχῆσαι τροφὴν πορίζων Ma || **2** δεῖν om. Ca || **3** τὸ σπήλαιον Ma || ἐν ταὐ τῷ pro ἐνταῦθα Pa || κατακλιθεὶς Schneider κατακλεισθεὶς libri || **4** προσεποιεῖτο τὸν νοσοῦντα Pb Ma || νοσεῖν χαλεπῶς Ca || καὶ οὕτως παραγενομένων .... τὰ ζῶα συλλαβὼν Ma || παραγενόμενα ἐπισκέψεως χάριν παντοῖα ζῶα συλλαμβάνων, κατήσθιεν αὐτά Ca || **5** εἰς ἐπίσκεψιν Pb || **6** ἀναλωθέντων ὑπ' αὐτοῦ Ca || τὰ τεχνάσματα αὐτοῦ συνιεὶς Ma || **7** συνιεῖσα καὶ γνοῦσα παρεγένετο πρὸς αὐτόν Ca || ἄπωθεν Pb ἔξωθεν καὶ ἄποθεν Ca || **8** ἐπύθετο Ma || ἔχοιεν Ca || Τούτου δὲ Ca || Καλῶς Pb Ma Ca || **9** ἐρωτωμένου Ca || εἴσισεν Ma || κάτεισι, καὶ οὐχ εἰσέρχῃ ὧδε ἔσω, ἡ ἀλώπηξ ἔφη Ca || **10** εἰ om. Pa || **11** ἐξιόντων δὲ οὐδαμῶς Ma || ἐξιόντων Ca || **13** φεύγουσι Ma ἐκφεύγουσιν αὐτούς Ca.

Aliter.

Λέων γηράσας καὶ μὴ δυνάμενος διαρκέσαι αὐτῷ εἰς τροφὴν ἔγνω δι' ἐπινοίας τι πρᾶξαι. Καὶ δὴ παραγενό-

Codd. La 141 Lc 50 Lg 50 Mc 63 Md 73 Mg 106 Mh 68 Ml 100 Mm 88 — Cb 63 Ce 70 Cf 74 Ch 74.

1 αὐτὸν Mc Cf ἑαυτὸν Ce αὐτὴν Cb || **2** διαπρᾶξαι Ce Cf διαπράξασθαι Ml.

Digitized by Google

μενος ἐν σπηλαίῳ τινὶ καὶ κατακλιθεὶς προσεποιεῖτο νοσεῖν. Παραγενόμενα οὖν τὰ ζῷα ἐπισκέψεως χάριν συλλαμβάνων, κατήσθιεν αὐτά. Πολλῶν οὖν ζῴων ἀναλωθέντων, ἀλώπηξ τὸ τέχνασμα τοῦτο γνοῦσα παρεγένετο πρὸς αὐτὸν καὶ στᾶσα ἔξωθεν τοῦ σπηλαίου, ἐπυνθάνετο πῶς ἔχει. Τοῦ δὲ εἰπόντος· « Κακῶς, » καὶ τὴν αἰτίαν πυνθανομένου δι᾽ ἣν οὐκ εἰσέρχεται, ἡ ἀλώπηξ ἔφη· « Ὅτι ὁρῶ ἴχνη πολλῶν εἰσιόντων, ὀλίγων δὲ ἐξιόντων. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ φρόνιμοι τῶν ἀνθρώπων ἐκ τεκμηρίων προορώμενοι τοὺς κινδύνους ἐκφεύγουσιν.

3 τινι σπηλαίῳ Ce Cf Ml || καὶ ante κατακλιθεὶς om. C || κατακλεισθεὶς L Cb Cf Md Mg Ml¹ -κλασθεὶς Mm || **4** δὲ pro οὖν Mc || ζῶα πρὸς αὐτὸν C Mh Ml || συλλαβὼν Lg || **5** ταῦτα Ce Cf || οὖν om. Ce || θηρίων pro ζῴων Ce Cf Ch Mc Ml || ἡ ἀλώπηξ Cf Mc || **6** τῷ τεχνάσματι τοῦτο Cb || τούτου Ce Ch τοῦ λέοντος Mc || παρ᾽ αὐτὸν Cb || **7** ἐπυνθάνετο αὐτῷ Cb Mc αὐτὸν Ch || ἔχεις Lc Lg Md Mh Mm Cb Cf Ch || Τούτου δὲ Lg Md Mm Οὕτου δὲ Lc || Τούτου δὲ ὑπονοήσαντος Mh || **8** Καλῶς Mc Cb Ch || Καλῶς (Κακῶς Mm), δι᾽ ἣν (δι᾽ ἣν δ᾽ Lg) αἰτίαν, φησὶν ὁ λέων (ὅτι addit Mm), ὦ συντέχνισα (σύντεχνε Mc Cb om. Mh), οὐκ ἔρχῃ ὧδε (εἰσέρχῃ ἐνθάδε Mc εἰσ- ἔνθα Cb εἰσ- ὅδε Mh) ἔσω Lc Lg Mc Md Mh Mm Cb || Καλῶς, δι᾽ ἣν δὲ αἰτίαν οὐκ εἰσέρχῃ σὺ ἐνθάδε ἔσω; Ch || Τοῦ δὲ εἰπόντος· « Οὐκ εἰσέρχῃ ὧδε omisso κακῶς ... δι᾽ ἣν Ml || Τοῦ δὲ εἰπόντος· Ὦ συντέχνησα (ἠσύντεχνος Ce) οὐκ εἰσέρχῃ ὧδε (ὧδε om. Ce) ἔσω Ce Cf || **9** φησὶν (ἔφη Mm) ὅτι (ὅτι om. Mm) ὁρῶ, κύριέ μου, Lc Lg Md Mm || ὅτι ὁρῶσα; κύριέ μου, πολλῶν εἰσιόντων ἴχνη (ἴχνη om. Mc), ἐξιόντων δὲ οὐδενός (οὐδένα Mc) Cb Mc || ἡ ἀλώπηξ (ἡ δὲ omisso ἀλώπηξ Ce) εἶπεν (ἔφη Ch) ὅτι (ὅτι om. Ce οὐχὶ pro ὅτι Ml) ὁρῶ (ὁρῶ γὰρ Ml), κύριέ μου, πολλοὺς εἰσιόντας καὶ μηδένα (μηδένα δὲ Ce) ἐξιόντα (ἐξιόντα δὲ οὐδένα Ch) Ce Cf Ch Ml || φησὶ ὅτι, κύριέ μου, ἴχνη πολλῶν εἰσιόντων, ἐξιόντος δὲ οὐδενός Mh || **10** ὀλίγων δὲ ἀνθρώπων Mc || ἐξιόντος δὲ οὐδενὸς Mm || **11** Οὕτως οἱ Cb Ὅτι οὕτως Mc Ὅτι Md || δηλοῖ οὕτως καὶ omisso ὅτι Cf || ὅτι οὕτω καὶ Ml ὅτι οὕτως Ch || εἰς τεκμήριον Cb || **12** προορώμενοι om. Ce Cf Ml || τοὺς om. Lc Md Mh Ml Mm Ce Cf || ἐκφεύγωσιν Cb.

Aliter.

Λέων γηράσας καὶ μὴ δυνάμενος θηρᾶν καὶ ἑαυτὸν διατρέφειν, ἔγνω μηχανήσασθαί τι πρὸς ὠφέλειαν ἑαυτοῦ. Καὶ δὴ παραγενόμενος ἐν σπηλαίῳ τινὶ καὶ κατακλιθεὶς προσεποιεῖτο νοσεῖν. Παραγινομένων δὲ τῶν ζῴων πρὸς αὐτὸν ἐπισκέψεως χάριν, συλλαμβάνων αὐτὰ κατήσθιε.

Cod. Mk 63.

3 κατακλεισθεὶς cod.

Digitized by Google

Πολλῶν οὖν θηρίων οὕτως ἀναλωθέντων, ἡ ἀλώπηξ τὸ τέχνασμα τούτου γνοῦσα παρεγένετο πρὸς αὐτὸν καὶ στᾶσα ἔξωθεν τοῦ σπηλαίου ἠρώτα αὐτόν· « Πῶς ἔχεις ; » Τοῦ δὲ εἰπόντος· « Κακῶς », καὶ ἐρωτήσαντος· « Διὰ τί, ὦ συντέκνισα, οὐκ εἰσέρχῃ εἴσω ; » ἡ ἀλώπηξ ἔφη· « Ὅτι ὁρῶ, κύριέ μου, πολλὰ μὲν εἰσιόντα τῶν θηρίων, ὀλίγα δὲ ἐξιόντα. »

9 Καλῶς cod. || Deest epim.

Aliter.

Λέων μὴ δυνάμενος αὐτῷ ἐκ γήρως
ἀρκέσαι τροφὴν ⟨πορίζεσθαι⟩ ἰδίαν,
εὗρε δι' ἐπινοίας πρᾶξιν ἀρίστην,
καί τι σπήλαιον εὑρὼν εἰσῄει τοῦτο·
νοσεῖν δὲ προσεποιεῖτο πεσὼν [τῇ] κλίνῃ.
Τούτου δ' ἐπισκέψεως τὰ ζῷα χάριν
ἅπαντα προσέρρεον ὡς βασιλεῖ γε.
Αὐτὸς δὲ κατήσθιεν ὡς αἱμοβόρος.
Εἰσῆλθεν οὖν ὑστάτη ἀλώπηξ τούτων,
θυρᾶς γοῦν ἔξω σταθεῖσα [τῆς] τοῦ σπηλαίου.
« Εὖ σοι, βασιλεῦ, ἔφη· πῶς ἔχεις, γίγα ; »
« Κακῶς » εἰπόντος, ἠρώτα τὴν αἰτίαν
δι' ἣν ἔξω ἱστᾶσα οὐκ ἔρχῃ ἔσω.
Τὸν δ' ἀπαμειβομένη ἀλώπηξ ἔφη·
« Μέδων, οἱ ἐρχόμενοι, εἰπέ μοι ποῦ γε·

οἱ μὲν εἰσερχόμενοι πολλοί, ἐξέρχονται δ' ὀλίγοι ἐντεῦθεν· οὐκ ἔρχομαι· καλῶς γὰρ οἶμαι· τοῦτο δὲ λέγε. »

Οἴδασιν οἱ φρόνιμοι ἐκ τεκμηρίων φεύγειν ὕφαλα πανοῦργα τῶν δυναστῶν.

Cod. Cd 74.

1 μὴ δυνάμενος αὐτῷ ἐκ γήρως nos ἐκ γέρους μὴ δυνάμενος ἑαυτῷ cod. || 2 πορίζεσθαι addidi || 3 post ἀρίστην codex habet εἰς τὸ φαγῆν ὁ γέρων quae resecui || 4 εἶσε pro εἰσῄει cod. || 5 νοσῶν cod. || τῇ delendum est || 9 ὕστατος cod. || 10 τῆς delendum est || 12 χαλῶς pro κακῶς cod. || 13 ἱστᾶσαν cod. || ἔρχηρ ἔσω cod. || 14 ἀπαμειβόμενος cod. || 16-17 Finem corruptum in uersus non restitui || 19 δυναστῶν nos δραπετῶν cod.

Aliter.

Λέων γηράσας κυνηγεῖν οὐκ ἠδύνατο· ἔκειτο δὲ ἐν τῷ

Codd. Ba 73 Bb 47 (Cf. Babrios 103).

Digitized by Google

σπηλαίῳ προσποιούμενος νοσεῖν, καὶ τὴν φωνὴν λεπτύνων καὶ ἀσθμαίνων. Ἐξῆλθε δὲ φήμη εἰς τὰ θηρία ἀσθενεῖν τὸν βασιλέα αὐτῶν· ἓν δὲ ἕκαστον εἰσήρχετο πρὸς ἐπίσκεψιν· ὁ δὲ ἀκόπως λαμβάνων κατήσθιεν. Ἡ δὲ πανοῦργος ἀλώπηξ νοήσασα, πόρρωθεν στᾶσα, ἔφη· « Βασιλεῦ, πῶς ἔχεις; — Κακῶς, εἶπεν· ἀλλὰ τί οὐ προσέρχῃ μοι, ἀλλὰ μακρόθεν ἐρωτᾷς; δεῦρο, γλυκεῖα, καὶ τοῖς λόγοις σου παρηγόρησον. » Ἡ δὲ ἔφη· « Ὑγίαινε, ἐγὼ δὲ ἄπειμι· πολλῶν γὰρ θηρίων ἴχνη με κωλύει εἰσιόντων μέν, μηδ' ὅλως δὲ ἐξιόντων. »

Ὅτι φρόνιμός ἐστιν ὁ συμφοραῖς ἑτέρων παιδευθεὶς καὶ μὴ προλαβὼν πταίσας.

2 λεπτὴν ὢν pro λεπτύνων Ba || **6** νοσήσασα Bb || πῶς ἔχεις, ἔφη Ba || **8** μύθοις pro λόγοις Ba || **10** ἐξελθόντων Bb || **11** εἰ καὶ pro καὶ μὴ Ba.

Aliter.

Λέων γηράσας καὶ τροφῆς ἀπορῶν νοσεῖν ὑπεκρίνετο· πάντα δὲ τὰ ζῷα εἰς θέαν αὐτοῦ ἀφικόμενα ἀπόνως ταῦτα συλλαμβάνων κατήσθιεν. Ἀλώπηξ δὲ τοῦτο νοήσασα πόρρωθεν αὐτὸν προσηγόρευε. Ὁ δὲ λέων ἔφη· « Δεῦρο, γλυκεῖα, καὶ τοῖς λόγοις ἀσθενοῦντα παραμύθησαι. » Ἡ δὲ ἔφη· « Ὑγίαινε, βασιλεῦ, ἐγὼ δὲ ἄπειμι· πολλῶν γὰρ θηρίων ἴχνη βλέπω εἰσιόντων, ἐξιόντα δὲ οὐδενός. »

Cod. Bd 37.

2 θείαν cod. || **4** Δούλη pro Δεῦρο cod.

198

Λέων ⟨ἐγκλεισθεὶς⟩ καὶ γεωργός.

Λέων εἰς γεωργοῦ ἔπαυλιν εἰσῆλθεν. Ὁ δὲ συλλαβεῖν βουλόμενος τὴν αὐλείαν θύραν ἔκλεισε. Καὶ ὃς ἐξελθεῖν μὴ δυνάμενος πρῶτον μὲν τὰ ποίμνια διέφθειρεν, ἔπειτα δὲ καὶ ἐπὶ τοὺς βόας ἐτράπη. Καὶ ὁ γεωργὸς φοβηθεὶς

Codd. Pa 139 Pb 142 Pc 80 Pf 76 Ma 98 Mb 87 Me 99 Mf 83 Mj 93 Ca 93.

1 εἰς ἔπαυλιν γεωργοῦ Pb Ma Mb Ca || εἰσελθὼν Mb || συλλαβεῖν αὐτὸν Pf Mb Me Mf Ca || **2** αὐλείαν nos αὐλίαν Pa αὐλιαίαν Pb Pc Mb Ca αὐλαίαν Ma αὔλειον Pf Me Mj αὔλιον Mf || Καὶ ὡς Pa Ca Ὁ δὲ Pf Me Mf Mj || **3** πρῶτα Pb Pc || **4** δὲ om. Pb Ma || τὰς βόας Pf Mj.

Digitized by Google

περὶ αὐτοῦ τὴν θύραν ἀνέῳξεν. Ἀπαλλαγέντος δὲ τοῦ λέοντος, ἡ γυνὴ θεασαμένη αὐτὸν στένοντα εἶπεν· « Ἀλλὰ σύ γε δίκαια πέπονθας· τί γὰρ τοῦτον συγκλεῖσαι ἐβούλου ὃν καὶ μακρόθεν σε ἔδει φεύγειν ; »

Οὕτως οἱ τοὺς ἰσχυροτέρους διερεθίζοντες εἰκότως τὰς ἐξ αὐτῶν πλημμελείας ὑπομένουσιν.

5 ἤνοιξεν Pb ἠνεῴξεν Ca || Τοῦ δὲ λέοντος ἐξελθόντος, θεασαμένη ἡ γυνὴ τὸν ἄνδρα στενάζοντα καὶ λυπούμενον Pf Me Mf Mj || **7** γε σὺ Pb Me Mf Mj Ca || γε om. Mb || δικαίως Pa || Ἀλλά γε ἃ δίκαια Ma || τοσοῦτον pro τοῦτον Pb || κλεῖσαι τοῦτον Mb συγκλεῖσαι τοῦτον Ca || συνέκλεισας ὃν Pf Me Mf Mj || ἐβουλεύου Pa ἠβούλου Pb ἐβουλήθης Ma Mb Ca || **8** ἀπὸ μακρόθεν Pb || σε om. Pc || ἔδει σε Ma || τρέμειν Pb Ma Mb Ca || **9** Ὁ μῦθος δηλοῖ ὅτι οὕτως Mj || οἱ πονηροὶ τοὺς Pb || ἐχθροὺς pro ἰσχυροτέρους Mb ἰσχυροὺς Ca.

199

Λέων ⟨ἐρασθεὶς⟩ καὶ γεωργός.

Λέων ἐρασθεὶς γεωργοῦ θυγατρὸς, ταύτην ἐμνηστεύσατο. Ὁ δὲ μὴ ἐκδοῦναι θηρίῳ τὴν θυγατέρα ὑπομένων, μηδὲ ἀρνήσασθαι διὰ φόβον δυνάμενος τοιοῦτόν τι ἐπενόησεν. Ἐπειδὴ συνεχῶς αὐτῷ ὁ λέων ἐπέκειτο, ἔλεγεν ὡς νυμφίον μὲν αὐτὸν ἄξιον τῆς θυγατρὸς δοκιμάζει· μὴ ἄλλως δὲ αὐτῷ δύνασθαι ἐκδοῦναι, ἐὰν μὴ τούς τε ὀδόντας ἐξέλῃ καὶ τοὺς ὄνυχας ἐκτέμῃ· τούτους γὰρ δεδοικέναι τὴν κόρην. Τοῦ δὲ ῥᾳδίως διὰ τὸν ἔρωτα ἑκάτερα ὑπομείναντος,

Codd. Pa 135 Pb 138 Pc 77 Pg 92 Ma 94.

1 θυγατρός τινος γεωργοῦ Pb γεωργοῦ τινος θυγατρίου Pc θυγατρὸς γεωργοῦ Pg Ma || ταύτῃ μνηστευθῆναι ἐβούλετο Pg || **2** ἐνδοῦναι Pa || ἐπιμένων Pg βουλόμενος Ma || οὐδὲ ἀρνήσασθαι Pa || **3** ἀρνεῖσθαι Pb Pg || τὸν φόβον Pb Pg Ma || τὴν θυγατέρα δυνάμενος Pa solus || βουλόμενος pro δυνάμενος Pc Pg || τι om. Pa Pc Pg Ma || **4** Ἐπεὶ Pg || ὁ λέων αὐτῷ Pb || τοιούτῳ ἐπέκειτο Ma || λέγων ὡς νυμφίον με ἀνάξιον τῆς θυγατρὸς ἀποδοκιμάζει, ἔλεγε μὴ ἄλλως αὐτῷ Pg || **5** μὲν om. Pb || ἄξιον om. Pb || δοκιμάζειν Ma || **6** αὐτῷ om. Ma || τε om. Pb Pg || ἐξέληται Pb || **7** καὶ ἐκτέμνει τοὺς ὄνυχας Ma || τὴν κόρην δεδοικέναι Pg || τὴν κόρην ἔφη Pb Ma || **8** ἑκάτερον Pb || ὑπεκσπάσαντος Pc καταδεξαμένου Pg.

Digitized by Google

ὁ γεωργὸς καταφρονήσας αὐτοῦ, ὡς παρεγένετο πρὸς αὐτόν, ῥοπάλοις αὐτὸν παίων ἐξήλασεν.

Ὁ λόγος δηλοῖ ὅτι οἱ ῥᾳδίως τοῖς πέλας πιστεύοντες, ὅταν τῶν ἰδίων πλεονεκτημάτων ἑαυτοὺς ἀπογυμνώσωσιν, εὐάλωτοι τούτοις γίνονται οἷς πρότερον φοβεροὶ καθεστήκεσαν.

10 παίων αὐτὸν Pb || ἀπήλασεν Pg || **11** Οὕτως οἱ Pb || τοῖς ἐχθροῖς Pb Pg Ma || **12** πλεονεκτημάτων παραγυμνοῦσι ἃ αὐτοῖς αἰχμάλωτοι μᾶλλον καὶ εὐάλωτοι τούτοις γίνονται εἷς πρὸς ἕτερον φοβεροὶ καθεστείκασιν Ma || **13** γίνονται, πρότερον φοβεροὶ καθεστηκότες Pb || καθεστήκασι Pc Pg.

Aliter.

Λέων ἐρασθεὶς θυγατρὸς γεωργοῦ, ταύτῃ μνηστευθῆναι ἐβούλετο. Ἐπέκειτο οὖν ἐκβιάζων τὸν πατέρα αὐτῆς· ὁ δὲ πατὴρ αὐτῆς ἔλεγε μὴ ἐκδοῦναι θηρίῳ τὴν ἑαυτοῦ θυγατέρα. Ὁ λέων οὖν ἠπείλει αὐτῷ· ὁ δὲ μὴ δυνάμενος διὰ τὸν φόβον ἀναβάλλεσθαι, ἐπενόησεν ἐμφρόνως καί φησι πρὸς τὸν λέοντα· « Οὐ δύναμαί σοι δοῦναι τὴν ἐμὴν θυγατέρα, ἐὰν μὴ τοὺς ὀδόντας καὶ τοὺς ὄνυχάς σου ἐκτίλλῃς· ταῦτα γὰρ ἡ κόρη δέδοικεν. » Ὁ δὲ εὐθέως διὰ τὸν ἔρωτα ἑκάτερα ῥᾳδίως ἐξέβαλε, καὶ ἀπελθὼν κατὰ τὸ σύνηθες ἐζήτει τὴν κόρην. Ὁ δὲ γεωργὸς καταφρονήσας αὐτοῦ ῥοπάλοις αὐτὸν ἐδίωξεν.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τοῖς ἐχθροῖς ἑαυτοὺς καταπιστεύοντες εὐάλωτοι τούτοις γίνονται.

Codd. Ca 110 Cb 66 Ce 74 Cf 78 Cg 3 Ch 78 Mc 66 Ml 102.

1 θυγατέρα Cb -τέραν Mc -τρὶ Cg || καὶ ταύτην μνηστευθῆναι βουλόμενος ἐπέκειτο οὖν Cb Mc || ταύτην μνησθῆναι ἠβούλετο Ce Cf Ml || **2** Ἐπέκειτο δὲ ἐκθιάζων τὸν πατέρα αὐτοῦ Ce || ὁ δὲ πατὴρ αὐτῆς om. Cb || **3** ἐκδοθῆναι Cg || τὴν θυγατέρα αὐτοῦ Ce τῆν ἐμὴν θυγατέρα Mc || **4** Ὁ οὖν λέων Cg Ch Mc Καὶ ὁ λέων Ce Cf Ml || αὐτόν Cf Ch Mc || **5** παρακοῦσαι pro ἀναβάλλεσθαι Ce παρακοῦσαι αὐτὸν Cf Ml ἀναλαβέσθαι Cg ἀναβαλέσθαι Mc || εὐφρόνως Ce Cf Ch || ἐπενόησεν .. καὶ om. Ml || φησι πρὸς αὐτόν Ml || **6** δοῦναι om. Cf ἐκδοῦναι Cb Cg Ch Mc || **7** ἐν ἂν μὴ Ce || σου post ὀδόντας Mc Ml || σου om. Ce || ἐκτίλῃς Ce Cf Cg Mc Ml || **8** post δέδοικεν Ca addit οὐδαμῶς σοι ταύτην παρέξω || ἑκάτερα om. Mc || **9** ἐξέτειλε Cf || τὴν κόρην ἐζήτει (ἐπεζήτει Cf) Ce Cf Ml **11** κατεδίωξε Cb Mc || **12** Ὅτοι οἱ Cb || τοὺς ἐχθροὺς Mc || ἑαυτῶν Ca || τοῖς ἐχθροῖς ὑπακούοντες (καταδυναστεύοντες Cf Ml) Ce Cf Ml || **13** τούτου Cb τούτων Ce om. Cg.

Digitized by Google

Aliter.

Λέων ἐρασθεὶς γηπόνου θυγατέρα,
ταύτην μνηστευθεὶς ἐβούλετο πρὸς γάμον.
Ἐπέκειτο γοῦν βιάζων καθ' ἑκάστην
γονεῖς τῆς κόρης δοῦναι τὴν θυγατέρα.
Ὁ δὲ γέρων ἔλεγε μὴ δοῦναι ταύτην
θήραν ἥμερον λέοντι βλοσυρώδει
φύσιν τὴν ἀνθρώπινον ἡμερωτάτην.
Πρὸς τόνδ' ἠπείλει δεινῶς ὁ λέων λέγων·
« Σπαράξαι σ' ἔχω, εἰ μὴ τὴν κόρην δῷς μοι. »
Τὸν κίνδυνον δὲ μὴ δυνάμενος φεύγειν
ὁ γέρων βουλὴν ἐνόμισεν ἀρίστην,
καὶ τόνδ' ἀμειβόμενος ἔφησε λόγον·
« Ὀδόντας καὶ ὄνυχάς σου κόρη δείδει·
λοιπὸν ἔκβαλ' ὀδόντας καὶ λήψει τήνδε·
τίλλε γοῦν τοὺς ὄνυχας ἅμα κὀδόντας. »
Χάριν ἔρωτος, βαβαί, τοῦ πικροτάτου,
προσῆλθε λέων γέροντι τῷ φρονίμῳ
οὕτως ταπεινῶς πρὸς ὑπέροφρυν πρέσβυν
κόρην γε ζητῶν δίχ' ὀδόντων κὀνύχων.
Ῥοπάλοις γε διώκει τοῦτον ὁ γέρων·
« Ἔξελθ' οἴκων ἐμῶν· ἄοπλος ὑπάρχεις. »

Ὁ ἐχθροῖς πιστεύων ὅλος φθείρεται ὑπὸ τούτων.

Cod. Cd 78.

5 ταύτη cod. || **6** λέοντα βλωσηρώδη cod. || **9** σπειράξαι cod. || μοι δώῃς cod. || **10** φυγεῖν cod. || **11** βουλὴν ἐνόμισεν ἀρίστην nos ἀρίστην ἐνόμισε βουλήν τοιάνδε cod. || **12** ἔφυσε || **13** ὀδόντας καὶ ὄνυχάς σου κόρη δείδει nos ὀδόντας, ὄνυχάς σου κόρη δειμαίνει cod. || **14** ἔβαλ' || **15** τήλει || **17** τότε προσῆλθε cod. eieci τότε || **18** πρέσβην ὑπὲροφρυν cod. || **21** νῦν ὑπάρχεις cod.

Aliter.

Λέων ἠράσθη παιδὸς ὡραίας· τὸν πατέρα δὲ αὐτῆς ἐδυσώπει δοῦναι αὐτῷ ταύτην πρὸς γάμον. Ὁ δὲ ὑπούλως ἔφη· « Χαίρων δίδωμι· τίς γὰρ οὐ θελήσει λέοντα καὶ δυνάστην ἐπικηδεῦσαι; ἀλλὰ τῶν παρθένων αἱ φρένες δειλαί εἰσιν· πῶς γὰρ ἰδοῦσα τηλικούτους ὄνυχας καὶ ὀδόντας τολμήσει ἀφόβως περιλαβεῖν καὶ μὴ κλαῦσαι; Πρὸς ταῦτα σκόπησον, εἰ χρήζεις γάμου, μὴ θήρ, ἀλλὰ νυμφίος εἶναι. » Ὁ δὲ ἀπατηθεὶς ἐξεῖλε τοὺς ὀδόντας καὶ

Cod. Ba 76.

Digitized by Google

τῇ σμίλῃ ἀπωνυχίσθη καὶ τὴν παῖδα ἐζήτει. Τοῦτον δὲ ἕκαστος ῥοπάλῳ καὶ λίθῳ παίων ἐθανάτωσαν· ἔκειτο δὲ ὡς πρόβατον, ταῖς ποικίλαις φρεσὶ τοῦ γέροντος ἀπατηθείς.

Ὅτι δι᾽ ἀπάτης καὶ φρονήσεως πλεῖστοι ἐχθροὺς ἐχειρώσαντο· [λέων γὰρ ἀνθρώπου οὐκ ἐρᾷ].

200

Λέων καὶ ἀλώπηξ καὶ ἔλαφος.

Λέων νοσήσας ἔκειτο ἐν φάραγγι· τῇ προσφιλεῖ δὲ ἀλώπεκι, ᾗ προσωμίλει, εἶπεν· « Εἰ θέλεις ὑγιᾶναί με καὶ ζῆν, τὴν ἔλαφον τὴν μεγίστην, τὴν εἰς τὸν δρυμὸν οἰκοῦσαν, τοῖς γλυκέσι σου λόγοις ἐξαπατήσασα ἄγε εἰς ἐμὰς χεῖρας· ἐπιθυμῶ γὰρ αὐτῆς ἐγκάτων καὶ καρδίας. » Ἡ δὲ ἀλώπηξ ἀπελθοῦσα εὗρε τὴν ἔλαφον σκιρτῶσαν ἐν ταῖς ὕλαις· προσπαίσασα δὲ αὐτῇ καὶ χαίρειν εἰποῦσα ἔφη· « Ἀγαθά σοι ἦλθον μηνῦσαι· οἶδας ὡς ὁ βασιλεὺς ἡμῶν λέων γείτων ἐστί μοι· νοσεῖ δὲ καὶ ἔστιν ἐγγὺς τοῦ θνῄσκειν. Ἐβουλεύετο οὖν ποῖον τῶν θηρίων μετ᾽ αὐτὸν βασιλεύσει. Ἔφη δὲ ὅτι σῦς μέν ἐστιν ἀγνώμων, ἄρκτος δὲ νωθρός, πάρδαλις δὲ θυμώδης, τίγρις ἀλαζών· ἡ ἔλαφος ἀξιωτάτη ἐστὶν εἰς βασιλείαν, ὅτι ὑψηλή ἐστι τὸ εἶδος, πολλὰ δὲ ἔτη ζῇ, τὸ κέρας αὐτῆς ὄφεσι φοβερόν. Καὶ τί σοι τὰ πολλὰ λέγω ; ἐκυρώθης βασιλεύειν. Τί μοι ἔσται πρώτῃ σοι εἰπούσῃ ; Ἀλλ᾽ εὖξαί μοι σπευδούσῃ, μὴ πάλιν με ζητήσῃ· χρήζει γάρ με σύμβουλον ἐν πᾶσιν. Εἰ δὲ ἐμοῦ τῆς γραὸς ἀκούσῃς, συμβουλεύω καὶ σὲ ἐλθεῖν καὶ προσμένειν τελευτῶντι αὐτῷ. » Οὕτως εἶπεν ἡ ἀλώπηξ. Τῆς δὲ ὁ νοῦς ἐτυφώθη τοῖς λόγοις, καὶ ἦλθεν εἰς τὸ σπήλαιον μὴ γινώσκουσα τὸ μέλλον. Ὁ λέων δὲ ἐφορμήσας αὐτῇ ἐν σπουδῇ τὰ ὦτα

Codd. Ba 75 Mb 88.

6 ἀπελθοῦσα .. δὲ αὐτῇ om. Ba || **7** προσπέξασα Mb || **8** ἐστί σοι Ba μοί ἐστι Mb || **9** ἐγγύς ἐστι Mb || **10** μετ᾽ αὐτῶν Mb || **11** ἄρκος Ba || νωθρά Mb || **12** εἰς βασιλέα Mb || **14** τὰ ante πολλὰ om. Mb || **20** ἦλθον Ba || **21** Ὁ δὲ λέων || **21-44** ἐφορμήσας... παρὰ τοῦ λέοντος om. Mb.

Digitized by Google

μόνον τοῖς ὄνυξιν ἐσπάραξεν. Ἡ δὲ ταχέως ἔσπευδεν ἐν ταῖς ὕλαις. Καὶ ἡ μὲν ἀλώπηξ τὰς χεῖρας ἐκρότησεν, ὅτι εἰς μάτην ἐκοπίασεν. Ὁ δὲ λέων μέγα βρυχώμενος ἐστέναξεν· λιμὸς γὰρ αὐτὸν εἶχε καὶ λύπη· καὶ ἱκέτευε τὴν ἀλώπεκα ἐκ δευτέρου τι ποιῆσαι καὶ δόλῳ πάλιν ταύτην ἀγαγεῖν. Ἡ δὲ εἶπεν· « Χαλεπὸν καὶ δύσκολον ἐπιτάττεις ἐμοὶ πρᾶγμα, ἀλλ' ὅμως ὑπουργήσω σοι ». Καὶ δὴ ὡς ἰχνευτὴς κύων ἐπηκολούθει, πλέκουσα πανουργίας· ποιμένας δὲ ἐπηρώτα εἰ εἶδον ἔλαφον ᾑμαγμένην. Οἱ δὲ ἔδειξαν ἐν τῇ ὕλῃ. Εὗρε δὲ αὐτὴν καταψυχομένην, καὶ ἔστη ἀναιδῶς. Ἡ δὲ ἔλαφος χολωθεῖσα καὶ φρίξασα τὴν χαίτην εἶπεν· « Ὦ κάθαρμα, ἀλλὰ οὐκέτι χειρώσῃ με· εἰ δὲ καὶ πλησιάσεις μοι, οὐ ζήσεις ἔτι. Ἄλλους ἀλωπέκιζε τοὺς ἀπείρους, ἄλλους ποιεῖ βασιλεῖς καὶ ἐρέθιζε. » Ἡ δὲ εἶπεν· « Οὕτως ἄνανδρος εἶ καὶ δειλή; οὕτως ἡμᾶς τοὺς φίλους ὑποπτεύεις; Ὁ μὲν λέων τοῦ ὠτὸς κρατήσας ἤμελλε συμβουλεύειν καὶ ἐντολάς σοι δοῦναι περὶ τῆς τηλικαύτης βασιλείας ὡς ἀποθνήσκων· σὺ δὲ οὐδὲ κνίσμα χειρὸς ἀρρώστου ὑπέστης. Καὶ νῦν ὑπὲρ σὲ πλεῖον ἐκεῖνος θυμοῦται, καὶ βασιλέα τὸν λύκον θέλει ποιῆσαι· οἴμοι, πονηρὸν δεσπότην. Ἀλλ' ἐλθὲ καὶ μηδὲν πτοηθῇς καὶ γενοῦ ὡς πρόβατον. Ὄμνυμι γάρ σοι εἰς τὰ φύλλα πάντα καὶ πηγὰς μηδὲν κακὸν παθεῖν παρὰ τοῦ λέοντος· ἐγὼ δὲ μόνῃ σοι δουλεύσω. » Οὕτως ἀπατήσασα τὴν δειλαίαν ἔπεισε δεύτερον ἐλθεῖν. Ἐπεὶ δὲ εἰς τὸ σπήλαιον εἰσῆλθεν, ὁ μὲν λέων δεῖπνον εἶχε, πάντα τὰ ὀστᾶ καὶ μυελοὺς καὶ ἔγκατα αὐτῆς καταπίνων. Ἡ δὲ ἀλώπηξ εἱστήκει δρῶσα· καρδίαν δὲ ἐκπεσοῦσαν ἁρπάζει λαθραίως, τοῦ κόπου κέρδος ταύτην φαγοῦσα. Ὁ δὲ λέων ἅπαντα ἐρευνήσας μόνην καρδίαν ἐπεζήτει. Ἀλώπηξ δὲ μηκόθεν σταθεῖσα ἔφη· « Αὕτη ἀληθῶς καρδίαν οὐκ εἶχεν· μὴ ἔτι ζήτει· ποίαν

26 ποιήσειν Ba || **43** Ὤμνυμι Ba || **47** τὰ ante ὀστᾶ om. Mb || **48** αὐτῆς om. Ba || **50** κέρδους Mb || **51** στᾶσα Mb || **52** ὁποίαν Ba || ὁποίαν οὖν αὕτη καρδίαν Mb.

Digitized by Google

γὰρ καρδίαν αὕτη εἶχεν, ἥτις δὶς εἰς οἶκον καὶ χεῖρας λέοντος εἰσῆλθεν.»

Ὅτι ὁ τῆς φιλοδοξίας ἔρως τὸν ἀνθρώπινον νοῦν ἐπιθολοῖ καὶ τὰς τῶν κινδύνων συμφορὰς οὐ κατανοεῖ.

55 ὁ om. Ba || φιλοξενίας Ba || ἀνθρώπων Mb || **56** ταῖς ... συμφοραῖς Mb.

Aliter.

Λέων νοσήσας πρὸς τὴν ἀλώπεκα ἔφη· «Εἰ χαριεῖσθαι μοι θέλεις, τὴν ἔλαφον τοῖς πιθανοῖς σου λόγοις ἐξαπατήσασα κόμιζε· τῶν γὰρ ἐγκάτων αὐτῆς ἐπιθυμῶ καὶ τῆς καρδίας.» Ἡ δὲ πρὸς τὴν ἔλαφον ἀπελθοῦσα· «Ἀγαθῶν μηνυτὴς ἧκον,» ἔφη. Ἡ δὲ τὴν ἀγγελίαν ἠρώτα. Ἡ δὲ ἀλώπηξ· «Ὁ λέων, φησίν, ἀποθνήσκων διάδοχον βασιλείας ἐζήτει· τὸν σῦν οὖν παρῃτήσατο ὡς ἀγνώμονα, ἄρκον δὲ ὡς νωθρόν, πάρδαλιν ὡς θυμώδη καὶ τίγριν ὡς ἀλαζόνα· μόνη δ' αὐτῷ εἰς βασιλείαν ἐκρίθης ἀξία διά τε τὸ μέγεθος καὶ κάλλος, τῶν κεράτων τὴν δύναμιν καὶ τῆς ζωῆς τὴν μακρότητα· δεῦρο οὖν μετ' ἐμοῦ καὶ παρακαθημένη ζῶντι τῷ λέοντι τὴν βασιλείαν μετὰ τὸν ἐκείνου θάνατον λάμβανε.» Ἀκούσασα δὲ τῶν λόγων τῆς ἀλώπεκος καὶ πεισθεῖσα ἡ ἔλαφος ἠκολούθησε μεχρὶ τοῦ σπηλαίου ἐν ᾧ ὁ λέων ἔκειτο. Ὁ δὲ λέων ἰδὼν αὐτὴν καὶ ὑπὸ τῆς χαρᾶς παρὰ καιρὸν ὁρμήσας ἐπ' αὐτὴν τὰ ὦτα μόνον τοῖς ὄνυξιν ἔνυξεν. Ἡ δὲ ἔλαφος φοβηθεῖσα αὖθις ταῖς ὕλαις ἐκρύπτετο. Ὁ λέων δὲ βρυχώμενος ἐδυσχέραινε καὶ τὴν ἀλώπεκα αὖθις ἱκέτευε αὖθις πανουργεύσασαν αὐτὴν ἀγαγεῖν. Ἡ δὲ δύσκολον τὸ πρᾶγμα τιθεμένη, ὅμως πρὸς τὴν ἔλαφον αὖθις ἐγένετο. Ἡ δὲ ταύτην ἰδοῦσα ἔφη· «Μηδαμῶς πλησιάσῃς μοι· ἄλλους ποιεῖ βασιλεῖς, καὶ προσάγαγε λέοντι· ἔγνων γάρ σου τὰ πανουργεύματα.» Ἡ δὲ ἔφη· «Ὦ ἀνόητε, ἄνανδρε πασῶν ἐλάφων καὶ δειλή, πῶς ἀκαίρως τοὺς φιλοῦντας ὑποπτεύεις; Ὁ γὰρ λέων τῶν ὤτων σου λαβόμενος ἔμελλέν σοι κρύφα κοινολογεῖσθαι καὶ συμβουλεύειν καὶ τὰς ἐντολὰς αὐτοῦ περὶ τηλικαύτης ἀρχῆς παραδοῦναι. Σὺ δὲ οὐδὲ κνίσμα χειρὸς ἀρρώστου ὑπέμεινας. Καὶ νῦν θυμωθεὶς βασιλέα, οἶμοι, ποιεῖν αἱρεῖται τὸν πίθηκον, πικρὸν θηρίον καὶ πονηρόν. Ἀλλ' ἐλθὲ μηδὲν φοβουμένη καὶ ταπεινώθητι. Ὄμνυμι γάρ σοι φύλλα πάντα καὶ τὰς πηγὰς μηδέν τι κακὸν παρὰ τοῦ

Cod. Bd 38.

20 δυσκόλω cod.

Digitized by Google

λέοντος ὑποστῆναί σε. » Τουτοῖς πεισθεῖσα ἡ δειλαία ἔλαφος αὖθις πρὸς τὸ σπήλαιον εἰσῆλθε τοῦ λέοντος. Διασπάσας οὖν ταύτην ὁ λέων δεῖπνον εἶχεν τὰ ὀστᾶ αὐτῆς καὶ μυελοὺς καὶ τὰ ἔγκατα. Τὴν δὲ καρδίαν λάθρα ἡ ἀλώπηξ ἁρπάσασα ἔφαγε, κέρδος ἡγησαμένη τοῦτο τῆς ταλαιπωρίας δι' ἧς ταῦτα κατώρθωσε. Ὁ δὲ λέων πάντα καταφαγών, καὶ τὴν καρδίαν ἐπιμελῶς ἐξεζήτει. Ἡ δ' ἀλώπηξ μακρόθεν ἑστῶσα ἔφη· « Ὦ λέον, μὴ ζήτει καρδίαν· αὕτη γὰρ ἀληθῶς καρδίαν οὐκ εἶχεν· εἰ γὰρ καρδίαν εἶχεν, δὶς εἰς χεῖρας λέοντος οὐκ ἂν ἦλθεν. »

38 κατώρθωσα cod. || **40** λέων cod.

201

Λέων καὶ ἄρκτος.

Λέων καὶ ἄρκτος, ἐλάφου νεβρὸν εὑρόντες, περὶ τούτου ἐμάχοντο. Δεινῶς δὲ ὑπ' ἀλλήλων διατεθέντες, ἐπειδὴ ἐσκοτώθησαν, ἡμιθανεῖς ἔκειντο. Ἀλώπηξ δὲ παριοῦσα, ὡς ἐθεάσατο τοὺς μὲν παρειμένους, τὸν δὲ νεβρὸν ἐν μέσῳ κείμενον, ἀραμένη αὐτόν, διὰ μέσων αὐτῶν ἀπηλλάττετο. Οἱ δὲ ἐξαναστῆναι μὴ δυνάμενοι ἔφασαν· « Ἄθλιοι ἡμεῖς, εἴ γε ἀλώπεκι ἐμοχθοῦμεν. »

Ὁ λόγος δηλοῖ ὅτι εὐλόγως ἐκεῖνοι ἄχθονται οἳ τῶν ἰδίων πόνων τοὺς τυχόντας δρῶσι τὰς ἐπικαρπίας ἀποφερομένους·

Codd. Pa 142 Pb 145 Pg 96 Mb 94.

1 ἐλάφου νεῦρον Pa ἔλαφον Pb || σύροντες Pa || **2** ἐμάχοντο ὅτις αὐτὸν καταθοινήσεται Mb || δὲ om. Pb Pg || ὑπὲρ ἀλλήλων Pa || διατεθέντων Pb || καὶ ἐπειδὴ Pg || **3** ἐσκοτώθη Pb Mb || περιιοῦσα Pa || **4** τῶν δὲ νεύρων μέσων κειμένων Pa || ἔσω pro ἐν μέσῳ Pb || **5** αὐτὸ pro αὐτὸν Pa || διὰ μέσου Pb Mb || **6** ἐξαναστῆσαι Pa || **8** διδάσκει Pg Mb || Εὐλόγως Pb || ἐκείνου Pa || οἱ τῶ οἰδίω χαμάτω Mb || **9** χαμάτων Pb Pg || ἐπιφερομένους Pb.

Aliter.

Λέων καὶ ἄρκος ἔλαφον εὗρον. Περὶ τούτου ἀμφότεροι ἐμάχοντο ποῖος αὐτὸν καταθοινήσεται. Δεινῶς δὲ ὑπ'

Codd. Pf 79 Me 102 Mf 86 Mj 96.

1 βουνεύρῳ περιτυχόντες Mf et in margine Me || Περὶ τούτου δὲ Mj || **2** αὐτὸ Mf αὐτῶν Mj || Δεινῶς οὖν Me.

Digitized by Google

ἀλλήλων διατεθέντες, ἐπειδὴ ἐσκοτώθησαν, ἔκειντο ἀπέναντι ἀλλήλων ὡς εἰ νεκροί. Ἀλώπηξ δὲ παριοῦσα, ὡς ἐθεάσατο τούτους μὲν παρειμένους καὶ τὴν νεβρὸν ἐν μέσῳ κειμένην, προσέδραμεν καὶ ταύτην ἐκ μέσου αὐτῶν ἁραμένη ἀπῆλθεν. Οἱ δὲ θεασάμενοι καὶ ἀναστῆναι μὴ δυνάμενοι ἔφασαν· « Ἄθλιοι ἡμεῖς, εἴγε δι' ἀλώπεκα ἐμοχθοῦμεν. »

Ὁ λόγος ὅτι εὐλόγως ἐκεῖνοι ἄχθονται οἳ δι' ὀργῆς ἄμυναν τῶν ἰδίων καμάτων τοὺς τυχόντας δρῶσι τὰς ἐπικαρπίας ἐπιφερομένους.

3 διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιᾶσαι, ἐπειδὴ ἐφονεύθησαν Me Mf || 5 παρακειμένους Mf || νεβρὸν nos νεβρὰν Pf Mj νευρὰν Me Mf.

Aliter.

Λέων καὶ ἄρκτος ἐλάφου νεβρὸν εὑρόντες περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντων, καὶ ἐκ τῆς πολλῆς μάχης ἀμφοτέρων σκοτισθέντων, καὶ ἡμιθανῶν κειμένων, ἀλώπηξ παριοῦσα, ὡς ἐθέασατο τοὺς μὲν παρειμένους, τὸ δὲ νεβρὸν ἐν μέσῳ κείμενον, εἰσελθοῦσα διὰ μέσου αὐτῶν, ἁραμένη τοῦτο, δρομαίως ᾤχετο. Οἱ δὲ ἰδόντες αὐτὴν καὶ ἀναστῆναι μὴ δυνάμενοι εἶπον· « Ἄθλιοι ἡμεῖς, ὅτι δι' ἀλώπεκα ἐμοχθοῦμεν. »

Ὁ λόγος διδάσκει ὅτι εὐλόγως ἐκεῖνοι ἄχθονται οἳ τῶν ἰδίων καμάτων τοὺς τυχόντας δρῶσι τὰς ἐπικαρπίας ἀποφερομένους. Ἢ· ὅτι πολλοὶ μόχθον καὶ κόπον ἑτέρων ποιοῦνται ἴδιον κέρδος.

Codd. Ca 96 Ce 73 Cf 77 Cg 2 Ch 77.

1 ἐλάφου νεῦρον Ca Ce σέλας (σέλαν Ch) βούνευρον Cf Ch Cg || καὶ εὑρόντες Cg || περὶ ταύτης Cf || 2 διατεθέντες (διατι- Ce), ἐπειδὴ ἐκ τῆς πολλῆς μάχης ἀμφότεροι ἐσκοτίσθησαν, ἔκειντο (καὶ ἔκειντο Ce) ἡμιθανεῖς (-θνητοι Ce) Ce Cf Cg Ch || 4 Ἀλώπηξ δὲ Cg Ch || περιοῦσα Ca Cf || Λύκος δὲ περιὸν Ce qui substituit lupum in locum uulpis || ἐθεάσατο αὐτοὺς πεπτωκότας, τὸ (τὸν Cf) δὲ βούνευρον (καὶ τὸν νεβρὸν Ce) Ce Cf Cg Ch || 5 νεῦρον Ca || εἰσελθὼν ... καὶ ἁράμενος Ce || 6 καὶ ἁραμένη Cf Cg || τοῦτον Ce Cf || ἁραμένη δρομαίως τούτω Cg || Οἱ δὲ ... εἶπον om. Cf || 7 ἰδόντες αὐτὸν Ce || 8 διὰ τὸν λύκον Ce || 9 Ὅλως διδάσκει Ca || 9-12 Ὁ μῦθος δηλοῖ ὅτι (ὅτι om. Cf) ἄλλοι κοπιῶντες καὶ (καὶ om. Ce) ἄλλοι κερδαίνουσιν Ce Cf Ὁ μῦθος δηλοῖ ὅτι (Ὅτι Cg) πολλοὶ κόπον καὶ μόχθον ποιοῦνται (ὑφίστανται Ch) εἰς ἑτέρων κέρδος Cg Ch || Secundum epim. Ca solus habet.

Digitized by Google

Aliter.

Λέων καὶ ἄρκτος, ὁμοῦ νεβρῷ περιτυχόντες, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων διατεθέντες, ὡς ἐκ τῆς πολλῆς μάχης καὶ σκοτοδινιᾶσαι, ἀπαυδήσαντες ἔκειντο. Ἀλώπηξ δὲ κύκλῳ περιιοῦσα, πεπτωκότας αὐτοὺς ἰδοῦσα καὶ τὸν νεβρὸν ἐν τῷ μέσῳ κείμενον, διὰ μέσου ἀμφοῖν διαδραμοῦσα καὶ τοῦτον ἁρπάσασα, φεύγουσα ᾤχετο. Οἱ δὲ βλέποντες μὲν αὐτήν, μὴ δυνάμενοι δὲ ἀναστῆναι· « Δείλαιοι ἡμεῖς, εἶπον, ὅτι δι' ἀλώπεκα ἐμοχθοῦμεν. »

Ὁ μῦθος δηλοῖ ὅτι ἄλλων κοπιώντων ἄλλοι κερδαίνουσιν.

Codd. La 39 Lb 76 Le 76 Lf 39 Lh 33 Mg 101 Ml 96.

1 βουνεύρῳ libri || βουνεύρῳ περιέτυχον καὶ Le || 2 διατιθέντες Lb Le Lh || 3 σκοτειδιᾶσαι Le || 4 περιοῦσα Lb Lh || 5 τὸ βούνευρον .. τοῦτο Le Lh || 6 τούτων Mg τοῦτον quod in libris est ante διὰ μέσου transposui ante ἁρπάσασα || ᾤχετο φεύγουσα Mg || 7 ἀναστῆναι δὲ μὴ δυνάμενοι Lb Le Lh Ml || 8 ἐμαχούμεθα pro ἐμοχθοῦμεν Le || 9 Ὁ μῦθος ὅτι Lb || Ὁ μῦθος τῶν ἄλλων Le || Ὅτι Mg.

Aliter.

Λέων καὶ ἄρκτος βρῶμά τι εὑρόντες ἐν ἕλει, περὶ τούτου ἐμάχοντο. Δεινῶς οὖν ὑπ' ἀλλήλων κατακοπέντες ἐσκοτίσθησαν ἐκ τῆς πολλῆς μάχης, καὶ ἔκειντο ἡμιθανεῖς. Ἀλώπηξ δὲ περιιοῦσα καὶ θεασαμένη πεπτωκότας, ἰδοῦσα τὸ βρῶμα κείμενον ἐν μέσῳ, ἄρασα τοῦτο δρομαίως ᾤχετο. Οἱ δὲ ἰδόντες αὐτὴν καὶ μὴ δυνάμενοι ἀναστῆναι, εἶπον· « Ἄθλιοι ὄντως ἡμεῖς, ὅτι δι' ἀλώπεκα ἐμαχόμεθα. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ κοπιῶντες καὶ μοχθοῦντες ἑτέροις κέρδος προσκτῶνται.

Codd. Ma 179 Md 76 Mh 71 Mm 91 Lc 53 Lg 53.

1 εὑρόντος Ma || περὶ τοῦ Lc || 2 ἐπ' ἀλλήλων Ma om. Lg || 4 περιιδοῦσα Mm περιδοῦσα Ma Md Lc || ἰδοῦσα τε Lg ἰδοῦσα καὶ Mm || 7 Ἄθλιον Lc || ὄντες Mm Lg || 9 ἕτεροι Mh.

Aliter.

Λέων ὁ μέγας καὶ ἄρκος τὸ θηρίον
εὑρόντες βοῦν ἤριζον δεινῶς εἰς τοῦτον.
Ὡς γοῦν ἐπετείνετο δεινῶς ἡ μάχη,
ἀμφότεροι ἔκειντο κατατρωθέντες

Cod. Cd 77.

2 ἔριζον cod. || 4 δεινῶς κατατρωθέντες cod. δεινῶς deleui.

Digitized by Google

ἡμιθανεῖς, ἡμιτόμοι, νεκροὶ ὅλως.
Παριοῦσα δ' ἀλώπηξ, ὡς εἶδε τούτους
πτῶμα δεινὸν κειμένους ἔνθεν κἀκεῖσε,
τὸν βοῦν δὲ μέσον κείμενον τεθνεῶτα,
δάκνουσ' ἔσυρε τὸν βοῦν ἐκ μέσου τούτων
τοῖς τέκνοις βρῶμα προσάγουσ' ἄλλων κόπον.
Ἀναστῆναι οὖν μὴ δυνάμενοι εἶπον·
[ἔτυπτον, ἐσπάραττον, ἔθλιβον πέρνα]
« Ἄθλιοί ἐσμεν, δι' ἄλλους ἐμοχθοῦμεν. »

Ὁ λόγος δηλοῖ ὅτι δικαίως ἐκεῖνοι ἄχθονται οἳ τῶν ἰδίων καμάτων τοὺς τυχόντας δρῶσιν τὰς ἐπικαρπίας ἐπιφερομένους. — Ὅμοιον δ' ἔστι τοῦτο τῷ λόγῳ ἐκείνῳ· ἄλλοι σκάπτουν καὶ κλαδεύουν καὶ ἄλλοι τραγούδουν καὶ πίνουν.

5 ἡμυθνῆς pro ἡμιθανεῖς cod. || ὅλως nos τὸ ὅλον cod. || 7 κακο! σε pro κἀκεῖσε cod. || 10 προσάγουσα τὸν ἄλλον κόπον cod. τὸν deleui et ἄλλων scripsi || 11 εἶπον nos οὗτοι cod. || 12 inclusi; fortasse transferendus est post secundum uersum || 13 Ἄθλιοι, λέγοντες, ἐσμὲν cod. deleui λέγοντες || 15 ἐπικαρπωσίας cod. || Secundum epim. barbarice scriptum est; lege: σκάπτουσι καὶ κλαδεύουσι καὶ ἄλλοι τρυγῶσι καὶ πίνουσι.

202

Λέων καὶ βάτραχος.

Λέων ἀκούσας βατράχου κεκραγότος ἐπεστράφη πρὸς τὴν φωνήν, οἰόμενος μέγα τι ζῷον εἶναι. Προσμείνας δὲ μικρὸν χρόνον, ὡς ἐθεάσατο αὐτὸν ἀπὸ τῆς λίμνης ἐξελθόντα, προσελθὼν κατεπάτησεν εἰπών· « Εἶτα τηλικοῦτος ὢν τηλικαῦτα βοᾷς; »

Codd. Pa 136 Pb 139, Pc 78 Pf 75 Pg 93 Ph 71 Ma 95 Me 98 Mf 82 Mj 92.

1 ἐστράφη Pg || 2 τὰς φωνὰς Pa τὴν λίμνην Pc || μέγαν Pf || τι ζῷον om. Ph || τι om. Pf Me Mf || εἶναι om. Pa || δὲ om. Ma || δὲ αὐτῷ Pa || δὲ αὐτὸν χρόνον Pf Me Mf Mj δὲ ἐπὶ πλεῖστον Ph || 3 χρόνον om. Pc || αὐτὸν om. Pa Pf Me Mf αὐτὸν post ἐξελθόντα Pc || 4 κατεπάτησεν αὐτὸν Pf Pg Ph Me Mf Mj || εἰπών· Μηδένα ἀκοὴ (ἄκων Pb ἡ ἀκοὴ Pf Ph Me Mf Mj) ταραττέτω πρὸ τῆς θεᾶς (ταρασσέτω πρὸ τῆς πείρας Pg Ma Me) Pb Pf Pg Ph Ma Me Mf Mj.

Digitized by Google

Πρὸς ἄνδρα γλωσσαλγίαν οὐδὲν πλέον τοῦ λαλεῖν δυνάμενον ὁ λόγος εὔκαιρος.

7 ἀνδρός Pa || γλωσσαλγίας Pc γλωσσώδη Pb Pg || τοῦ λαλεῖν om. Pc || Ὁ λόγος εὔκαιρος in initio Pb Ὁ λόγος in initio, εὔκαιρος omisso Pg || 7-8 Πρὸς ἄνδρα γλώσσαλγον πολλὰ παρὰ τὸ δέον (δέ Ph) λαλοῦντα ὁ λόγος εὔκαιρος Pf Ph Mj Πρὸς ἄνδρας γλωσσάλγους πολλὰ παρὰ τὸ δέον λαλοῦντας ὁ λόγος εὔκαιρος Me Mf Μῦθος ἐλέγχει τοὺς γλωσσώδεις ἄνδρας οἵτινες οὐδὲν ἔχουσιν ἢ τὸ λαλεῖν Ma.

Aliter.

Λέων ἀκούσας βατράχου μέγα κεκραγότος, ἐστράφη πρὸς τὴν φωνήν, οἰόμενος μέγα τι ζῷον εἶναι. Προσμείνας δὲ [αὐτὸν] μικρὸν χρόνον, ὡς ἐθεάσατο τοῦτον ἐκ τῆς λίμνης ἐξελθόντα, προσελθὼν κατεπάτησεν αὐτόν, εἰπών· « Μηδένα ἀκοὴ ταραττέτω πρὸ τῆς θέας [ἤγουν μηδεὶς πρὸ τοῦ ἰδεῖν ταραττέσθω ὑπό τινος]. »

Ὁ μῦθος οὗτος πρὸς ἄνδρα γλωσσώδη, μηδὲν πλέον τοῦ λαλεῖν δυνάμενον.

Codd. Ca 90 Cb 62 Ce 69 Cf 73 Ch 73 Mc 62 Md 72 Mh 67.

1 βάτραχον .. κεκραγότα Cb Mc || μέγα om. Md Mh || λαλοῦντος Ce Cf || ἐστράφη οἰόμενος πρὸς τὴν φωνήν Ce || 2 καὶ λογιζόμενος pro οἰόμενος Cb Mc || εἶναι ζῷον Ce Ch || Προμείνας Md || 3 αὐτὸν inclusi om. Cb Ch Mc || χρόνον om. Cb Ch Mc Md Mh || αὐτὸν pro τοῦτον Cb Mc || ἀπὸ τῆς Mc || 4 ἀπελθόντα Ca || ἐξελθόντα τῆς λίμνης Md Mh || προσελθὼν om. Cb Mc || εἰπών· Μηδεὶς πρὸ τοῦ ἰδεῖν ταρασσέσθω (ταρασσέτω (-ττέτω Ch) Cb Ch) ὑπό τινος Cb Ch Mc Md Mh || Ca solus leonis sententiam duobus modis enuntiat ; hanc sententiam pro epimythio habent Ce Cf : Ὁ μῦθος δηλοῖ μηδεὶς πρὸ τοῦ ἰδεῖν ταραττέσθω (-ττέτο Ce) ὑπό τινος Ce Cf || 7-8 Ὁ μῦθος δηλοῖ πρὸς (Ὁ μῦθος πρὸς Ch Πρὸς Cb) ἄνδρας γλωσσώδεις οἵτινες μηδὲν πλέον (πλεῖον Ch) τοῦ λαλεῖν δύνανται (δυνάμενοι Mc -μενος Cb) Cb Ch Mc || Ὁ μῦθος δηλοῖ καὶ ἐλέγχει (Μῦθος ἐλέγχει Md) τοὺς γλωσσώδεις ἄνδρας οἵτινες οὐδὲν πλέον ἔχουσιν ἢ τὸ λαλεῖν Md Mh.

Aliter.

Λέων ἀκούσας ποτὲ βατράχου μέγα βοῶντος, ἐπεστράφη πρὸς τὴν φωνήν, οἰόμενος μέγα τι ζῷον εἶναι. Προσμείνας δὲ μικρόν, ὡς εἶδεν αὐτὸν προελθόντα τῆς λίμνης, προσελθὼν αὐτὸν κατέπατησεν.

Codd. La 37 Lb 74 Lc 18 Le 74 Lf 37 Lg 18 Lh 31 Mg 99 Ml 95.

1 ἀπεστράφη Lc Lg || 4 αὐτὸν ante κατεπάτησεν om. Lg.

Digitized by Google

Ὁ λόγος δηλοῖ ὅτι οὐ δεῖ πρὸ τῆς ὄψεως δι' ἀκοῆς μόνης ταράττεσθαι.

5 Ὁ μῦθος Lb Lf Lg Mg Μῦθος Ml || δηλοῖ om Lb || ὅτι μὴ δεῖν Lf μὴ δεῖν Lb Le Mg Ml ὅτι μὴ δεῖ Lc || ὑπ' ἀκοῆς (ἀρχοῆς Lc) Lb Lc Lg Lh Ml.

Aliter.

Βατράχου μέγα κεκραγότος, ἐστράφη πρὸς τὴν φωνὴν ὁ λέων, οἰόμενος μέγα τι ζῷον εἶναι. Προσμείνας δὲ μικρόν, ὡς ἐθεάσατο τοῦτον ἐκ τῆς λίμνης ἐξιόντα, προσελθὼν κατεπάτησεν αὐτὸν εἰπών· « Μηδεὶς πρὸ τοῦ ἰδεῖν ταραττέσθω. »

Ὁ μῦθος οὗτος πρὸς ἄνδρας γλωσσώδεις οἵτινες οὐδὲν πλέον τοῦ λαλεῖν δύνανται.

Cod. Mm 40.

Aliter.

Λέων βάτραχον ἀκούσας κεκραγότα,
τὸν δοῦπον ὡς ἤκουσεν μέγαν, ἐστράφη,
μέγα γὰρ οἰόμενος εἶναι τὸ ζῷον.
Ὡς γοῦν ἐθεάσατο μικρόν γε τοῦτο
ἔξω που ἱστάμενον μακρὰν τῆς λίμνης,
τὸν βάτραχον ἔφθειρεν εἰπὼν καὶ λόγον·
« Τὸν ἐχέφρονα μηδεὶς ταράττῃ λόγος,
ἀλλ' ἀνδρεία, φρόνησις, βουλὴ καλλίστη
στερρώτερον αὐτοῦ νοῦν ἀπεργαζέσθων. »

Ὁ λόγος πρὸς ἄνδρας γλωσσώδεις, μηδὲν δὲ πλέον τοῦ λαλεῖν δυναμένους· οὗτοι γλῶσσαν μὲν οὖν ἔχουσι, ἰσχὺν δ' οὐδ' ὅλως.

Cod. Cd 73.

2 μέγαν, ἐστράφη nos ἐστράφη, μέγα cod. || 5 μακρὰ cod. || 7 ταράττει cod. || 9 τὸν νοῦν ἀπεργαζέσθωσαν cod. correxi.

203

Λέων καὶ δελφίς.

Λέων ἐπί τινι αἰγιαλῷ πλαζόμενος, ὡς ἐθεάσατο δελφῖνα

Codd. Pa 140 Pb 143 Pf 77 Ph 72 Me 100 Mf 84 Mj 94.

1 ἔν τινι Pb Pf M || πελαζόμενος Pb Ph M.

Digitized by Google

παρακύψαντα, [ὡς] ἐπὶ συμμαχίαν τοῦτον παρεκάλεσε λέγων ὅτι ἁρμόττει μάλιστα φίλους αὐτοὺς καὶ βοηθοὺς γενέσθαι· ὁ μὲν γὰρ τῶν θαλαττίων ζῴων, αὐτὸς δὲ τῶν χερσαίων βασιλεύει. Τοῦ δὲ ἀσμένως ἐπινεύσαντος, ὁ λέων ἐπὶ πολὺν χρόνον μάχην ἔχων πρὸς ταῦρον ἄγριον ἐπεκαλεῖτο τὸν δελφῖνα ἐπὶ βοήθειαν. Ὡς δὲ ἐκεῖνος καίπερ βουλόμενος ἐκβῆναι τῆς θαλάσσης οὐκ ἠδύνατο, ᾐτιᾶτο αὐτὸν ὁ λέων ὡς προδότην. Ὁ δὲ ὑποτυχὼν εἶπεν· « Ἀλλὰ μὴ ἐμὲ μέμφου, ἀλλὰ τὴν φύσιν, ἥτις με θαλάττιον ποιήσασα γῆς οὐκ ἐᾷ ἐπιβαίνειν. »

Οὕτως καὶ ἡμᾶς δεῖ φιλίαν σπενδομένους τοιούτους ἐπιλέγεσθαι συμμάχους οἳ ἐν κινδύνοις παρεῖναι ἡμῖν δύνανται.

2 ὡς ante ἐπὶ συμ- **Pa** om. ceteri. || συμμαχίᾳ **Pb** || τοῦτον om. **Pb** || τοῦτον ἐπὶ συμμαχίαν **Pf Ph M** || ἐκάλει καὶ παρεκάλεσε **Pa** || **3** ἁρμόττει **Pa** -όζει **Pb**, om. ceteri || ἑαυτοὺς **Pb Pf** αὐτοὺς om. **Pf Ph M** || **4** θαλαττίων **Pa Pb** -σσίων ceteri || **5** εἰμὶ βασιλεύς **Pb** || μετ' οὐ πολὺν χρόνον τινὰ μάχην **Pb** οὐ μετὰ πολὺν χρόνον μάχην **Pf Ph M** || **6** προσεκάλει τ- δ- εἰς **Pb** || **7** καίπερ om. **Pb** || **8** ἐκ τῆς θ- **Ph M** || καὶ ᾐτιᾶτο **Pa** || **9** ὁ λέων **Pb Pf** om. ceteri || Ὁ δὲ ὑ- εἶπεν om. **Pa** || **10** ἀλλ' αὐτὴν φύσιν **Mj** τὴν φύσιν δὲ **Pb** || θαλάττιον **Pa Ph** -σσιον ceteri || **11** γῆς **Pb** om. ceteri || ἐπιβαίνειν **nos**: ἐπιμένειν **Pa** ἐπιβῆναι **Pb** ἐκβαίνειν ceteri || **12** Ἀτὰρ οὖν καὶ **Pb** Δεῖ (Ἀεὶ **Pf**) ἡμᾶς **Pf Ph M** || **13** οἵτινες **Pf Ph M** || τοῖς κινδύνοις **Pb** || παρ' ἡμῖν pro παρεῖναι ἡμῖν **Pa** πανταχοῦ παρεῖναι **Pb**.

204

Λέων καὶ κάπρος.

Θέρους ἐν ὥρᾳ, ὅτε τὸ καῦμα δίψαν ἐμποιεῖ, εἰς μικρὰν πηγὴν λέων καὶ κάπρος ἦλθον πιεῖν. Ἤριζον δὲ τίς πρῶτος αὐτῶν πίῃ· ἐκ τούτου δὲ πρὸς φόνον ἀλλήλων διηγέρθησαν. Ἄφνω δὲ ἐπιστραφέντες πρὸς τὸ ἀναπνεῦσαι, εἶδον γῦπας ἐκδεχομένους ὃς ἂν αὐτῶν πέσῃ, τοῦτον καταφαγεῖν. Διὰ

Codd. **Ba** 49 **Bb** 31.

3 δὲ post ἐκ τούτου om. **Bb**.

Digitized by Google

τοῦτο λύσαντες τὴν ἔχθραν εἶπον· « Κρεῖσσόν ἐστιν ἡμᾶς φίλους γενέσθαι ἢ βρῶμα γυψὶ καὶ κόραξιν. »

Ὅτι τὰς πονηρὰς ἔριδας καὶ τὰς φιλονεικίας καλόν ἐστι διαλύειν, ἐπειδὴ πᾶσιν ἐπικίνδυνον τέλος ἄγουσιν.

8 φιλονικίας Ba.

205

Λέων καὶ λαγωός.

Λέων περιτυχὼν λαγωῷ κοιμωμένῳ, τοῦτον ἔμελλε καταφαγεῖν· μεταξὺ δὲ θεασάμενος ἔλαφον παριοῦσαν, ἀφεὶς τὸν λαγωόν, ἐκείνην ἐδίωκεν. Ὁ μὲν οὖν παρὰ τὸν ψόφον ἐξαναστὰς ἔφυγεν. Ὁ δὲ λέων ἐπὶ πολὺ διώξας τὴν ἔλαφον, ἐπειδὴ καταλαβεῖν οὐκ ἠδυνήθη, ἐπανῆλθεν ἐπὶ τὸν λαγωόν· εὑρὼν δὲ καὶ αὐτὸν πεφευγότα ἔφη· « Ἀλλ' ἐγὼ δίκαια πέπονθα, ὅτι ἀφεὶς τὴν ἐν χερσὶ βοράν, ἐλπίδα μείζονα προέκρινα. »

Οὕτως ἔνιοι τῶν ἀνθρώπων μετρίοις κέρδεσι μὴ ἀρκούμενοι, μείζονας δὲ ἐλπίδας διώκοντες λανθάνουσι καὶ τὰ ἐν χερσὶ προϊέμενοι.

Codd. Pa 143 Pb 146 Pc 81 Pd 34 Pf 78 Pg 97 Mb 95 Me 101 Mf 85 Mj 95 Ca 97.

1 ἐπιτυχὼν Pb Pd || 3 παρὰ τὸν ψόφον (τῶν ψόφων Pc) Pa Pc ἀπὸ τῶν ψόφων ceteri || 4 ἔφευγεν Pb || 5 ἐδυνήθη Pf M Ca || ἐπανῆλθε πάλιν Pg Mb Ca || 6 καὶ εὑρὼν αὐτὸν Pd || κἀκεῖνον Pf Me Mf Mj || 7 ἐγὼ Pa Pg ἔγωγε ceteri || ὅτι om. Pa ὅτι περ Pf M Ca || ἀφεὶς γὰρ omisso ὅτι Pc || ἐπ' ἐλπίδα μείζονα ἔδραμον Pc ἀδήλοις ἐλπίσιν ἐδίωκον Pg Mb Ca || μείζονα ἐλπίδα Pf M || 8 προὔκρινα Pb || 9 Ὁ μῦθος δηλοῖ ὅτι Mj || μετρίτοις Pa μικροῖς Pg Mb Ca || μὴ μετρίοις κέρδεσιν ἐπαρκούμενοι Pb Pd || 10 μείζονας ... διώκοντες om. Pb Pd Pg Mb Ca || 9-11 Οὕτως πολλοὶ τῶν ἀνθρώπων δι' ἐλπίδα μείζονα τὰ ἐν ταῖς χερσὶν ἐλάχιστα κέρδη ἀθετοῦντες εὑρίσκονται καὶ τούτων ὑστερούμενοι Pf M.

Digitized by Google

206

Λέων καὶ λύκος καὶ ἀλώπηξ.

Λέων γηράσας ἐνόσει κατακεκλιμένος ἐν ἄντρῳ. Παρῆσαν δ' ἐπισκεψόμενα τὸν βασιλέα, πλὴν ἀλώπεκος, τἄλλα τῶν ζῴων. Ὁ τοίνυν λύκος λαβόμενος εὐκαιρίας κατηγόρει παρὰ τῷ λέοντι τῆς ἀλώπεκος, ἅτε δὴ παρ' οὐδὲν τιθεμένης τὸν πάντων αὐτῶν κρατοῦντα, καὶ διὰ ταῦτα μηδ' εἰς ἐπίσκεψιν ἀφιγμένης. Ἐν τοσούτῳ δὲ παρῆν καὶ ἡ ἀλώπηξ, καὶ τῶν τελευταίων ἠκροάσατο τοῦ λύκου ῥημάτων. Ὁ μὲν οὖν λέων κατ' αὐτῆς ἐβρυχᾶτο. Ἡ δ' ἀπολογίας καιρὸν αἰτήσασα· « Καὶ τίς σε, ἔφη, τῶν συνελθόντων τοσοῦτον ὠφέλησεν ὅσον ἐγώ, πανταχόσε περινοστήσασα, καὶ θεραπείαν ὑπὲρ σοῦ παρ' ἰατρῶν ζητήσασα καὶ μαθοῦσα ; » Τοῦ δὲ λέοντος εὐθὺς τὴν θεραπείαν εἰπεῖν κελεύσαντος, ἐκείνη φησίν· « Εἰ λύκον ζῶντα ἐκδείρας τὴν αὐτοῦ δορὰν θερμὴν ἀμφιέσῃ. » Καὶ τοῦ λύκου αὐτίκα νεκροῦ κειμένου, ἡ ἀλώπηξ γελῶσα εἶπεν οὕτως· « Οὐ χρὴ τὸν δεσπότην πρὸς δυσμένειαν παρακινεῖν, ἀλλὰ πρὸς εὐμένειαν. »

Ὁ μῦθος δηλοῖ ὅτι ὁ καθ' ἑτέρου μηχανώμενος καθ' ἑαυτοῦ τὴν μηχανὴν περιτρέπει.

Codd. La 73 Lb 77 Lf 73 Lh 34 Md 127 Me 109 Mf 91 Mg 103 Mi 101 Mm 95.

1 εἰς ἄντρον Mm || **3** λαβόμενος ἀδείας Md Mi Mm || **4** θεμένης Md Mi Mm || **6** Ἐν τούτῳ Md || ἡ ante ἀλώπηξ om. Lb Lf M excepto Mm || **7** τῶν λύκου Lb Lh Mg || **9** σε om. La Lf Lh Md Me Mf Mi Mm || **11** εἰπεῖν pro ὑπὲρ Me || ἰατροῦ La Lb Lh Mg || **14** ἀμφιέσῃ, τὰ τῆς θεραπείας τεύξῃ Mm || **15** νεκροῦ γενομένου Mm || εἶπεν· Οὕτως libri || **16** κινεῖν Mg || **18** Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Md Mi || καθ' ἑκάστην pro καθ' ἑτέρου La Lf Mg καθ' ἕτερόν τι Mm || **19** πάγην pro μηχανὴν La Lb Lf Mg || τρέπει Lh.

Digitized by Google

207

Λέων καὶ μῦς ⟨ἀντευεργέτης⟩.

Λέοντος κοιμωμένου μῦς τῷ σώματι ἐπέδραμεν. Ὁ δὲ ἐξαναστὰς καὶ συλλαβὼν αὐτὸν οἷός τε ἦν καταθοινήσασθαι. Τοῦ δὲ δεηθέντος μεθεῖναι αὐτὸν καὶ λέγοντος ὅτι σωθεὶς χάριτας αὐτῷ ἀποδώσει, γελάσας ἀπέλυσεν αὐτόν. Συνέβη δὲ αὐτὸν μετ' οὐ πολὺ τῇ τοῦ μυὸς χάριτι περισωθῆναι· ἐπειδὴ γὰρ συλληφθεὶς ὑπό τινων κυνηγετῶν κάλῳ ἐδέθη τινὶ δένδρῳ, τὸ τηνικαῦτα ἀκούσας ὁ μῦς αὐτοῦ στένοντος ἐλθὼν τὸν κάλων περιέτρωγε καὶ λύσας αὐτὸν ἔφη· « Σὺ μὲν οὕτω μου τότε κατεγέλασας ὡς μὴ προσδεχόμενος παρ' ἐμοῦ ἀμοιβὴν κομιεῖσθαι· νῦν δὲ εὖ ἴσθι ὅτι ἐστὶ καὶ παρὰ μυσὶ χάρις. »

Ὁ λόγος δηλοῖ ὅτι καιρῶν μεταβολαῖς οἱ σφόδρα δυνατοὶ τῶν ἀσθενεστέρων ἐνδεεῖς γίνονται.

Codd. Pa 145 Pb 148 Pc 83 Ma 101 Mb 97 Ca 98.

1 στόματι Mb Ca || παρέδραμεν Pc αὐτοῦ περιέδραμεν Ca || **2** συνελάβετο αὐτόν Mb || οἷός τε ἦν καταθοινήσασθαι om. Pb Ma Mb ἔμελλε καταθοινήσασθαι Ca || **3** Ἐδεήθη (εὐεήθη Ma) αὐτοῦ μὴ φαγεῖν (θῦναι Ma) αὐτὸν λέγων ὅτι σωθεὶς πολλὰς χάριτας Pb Ma || Ἐδεήθη οὖν αὐτοῦ μὴ θοινήσασθαι αὐτὸν λέγων ὅτι σωθεὶς πολλὰς χάριτας ... ἀποδώσειν Mb || **4** σοι ἀποδώσω Ca || γελάσας δὲ Pe Ma ὁ δὲ γελάσας Mb μειδιάσας Ca || αὐτὸν ἀπέλυσε Pb || Συνέβη οὖν Pb Ca || **6** κυνηγετῶν Pa κυνηγῶν ceteri || καμήλῳ ἐδέθη ἐπί τινι δένδρον Ma || ἐπί τινι δένδρῳ Pb ἐπί τι δένδρον Mb || ἐπεδέθη ἔν τινι δένδρῳ Ca || **7** τῷ pro τὸ Pa om. Pb Mb || ὁ μῦς ἀκούσας Pb Mb || καὶ ὁ μῦς αὐτοῦ ἀκούσας στένοντος Ma || σθένοντος Ca || **8** τὸν κάμηλον Ma || περιέφαγε Pa Mb || αὐτὸν om. Pb Mb || σὺ δὲ Ma || σὺ μὲν οὖν τότε μου κατεγέλας Ca || **9** τότε om. Pb Mb || ὡς om. Pb Mb || προσδοκῶν Pb Ma Mb || προσδεξόμενος ἀπ' ἐμοῦ ἀμοιβήν, omisso κομιεῖσθαι Ca || ἀμοιβὴν παρ' ἐμοῦ κομίσασθαι Ma || **10** κομίσασθαι Pb Pc Mb || εὖ om. Pb || τις pro ἐστὶ Pa || παρ' ἐμοὶ Mb || παρ' ἡμῖν ἡ χάρις Ca || **12** Epim. om. Pb || Ὁ μῦθος δηλοῖ ὅτι ἐν καιρῷ μεταβολῆς Ca || ἐν ταῖς τῶν καιρῶν μεταβολαῖς Mb || καὶ οἱ Pc Mb Ca || **12-13** Οὕτω πολλάκις καί τις δυνάτοις χάριν βοηθείας ὀρέγουσα (lege τοῖς δυνατοῖς χάρις βοήθειαν ὀρέγει) Ma.

Digitized by Google

Aliter.

Λέων ἀγρεύσας μῦν ἔμελλε φαγεῖν. Ὁ δὲ ἱκέτευεν ἀφεθῆναι λέγων· « Ἔλαφον ἢ ἕτερον ζῷον δεῖ φαγεῖν σε καὶ χορτασθῆναι· ἐγὼ γὰρ οὐδὲ τὸ χεῖλός σου ἀλείψω αἵματι, ἀλλὰ φεῖσαί μου καὶ χάριν σοι ἐν καιρῷ ποτε ἀποδώσω. » Γελάσας δὲ ὁ λέων εἴασε τοῦτον ζῆν καὶ ἀφῆκεν αὐτόν. Χρόνῳ δέ τινι < παγίδι > ἐμπεσὼν ἠγρεύθη ὁ λέων καὶ δεθεὶς ἀπέγνω τῆς ἑαυτοῦ σωτηρίας. Ὁ μῦς δὲ ἐπιστὰς ἔφη· « Δύναμαι τὴν ἀντιχάριτά σοι ἀποδοῦναι καὶ σῶσαί σε, » καὶ τὰ δεσμὰ περιφαγὼν ἔλυσε τὸν λέοντα, ἐπάξιον δοὺς μισθόν.

Ὅτι οἱ εὐνοοῦντες ἄνθρωποι, κἂν πένητες ὦσι, δύνανται ἐν καιρῷ καὶ δυνάστην ὠφελεῖν.

Codd. Ba 77 Bb 48.

2 σε φαγεῖν Bb || **3** ἐγὼ δὲ Bb || σου om. Bb || αἵματι Sternbach αἵματος codd. || **5** ὁ λέων ἔφη· Ἐῶ σε τοῦ ζῆν Bb || καὶ ἀφῆκεν αὐτόν om. Ba || **6** παγίδι addidi || **8** ἀντιχάριταν, omisso τὴν Bb || **12** ἐν κακῷ Bb || δυνάστας Bb.

208

Λέων καὶ ὄναγρος.

Θῆρας ἐθήρευον λέων καὶ ὄναγρος, ὁ μὲν λέων διὰ τῆς δυνάμεως, ὁ δὲ ὄναγρος διὰ τῆς ἐν ποσὶ ταχύτητος. Ἐπεὶ δὲ ζῷά τινα ἐθήρευσαν, ὁ λέων μερίζει καὶ τίθησι τρεῖς μοίρας, καί· « Τὴν μὲν μίαν, εἶπεν, λήψομαι ὡς πρῶτος· βασιλεὺς γάρ εἰμι· τὴν δὲ δευτέραν, ὡς ἐξ ἴσου κοινωνός· ἡ δὲ τρίτη μοῖρα αὕτη κακὸν μέγα σοι ποιήσει, εἰ μὴ θελήσεις φυγεῖν. »

Ὅτι καλὸν ἑαυτὸν μετρεῖν ἐν πᾶσι κατὰ τὴν ἑαυτοῦ ἰσχὺν καὶ δυνατωτέροις ἑαυτοῦ μὴ συνάπτειν μηδὲ κοινωνεῖν.

Codd. Ba 52 Bb 32.

2 διὰ τοῖς ἐν (ἐν om. Bb) ποσὶ Ba Bb || **3** τὸ ζῶά τινα Bb || τὰς pro τρεῖς Bb || **4** καί om. Bb || **6** κακὴν μέγα Bb || **7** ἐθέλῃς Bb || **9** δυνατωτέρως Ba.

Digitized by Google

Aliter.

Λέων δέ ποτε σὺν ὀνάγρῳ θηρεύει
ὁμοθυμαδὸν ἐπάνω τῶν ὀρέων.
Ἐπεὶ δὲ ζῷα ἐκράτησαν, ὁ λέων
μερίζει καὶ τίθησι τρεῖς μοίρας λέγων·
« Ἐγὼ τὴν πρώτην αἱρῶ ὡς βασιλεύων·
τὴν δευτέραν δὲ ὡς κοινωνὸς ὀνάγρου·
εἰ δὲ τὴν τρίτην λάβῃς, σὺν πόνῳ λήψῃ·
ἢ δ' οὖν φυγὲ σύ, μὴ μόρον εὕρῃς τάχα. »

Ὅτι καλόν ἐστι μετρεῖν ⟨ἑαυτὸν⟩ ἐν ἅπασι κατὰ τὴν ἰδίαν ἰσχύν, τοῖς δὲ δυνατοῖς μὴ συνάπτειν.

Cod. Mb 100.

2 ὀρνέων cod. || **3** ὁ λέων nos οἱ Διὸ λέων cod. || **4** τὰς pro τρεῖς cod. || **5** πρώτην αἱρῶ ὡς βασιλεύων nos πρώτην μοῖραν ὡς ἂν ἐξέλθω cod. || **7** καὶ τὴν τρίτην μοῖραν δὲ σὺν πόνῳ λάβῃς cod. correxi || **9** ἑαυτόν addidi.

209

Λέων καὶ ὄνος ⟨ὁμοῦ θηρεύοντες⟩.

Λέων καὶ ὄνος κοινωνίαν πρὸς ἀλλήλους ποιησάμενοι ἐξῆλθον ἐπὶ θήραν. Γενομένων δὲ αὐτῶν κατά τι σπήλαιον ἐν ᾧ ἦσαν αἶγες ἄγριαι, ὁ μὲν λέων πρὸ τοῦ στομίου στὰς ἐξιούσας παρετηρεῖτο, ὁ δὲ εἰσελθὼν ἐνήλατό τε αὐταῖς καὶ ὠγκᾶτο ἐκφοβεῖν βουλόμενος. Τοῦ δὲ λέοντος τὰς πλείστας συλλαβόντος, ἐξελθὼν ἐπυνθάνετο αὐτοῦ εἰ

Codd. Pa 146 Pb 149 Pc 84 Pf 81 Ph 73 Mb 99 Me 104 Mf 88 Mj 98 Ca 99.

1 πρὸς ἀλλήλους κοινωνίαν Pc || σπεισάμενοι Pb || θέμενοι, omisso πρὸς ἀλλήλους, Pf Ph Me Mf Mj || **2** τὴν θήραν Me Mf || **3** ἐν ᾧ .... λέων om. Pa || ἦσαν om. Pf Ph Me Mf Mj || ἄγριαι αἶγες Pb || παρὰ τὸ στόμιον Mb || στὰς πρὸ τοῦ στομίου Ca || στόματος Pc || στὰς om. Me Mf || **4** ἐξιούσας τὰς αἶγας συνελάμβανεν Pf Ph Mj τὰς ἐξιούσας τῶν αἰγῶν συνελάμβανεν Me Mf || ὁ δὲ ὄνος ἔνδον εἰσελθὼν ἐνήλατο (-ήλλατο Ph Mf) αὐταῖς Pf Ph Me Mf Mj || ἐνήλλατο Pc ἐνήλλαττεν Mb || ἐνήλαττεν αὐτὰς Ca ἤλαυνεν αὐτάς Pb || **5** τὰς ante πλείστας om. Ca || **6** συλλαμβάνοντος Pa Pc || ἐξελθὼν Pa Pc ἐξελθὼν ἐκεῖνος ceteri || συλλαβόντος καὶ ἐξελθόντος αὐτοῦ (τοῦ ὄνου pro αὐτοῦ Ca) ἐπυνθάνετο αὐτοῦ Mb Ca || αὐτῷ Pc.

Digitized by Google

γενναίως ἠγωνίσατο καὶ τὰς αἶγας ἐξεδίωξεν. Ὁ δὲ εἶπεν· « Ἀλλ' εὖ ἴσθι ὅτι κἀγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ᾔδειν σε ὄνον ὄντα. »

Οὕτως οἱ παρὰ τοῖς εἰδόσιν ἀλαζονευόμενοι εἰκότως γέλωτα ὀφλισκάνουσιν.

7 ἐξεδίωξεν Pf Me Mf -ωκεν Pa Ph ἐδίωξεν Pb Mb Mj ἐδίωκεν Pc || καὶ εἰ τὰς αἶγας καλῶς ἐδίωξε Ca || Καὶ ὁ λέων φησίν Ca || **8** Ἀλλ' om. Ca || Ἀλλὰ σὺ ἴσθι Pb Ἀλλὰ σύ, φησίν, εὖ ἴσθι Mb || ἂν om. Mb Ca || σε om. Pa Pc || **9** ὄνον ὄντα σε Pb ὄνον εἶναι Pc || **10** Ὁ μῦθος δηλοῖ ὅτι Mj || εἰκότως om. Pb.

210

Λέων καὶ ὄνος καὶ ἀλώπηξ.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ κοινωνίαν εἰς ἀλλήλους σπεισάμενοι ἐξῆλθον εἰς ἄγραν. Πολλὴν δὲ αὐτῶν συλλαβόντων, ὁ λέων προσέταξε τῷ ὄνῳ διελεῖν αὐτοῖς. Τοῦ δὲ τρεῖς μοίρας ἐξ ἴσου ποιήσαντος, καὶ ἐκλέξασθαι αὐτῷ παραινοῦντος, ὁ λέων ἀγανακτήσας ἀλλόμενος κατεθοινήσατο καὶ τῇ ἀλώπεκι μερίσαι προσέταξεν. Ἡ δὲ πάντα εἰς μίαν μερίδα συναθροίσασα καὶ μικρὰ ἑαυτῇ ὑπολιπο-

Codd. Pa 144 Pb 147 Pc 82 Pf 80 Pg 98 Ma 100 Mb 96 Me 103 Mj 97.

1 καὶ ἀλώπηξ καὶ ὄνος Pf Mj || κοινωνίας Ma || κοινωνίαν ποιησάμενοι sed supra scriptum est σπεισάμενοι et in margine πρὸς ἀλλήλους Me || πρὸς ἀλλήλους Pf Me Mj || πρὸς ἀλλήλους ποιησάμενοι Pb || **2** σπεισάμενοι Pf Mj στειλάμενοι Pa Pc Ma || στειλάμενοι πρὸς ἀλλήλους Pg Mb || ἀγοράν Pa || Πολλῶν δὲ Pb || τε Pf Mj || Λαβόντες δὲ αὐτήν, ὁ λέων Ma || Πολλῆς οὖν θήρας συλληφθείσης Me || **3** διέταξε Pf Mj || προσέταξεν ὁ λέων Me || **4** ἐξ ἴσου Pf Mj om. ceteri || **5** παραινοῦντος αὐτόν Pg Mb || ἀγανακτήσας κατὰ τοῦ ὄνου Pc || ἀγανακτήσας ὁ λέων τοῦτον κατεθοινήσατο Pf Me Mj || κατεθοίνησε Pa κατεθοινήσατο αὐτόν Pc Pg κατεθοινήσατο τὸν ὄνον Mb || **7** εἰς μίαν μοῖραν ποιήσασα Pc || τὰ μικρὰ pro καὶ μ- Pa μικρὰν Pf Me Mj || ὑπολιπομένη Pc ὑπολει- Pa Pf Me Mj ἀπολιπομένη Pb Ma ἀπολει- Pg || ἀπολειμένη περιήει αὐτὰ ἑλέσθαι Mb.

Digitized by Google

μένῃ παρῄνει αὐτῷ ἑλέσθαι. Ἐρομένου δὲ αὐτὴν τοῦ λέοντος τίς αὐτὴν οὕτω διανέμειν ἐδίδαξεν, ἡ ἀλώπηξ εἶπεν· « Ἡ τοῦ ὄνου συμφορά. »

Ὁ λόγος δηλοῖ ὅτι σωφρονισμὸς γίνεται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

8 παρῄνεσεν Pf Me Mj || αὐτὸν Pc αὐτῶν Mj || Τοῦ δὲ λέοντος ἐρωτήσαντος τίς Pf Me Mj || Ἐρομένου δὲ αὐτοῦ καὶ τίς αὐτὴν οὕτω συμφοραί una linea omissa Ma || Τοῦ δὲ εἰπόντος (αὐτῇ addit Mb) καὶ τίς Pg Mb || **9** καὶ τίς Pa Pb τίς ceteri || αὐτὴν om. Mb || οὕτω om. Pb || εἶπεν ἡ ἀλώπηξ Pf Me Mj || **10** ἔφη omisso ἡ ἀλώπηξ Pg Mb || Αἱ τοῦ ὄνου (οἴνου Pa) συμφοραί (-ρὰς Pa[1]) Pa Pb Pg Mb || **11** Ὅτι σωφρονισμοὶ γίνονται Mc || τῶν ἀνθρώπων γίνεται Pc || γίνεται om. Pa || τοῖς ἀνθρώποις om. Pf Mj || ἀνθρώποις γίγνονται Mb || Ὁ λόγος διδάσκει ὅτι σωφρονισμοὶ τοῖς ἀνθρώποις γίνονται .... Pg.

Aliter.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ κοινωνίαν πρὸς ἀλλήλους ποιησάμενοι ἐξῆλθον πρὸς ἄγραν. Πολλὴν οὖν θήραν συλλαβόντες ἦλθον εἰς τὸ φαγεῖν. Προσέταξε γοῦν τῷ ὄνῳ ὁ λέων διελεῖν αὐτήν. Τοῦ δὲ τρεῖς μοίρας ἐξ ἴσου ποιήσαντος, καὶ ἐκλέξασθαι παραινοῦντος αὐτούς, ὁ λέων ἀγανακτήσας κατεθοινήσατο τὸν ὄνον· εἶτα προσέταξε τῇ ἀλώπεκι μοιράσαι. Ἡ δὲ ἅπαντα εἰς μίαν μερίδα συνῆξε, καταλιποῦσα μικρὰν καὶ οὐδαμινὴν μερίδα ἑαυτῇ. Ὁ δὲ

Codd. Ca 109 Cb 65 Ce 72 Cf 76 Cg 1 Ch 76 Mc 65 Md 75 Mh 70 Mm 90 Lc 49 Lg 49.

1 Λέων, ὄνος Mm || ποιησάμενοι πρὸς ἀλλήλους Mh Mm Lc || εἰς ἀλλήλους Cf || εἰς ἀλλήλους ἐποιήσαντο καὶ ἐξελθόντες εἰς ἄγραν καὶ πολλὴν συλλαβόντες Ce || **2** εἰς ἄγραν Cb Mc || **3** ἦλθον εἰς τὸ φαγεῖν Ca om. ceteri || Προσέταξε γοῦν Ca προσέταξε ceteri || Cg incipit: τες, προσέταξεν || τὸν ὄνον ὁ λέων διελεῖν αὐτοῦ Cb || ὁ λέων τῷ ὄνῳ Ce Cf Cg Ch || **4** ὁ λέων om. Mh || αὐτοῖς Ch αὐτὰ Mc αὐτὰ αὐτοῖς Cg αὐτὴν om. Ce || εἰς τρεῖς Cf || **5** ποιήσαντος, ἐκλέξασθαι παρῄνει αὐτοῖς (αὐτοὺς Lg). Ὁ δὲ λέων libri, excepto Ca || **6** κατεθοινήσατο αὐτόν Cb || κατέαξε Ce κατετιθηνήσατο Cg ἐθανάτωσε Md Mh Mm Lc Lg || τὸν ὄνον κατηγόρει Cf διεσπάραξεν αὐτόν Mc || **7** μοιράσαι αὐτά Mc || εἰς μίαν μερίδα ἅπαντα Cb Cg Ch Mc || συνῆξε μοῖραν Md Mh Lc Lg || μοῖραν συνῆξε Mm || Ἡ δὲ εἰς μίαν μερίδα τὰ (τὰ om. Cf) πάντα συνάξασα κατέλειπεν (-λιπεν Cf) ἑαυτῇ μίαν μερίδα μικράν. Ce Cf || **8** καταλείπουσα Cb || καταλιποῦσα μικρὰν om. Lg || καὶ ante οὐδαμινὴν om. Cb Mc || οὐδαμὴν Mm || μοῖραν correctum in μερίδαν Mh || Ὁ λέων Mc Ὅλως Cb.

Digitized by Google

λέων ἔφη· « Ὦ φίλη, τίς σε οὕτως διανέμειν ἐδίδαξεν ; » Ἡ δὲ ἀλώπηξ ἔφη· « Ἡ τοῦ ὄνου συμφορά. »

Ὁ μῦθος δηλοῖ ὅτι σωφρονισμοὶ τοῖς ἀνθρώποις γίνονται τὰ τῶν πέλας δυστυχήματα.

9 ἔφη om. Ce Cf || ὦ φίλη Ca ὦ αὕτη (οὗτος Md Mm Lc) ceteri || τίς γε Md || **10** Ἡ δὲ ἔφη Ce Cf Ἡ δὲ εἶπεν Md Mm Lc Lg || Ἡ τοῦ ὄνου συμφορά, ἔφη Mh || **11** Ὅτι Cb || οἱ σωφρονισμοὶ Mh σωφρονισμός Ce εἰς σωφρονισμὸν Md Mm Lc Lg || τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα γίνεται Md Mh Mm Lc Lg || τῶν ἀνθρώπων Ch Mc || τοῖς ἄλλοις ἀνθρώποις ἐκγένονται τὰ ... Cf γίνεται ἡ τοῦ πέλας συμφορά Ce.

Aliter.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ κοινωνίαν ποιησάμενοι ἐξῆλθον πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ διελεῖν αὐτοῖς. Ὁ δὲ τρεῖς μερίδας ποιησάμενος ἐκ τῶν ἴσων, ἐκλέξασθαι τούτους προὔτρέπετο. Καὶ ὁ λέων θυμωθεὶς τὸν ὄνον κατέφαγεν. Εἶτα τῇ ἀλώπεκι μερίζειν ἐκέλευσεν. Ἡ δ' εἰς μίαν μερίδα πάντα σωρεύσασα ἑαυτῇ βραχύ τι κατέλιπε. Καὶ ὁ λέων πρὸς αὐτήν· « Τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν ; » Ἡ δ' εἶπεν· « Ἡ τοῦ ὄνου συμφορά. »

Ὁ μῦθος δηλοῖ ὅτι σωφρονισμοὶ γίνονται τοῖς ἀνθρώποις τὰ τῶν πέλας δυστυχήματα.

Cod. La 38 Lb 75 Le 75 Lf 38 Lh 32 Me 103 bis in margine Mf 87 Mg 100 Ml 94.

1 σπεισάμενοι Me Mf || **2** Πολλήν τε αὐτῶν συλλαβόντων, ὁ λέων διέταξε Me Mf || **7** σωρεύσας Ml || βραχύ τι μέρος καταλιποῦσα Mf || **8** πρὸς αὐτὸν Me || Τίς σοι Ml || βέλτιστε Le Me Mf || **10** Ὅτι Mg || γίνονται om. Lb.

Aliter.

Λέων, ἀλώπηξ καὶ ὄνος, οἱ τρεῖς ἅμα,
ἐξῆλθον ὁμοῦ πρὸς θήραν τοῦ θηρεῦσαι.
Καὶ δὴ οὐ μικρὰν συλλαβόμενοι θήραν,
τὸν ὄνον προσέταξαν εἰς τρεῖς μερίσαι.
Ὁ δὲ μερίζων τρεῖς μερίδας ἐξ ἴσου,
ἀγανακτῶν ὁ λέων τὸν ὄνον τρώγει.
Ἀλώπεκα δεύτερον λέγει μοιράσαι.
Ἡ δὲ λαβοῦσα μίαν ποιεῖ μερίδα
τὸ πᾶν τῆς θήρας· βραχὺ δ' ἐτίθει μόνον
εἰς ἄλλο μέρος, ἄχρηστον δὲ καὶ τοῦτο.

Cod. Cd 76.

4 εἰ pro εἰς cod. || **10** μέρους cod.

Digitized by Google

Ὁ δὲ λέων ἔφησε πρὸς ταύτην οὕτως·
« Τίς σ' ἐδίδαξε μερίζειν οὕτως, φίλη ; »
« Ἡ συμφορὰ τοῦ ὄνου τοῦ μακαρίτου. »

Ὁ λόγος δηλοῖ ὅτι σωφρονισμοὶ τοῖς ἀνθρώποις τυγχάνουσι τὰ τῶν πέλας δυστυχήματα.

211

Λέων καὶ Προμηθεὺς καὶ ἐλέφας.

Λέων κατεμέμφετο Προμηθέα πολλάκις ὅτι μέγαν αὐτὸν ἔπλασε καὶ καλόν, καὶ τὴν μὲν γένυν ὥπλισε τοῖς ὀδοῦσι, τοὺς δὲ πόδας ἐκράτυνε τοῖς ὄνυξιν, ἐποίησέ τε τῶν ἄλλων θηρίων δυνατώτερον· « ὁ δὲ τοιοῦτος, ἔφασκε, τὸν ἀλεκτρυόνα φοβοῦμαι. » Καὶ ὁ Προμηθεὺς ἔφη· « Τί με μάτην αἰτιᾷ ; τὰ γὰρ ἐμὰ πάντα ἔχεις ὅσα πλάττειν ἐδυνάμην· ἡ δέ σου ψυχὴ πρὸς τοῦτο μόνον μαλακίζεται. » Ἔκλαιεν οὖν ἑαυτὸν ὁ λέων καὶ τῆς δειλίας κατεμέμφετο καὶ τέλος ἀποθανεῖν ἤθελεν. Οὕτω δὲ γνώμης ἔχων ἐλέφαντι περιτυγχάνει, καὶ προσαγορεύσας εἱστήκει διαλεγόμενος, καὶ ὁρῶν διαπαντὸς τὰ ὦτα κινοῦντα· « Τί πάσχεις ; ἔφη, καὶ τί ποτε οὐδὲ μικρὸν ἀτρεμεῖ σου τὸ οὖς ; » Καὶ ὁ ἐλέφας, κατὰ τυχὴν περιπτάντος αὐτῷ κώνωπος· « Ὁρᾷς, ἔφη, τοῦτο τὸ βραχύ, τὸ βομβοῦν ; ἢν εἰσδύνῃ μου ⟨τῇ⟩ τῆς ἀκοῆς ὁδῷ, τέθνηκα. » Καὶ ὁ λέων·. « Τί οὖν ἔτι ἀποθνήσκειν, ἔφη, με δεῖ τοσοῦτον ὄντα καὶ ἐλέφαντος εὐτυχέστερον ὅσῳ κρείττων κώνωπος ὁ ἀλεκτρυών ; »

Ὁρᾷς ὅσον ἰσχύος ὁ κώνωψ ἔχει, ὡς καὶ ἐλέφαντα φοβεῖν.

Cod. Mb 90.

3 ἐποίησε δέ τε cod. || **14** βουμβοῦν cod. || **15** τῇ addidit Coraës || **17** πόσῳ χρεῖττον cod.

Digitized by Google

212

Λέων καὶ ταῦρος.

Λέων ταύρῳ παμμεγέθει ἐπιβουλεύων ἐβουλήθη δόλῳ αὐτοῦ περιγενέσθαι. Διόπερ πρόβατον τεθυκέναι φήσας ἐφ' ἑστίασιν αὐτὸν ἐκάλεσε, βουλόμενος κατακλιθέντα αὐτὸν καταγωνίσασθαι. Ὁ δὲ ἐλθὼν καὶ θεασάμενος λέβητάς τε πολλοὺς καὶ ὀβελίσκους μεγάλους, τὸ δὲ πρόβατον οὐδαμοῦ, μηδὲν εἰπὼν ἀπηλλάττετο. Τοῦ δὲ λέοντος αἰτιωμένου αὐτὸν καὶ τὴν αἰτίαν πυνθανομένου δι' ἣν οὐδὲν δεινὸν παθὼν ἄλογος ἄπεισιν, ἔφη· « Ἀλλ' ἔγωγε οὐ μάτην τοῦτο ποιῶ· δρῶ γὰρ παρασκευὴν οὐχὶ ὡς εἰς πρόβατον, ἀλλ' εἰς ταῦρον ἡτοιμασμένην. »

Ὁ λόγος δηλοῖ ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πονηρῶν τέχναι οὐ λανθάνουσιν.

Codd. Pa 138 Pb 141 Pc 79 Pg 94 Ma 97.

1 Λέων ταῦρον καλέσας ἐπιβουλεύων αὐτοῦ περιγενέσθαι, omisso ἐβουλήθη Pc || ταῦρον παμμεγέθη Pa || ἠβουλήθη Pb || δόλῳ om. Pb Pc Pg Ma || **2** πρόβατα Pb || **3** πρὸς ἑστίασιν Pb Ma || ἐφ' ἑστίαν ἐκάλεσεν αὐτόν Pc || αὐτὸν κατακλιθέντα Pg || **4** αὐτὸν om. Pc Ma || καταγωνίσας Ma || **5** τε om. Pb || λέβητας καὶ πολλοὺς (πολλοὺς om. Ma) ὀβελίσκους Pg Ma || τὸ πρόβατον δὲ Pg || **6** μηδαμοῦ Pc || **8** οὐδὲ ἓν δεινὸν Pa || δεινὸν om. Pc || διὰ τί δεινοπαθῶν Ma || ἀλόγως Pb || **9** τοῦτο om. Pb Pg Ma || κατασκευὴν Pb Pg Ma || οὐχ Pb οὐκ Ma || **10** ὡς εἰς ταῦρον Ma.

Aliter.

Λέων ταύρῳ παμμεγέθει ἐπιβουλεύων ἐβουλήθη αὐτοῦ περιγενέσθαι. Καὶ δὴ προσκαλεσάμενος ὁ λέων τὸν ταῦρον ἔφη πρὸς αὐτόν· « Πρόβατον ἔθυσα, ὦ φίλε, καί,

Codd. Ca 92 Cb 64 Ce 71 Cf 75 Ch 75 Mc 64 Md 74 Mh 69 Ml 101 Mm 89.

1 ταῦρον παμμεγέθη (-θει Ce) Ce Cf Mc Md Mh Mm || ἐβουλήθη πρὸς (πρὸς om. Cf) αὐτὸν παραγενέσθαι Ca Cf ἠβουλήθη αὐτὸν εἰς τὴν οἰκίαν αὐτοῦ ἀγαγεῖν Ml || αὐτὸν Ce || **2** δὴ om. Md Mh Mm || προσκαλεσάμενος αὐτὸν ἔφη· Πρόβατον Md Mh Ml Mm || **3** πρὸς αὐτόν om. Ce || ὦ φίλε om. Mc.

Digitized by Google

εἰ βούλει, σήμερον συνεστιαθῶμεν ὁμοῦ. » Ἐβούλετο δὲ ὁ λέων μετὰ τὸ κατακλιθῆναι τὸν ταῦρον καταθοινήσασθαι αὐτόν. Ὁ δὲ ἐλθὼν καὶ θεασάμενος λέβητας πολλοὺς καὶ ὀβελίσκους μεγάλους, τὸ δὲ πρόβατον μηδαμοῦ, μηδὲν εἰπὼν ἀπηλλάττετο. Τοῦ δὲ λέοντος αἰτιωμένου αὐτὸν καὶ τὴν αἰτίαν μαθεῖν θέλοντος δι' ἣν οὐδὲν δεινὸν παθὼν ἀλόγως ἄπεισιν, ἔφη ὁ ταῦρος· « Ἀλλ' ἔγωγε οὐ μάτην τοῦτο ποιῶ καὶ φεύγω, ὦ λέον· ὁρῶ γὰρ κατασκευὴν οὐχ ὡς εἰς πρόβατον, ἀλλ' εἰς ταῦρον ἡτοιμασμένην. »

Ὁ λόγος δηλοῖ ὅτι οὕτω καὶ τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πονηρῶν τέχναι οὐ λανθάνουσι.

4 εἰ βουλλ' Cf || σήμερον om. Ce || συνεσθιαθῶμεν Ce || Ἠβούλετο Ce || βουλόμενος ὁ λέων Md Mh Mm || **5** καταγωνίσασθαι ἤγουν καταθοινήσασθαι αὐτόν Ca καταθοινήσασθαι αὐτόν (τὸν ταὐτόν Ch τὸν ταῦρον Mc) Cb Ch Mc τὸν ταῦρον φαγεῖν (φαγεῖν αὐτόν Ce) Ce Cf τοῦτον καταφαγεῖν Md Mh Mm φαγεῖν αὐτόν Ml || **6** Ὁ δὲ ταῦρος Ml || Ὁ δὲ ταῦρος ἐλθὼν (ὡς addit Ce) ἐθεάσατο C (excepto Ca) Mc Md Mh Mm || λέβητα πολλὰ Cf || πολλοὺς om. Md Mm || καὶ ὀβελίσκους μεγάλους om. Ce Cf Ml || **7** πρόβατον (-τα Cf Ml) δὲ οὐδαμοῦ (-μῶς Cb Mc Md) libri excepto Ca || μηδὲν εἰπὼν om. Ce Ml || post μηδαμοῦ: Ταῦτα οὖν ἰδὼν ὁ ταῦρος ἐξῆλθεν, Cb Cf Ch Mc Ταῦτα ἰδὼν μετὰ σπουδῆς ἐξῆλθε Md Mh Mm || **8** ἐξῆλθε Ml ἐξῆλθε φεύγων Ce || λέοντος om. Ce λέγοντος καὶ Cf || αἰτιωμένου αὐτόν om. Ca || αὐτοῦ Ce || **9** θέλοντος καὶ πυνθανομένου Ca || τὴν αἰτίαν πυνθανομένου, ἔφη ὁ ταῦρος Cb Mc || μαθεῖν θέλοντος (ἐθέ- Ml) δι' ἣν ἐξέλθοι (-θε Mh -θεν Mm) (δι' ἣν ἐξέλθοι om. Ce Cf Ch Ml), ἔφη ὁ ταῦρος (ὁ ταῦρος om. Ml) Ce Cf Ch Md Mh Ml Mm || **10** Ἀλλ' ἔγωγε Ca om. ceteri || Οὐ μάτην ἐκφεύγω (φεύγω Cb Mc) Cb Ce Cf Ch Mc Mh Οὐ μάτην, ὦ λέων, ἐκφεύγω Md Ml Mm || **11** λέων codd. || παρασκευὴν Cb Mc || οὐχ εἰς πρόβατον Ce Cf Ml || **13** Ὅλως δηλοῖ Ca || Ὅτι τοὺς Cb Md || οὕτω καὶ om. libri excepto Ca || ὅτι τῶν πονηρῶν αἱ τέχναι τοὺς φρονίμους οὐ λανθάνουσι Ce || τοὺς ἀνθρώπων φρονίμους τῶν πονηρῶν αἱ τέχναι οὐ λανθάνουσι Cf || **14** οὐ τῶν πονηρῶν ἐπιλανθάνουσι τέχναι Md Mm || οὐ λανθάνουσι τέχναι Mh.

Aliter.

Λέων μήκιστον ἐκμηχανᾶται ταῦρον.
Καὶ δὴ καλέσας οἴκοι ἔφησεν οὕτως·
« Δεῦρ', εἰ βούλει, σήμερον συνευφρανθῶμεν. »
Ταῦρον γὰρ ἐβούλετο φαγεῖν ὁ λέων.
Ὡς γοῦν ἐθεάσατο ἐλθὼν ὁ ταῦρος

Cod. Cd 75.

3 Δεῦρον σήμερον, εἰ βούλει cod.

Digitized by Google

ὀβελίσκους, λέβητας καὶ πῦρ σὺν τούτοις,
παλίνοστος γίνεται οἴκαδε φεύγων.
Αὖθις δ' ὁ λέων ἐφώνησε μεγάλως·
« Πόθεν καὶ ποῦ πορεύῃ, ἄριστε φίλων ; »
Ὁ δὲ ταῦρος ἔφησεν· « Ὁρῶ σοι, ἄναξ,
οὐκ εἰς πρόβατον παρασκευὴν τυγχάνειν,
ἀλλ' εἰς ταῦρον μήκιστον ἡτοιμασμένην. »

Ὁ λόγος δηλοῖ ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πονηρῶν τέχναι οὐ λανθάνουσιν.

10 σε, ἄναξ, cod. || **11** ὡς πρόβατον cod. || παρασκεύῃ τυγχάνω cod. || **12** ἀλλὰ ταῦρον cod. || ἐμὲ εἰκάζειν pro ἡτοιμασμένην cod. : quae omnia correxi.

213

Λέων ⟨λυσσῶν⟩ καὶ ἔλαφος.

Λέων ἐλύσσα. Τοῦτον δὲ ἔλαφος ἐξ ὕλης ἰδὼν εἶπεν· « Οὐαί, ἡμῖν τοῖς ταλαιπώροις· τί γὰρ μαινόμενος οὗτος οὐχὶ ποιήσει, ὃς καὶ σωφρονῶν οὐκ ἦν ἡμῖν φορητός; »

Ὅτι τοὺς θυμώδεις ἄνδρας καὶ ἀδικεῖν εἰθισμένους πάντες φευγέτωσαν ἀρχὴν λαβόντας καὶ δυναστεύσαντας.

Cod. Ba 74.

3 ὁ pro ὅς cod. || **5** λαβόντες καὶ δυναστεύσαντες cod.

Aliter.

Λέων ἐλύσσα. Τὸν δὲ νεβρὸς ἐξ ὕλης
ἰδὼν ἔφησεν· « Οἴμοι τῷ ταλαιπώρῳ·
τί γὰρ μεμηνὼς οὕτως οὐχὶ ποιήσει,
ὃς ὑπῆρχε οὐδὲ σωφρονῶν φορητός. »

Ὁ λόγος πρὸς ἄνδρα φύσει ὀργιλὸν καὶ αἱμοβόρον.

Cod. Mb 89 (uersus restitui).

1 ἐλύσα cod. || **2** ἡ με ὦν ταλαιπώρων cod. || **4** ὅς καὶ φορητὸς οὐδὲ σωφρονῶν ἡμῖν cod.

Digitized by Google

214

Λέων ⟨μῦν φοβηθεὶς⟩ καὶ ἀλώπηξ.

Λέοντος κοιμωμένου μῦς τὸ σῶμα διέδραμεν. Ὁ δὲ ἐξαναστὰς πανταχόθεν περιειλίττετο ζητῶν τὸν προσεληλυθότα. Ἀλώπηξ δὲ αὐτὸν θεασαμένη ὠνείδιζεν, εἰ λέων ὢν μῦν ηὐλαβήθη. Καὶ ὃς ἀπεκρίνατο· « Οὐ τὸν μῦν ἐφοβήθην, ἐθαύμασα δὲ εἴ τις λέοντος κοιμωμένου τὸ σῶμα ἐπιδραμεῖν ἐτόλμησεν. »

Ὁ λόγος διδάσκει τοὺς φρονίμους τῶν ἀνθρώπων μηδὲ τῶν μετρίων πραγμάτων καταφρονεῖν.

Codd. Pa 141 Pb 144 Pd 33 Pg 95 Ma 99 Ca 95.

1 τῷ σώματι Ma τῷ στόματι Pb Pg Ca || περιέδραμεν Pb ἐπέδραμεν Pd || **2** ἀναστὰς Pd || πανταχόθεν Pa πανταχοῦ ceteri || περιελίττετο Pa περιειλεῖτο Pb Pd περιειλήπτετο Ma || προεληλυθότα Pd Pg Ca || **4** ἐφοβήθη μῦν Pb Pg Ca μῦν ἐφοβήθη Pd || Καὶ ὃς..... ἐτόλμησεν Pa solus || Ὁ δέ φησιν Ca Ὁ δὲ ἔφη Pg || Οὐ τὴν δύναμιν τοῦ μυὸς ἐφοβήθην Ma Οὐ τὸν μῦν ἐφοβήθην om. Pb Pd Pg Ca || Ἀλλ' οὐ κατὰ τὴν (τὴν om. Pb) γνώμην αὐτοῦ τὴν ὁρμὴν ἔχω, φησίν. Pb Pd Ἀλλὰ (ἀλλὰ Ma) κατὰ τῆς γνώμης αὐτοῦ (αὐτὸν Ma) τὴν ὀργὴν ἔχω Pg Ma Ca || **7** Ὅλως διδάσκει Ca || διδάσκει δεῖν Pa || μὴ pro μηδὲ Pd.

Aliter.

Λέων ποτὲ καύματος ὥρᾳ ἔν τινι σπηλαίῳ ἀνεπαύετο Μυὸς δὲ διὰ τῆς χαίτης αὐτοῦ διαδραμόντος, ταραχθεὶς ἐξαναστὰς φοβερὸν ἀπέβλεπεν. Ἀλώπεκος δὲ καταγελώσης, εἶπεν· « Οὐ τὸν μῦν ἐφοβήθην, ἀλλὰ τὴν πεῖραν. »

Ὁ λόγος δηλοῖ ὅτι τοῖς γενναίοις ἀπειρία χεῖρόν ἐστι τοῦ κολάζεσθαι.

Cod. Ma 108.

1 ὥραν cod. || **5** ἔστη pro ἐστι cod.

Aliter.

Κοιμωμένου λέοντος, μῦς ἐπέδραμεν τῇ χαίτῃ αὐτοῦ. Ὁ δὲ ἀνεπήδησε καὶ ἐθυμώθη. Ἀλώπηξ δὲ ἰδοῦσα ἐπεγέλασεν, ὡς τοιοῦτος ὢν τὸν μῦν πτοεῖται. Ὁ δὲ ἔφη· « Οὐ

Digitized by Google

τὸν μῦν δέδοικα, ἀλλὰ τὴν κακὴν ὁδὸν καὶ συνήθειαν ἀνακόπτω. »

Ὅτι τῇ κακῇ συνηθείᾳ οὐ δεῖ παρέχειν ἄδειαν· νομὴν γὰρ λαβοῦσα λύπην ἐσχάτην ποιεῖ.

Codd. Ba 65 Bb 41.

4 δέδια Bb || 7 ἐσχάτως Ba.

215

Ληστὴς καὶ συκάμινος.

Ληστὴς ἐν ὁδῷ τινα ἀποκτείνας, ἐπειδὴ ὑπὸ τῶν παρατυχόντων ἐδιώκετο, καταλιπὼν αὐτὸν ᾑμαγμένον, ἔφευγε. Τῶν δὲ ἀντικρὺς ὁδευόντων πυνθανομένων αὐτοῦ τίνι μεμελυσμένας ἔχει τὰς χεῖρας, ἔλεγεν ἀπὸ συκαμίνου νεωστὶ καταβεβηκέναι. Καὶ ὡς ταῦτα ἔλεγεν, οἱ διώκοντες αὐτὸν ἐπελθόντες καὶ συλλαβόντες ἀπό τινος συκαμίνου ἀνεσταύρωσαν. Ἡ δὲ ἔφη πρὸς αὐτόν· « Ἀλλ' ἔγωγε οὐκ ἄχθομαι πρὸς τὸν σὸν θάνατον ὑπηρετοῦσα· καὶ γὰρ ὃν αὐτὸς φόνον ἀπειργάσω, τοῦτον εἰς ἐμὲ ἀπεμάττου. »

Οὕτω πολλάκις καὶ οἱ φύσει χρηστοί, ὅταν ὑπ' ἐνίων ὡς φαῦλοι διαβάλλωνται, κατ' αὐτῶν πονηρεύεσθαι οὐκ ὀκνοῦσιν.

Codd. Pa 147 Pb 150 Pg 99 Mb 104 Ca 100.

1 παρὰ τῶν ὑποτυχόντων (ἀπο- Pb) Pb Pg Ca παρὰ τῶν ἐκείνου συγγενῶν Mb || 2 αἱμαγμένον Pa om. ceteri || ἔφυγε Pb Mb Ca || 3 καὶ πυνθανομένων αὐτῷ Ca || διὰ τί pro τίνι Pg Mb || 4 ἔχεις Pb || συκαμίνων Ca || νεωστὶ Pa om. ceteri || 5 οἱ διώκοντες αὐτὸν om. Pb || 6 συλλαβόμενοι εἴς τινα συκάμινον (αὐτὸν addit Mb) ἔστρωσαν libri excepto Pa || 7 Ἡ δὲ συκάμινος libri excepto Pa || πρός αυτόν Pa om. ceteri || οὐκέτι ἄχθομαι Pb Pg Mb || 8 σὸν om. Pg Mb Ca || 9 φόνον om. Ca φθόνον Pa || ἀπειργάσατο Pg || κατειργάσω, τοῦτον εἰς ἐμὲ ἐξαιματώσας Pb || εἰς ἐμὲ τοῦτον Pg Mb Ca || ἀπέματτεν Pg ἀφαιματοῦσι Ca || 10 Epim. om. Ca || καὶ om. Pg || ὑπό τινων Pb ὑπὲρ ἐνίων Pa || 11 φαύλου Pa || διαβάλωνται Pa.

216

Λύκοι καὶ κύνες ⟨ἀλλήλοις πολεμοῦντες⟩.

Λύκοις καὶ κυσὶν ἦν ποτε ἔχθρα. Κύων δὲ Ἕλλην ᾑρέθη στρατηγὸς κυσίν. Οὗτος πρὸς τὴν μάχην ἐβράδυνεν· οἱ δὲ λύκοι ἠπείλουν σφοδρῶς. Ὁ δὲ εἶπεν· « Οἴδατε τίνος χάριν βραδύνω ; πρέπον ἐστὶν ἀεὶ προβουλεύεσθαι. Ὑμῶν γὰρ τὸ γένος καὶ ἡ χροιὰ πάντων ἕν ἐστιν· οἱ ἡμέτεροι δὲ ἐκ πολλῶν τρόπων εἰσὶ καὶ τοῖς τόποις καυχῶνται. Ἀλλὰ καὶ ἡ χροιὰ πάντων οὐκ ἔστι μία καὶ ἴση, ἀλλ' οἱ μὲν μέλανες, οἱ δὲ πυρροί, οἱ δὲ λευκοὶ καὶ τεφρώδεις. Καὶ πῶς ἂν δυνηθείην εἰς πόλεμον ἄρχειν τῶν ἀσυμφώνων καὶ μὴ ὅμοια πάντα ἐχόντων ; »

Ὅτι ἐν μιᾷ βουλῇ καὶ γνώμῃ πάντων τῶν στρατευμάτων ὄντων κατὰ τῶν ἐναντίων νίκην ποιοῦνται.

Cod. Ba 86.

5 χροὰ in primo loco χροιὰ in secundo, cod. || 8 πυροί cod. || τεφρόδεις cod.

217

Λύκοι καὶ κύνες ⟨πρὸς αὐτοὺς καταλλαγέντες⟩.

Οἱ λύκοι τοῖς κυσὶν εἶπον· « Διὰ τί ὅμοιοι ὄντες ἡμῖν ἐν πᾶσιν, οὐχ ὁμοφρονεῖτε ἡμῖν ὡς ἀδελφοί; οὐδὲν γὰρ ὑμῶν διαλλάττομεν, πλὴν τῇ γνώμῃ. Καὶ ἡμεῖς μὲν ἐλευθερίᾳ συζῶμεν· ὑμεῖς δὲ τοῖς ἀνθρώποις ὑποκύπτοντες καὶ δουλεύοντες πληγὰς παρ' αὐτῶν ὑπομένετε, καὶ κλοιὰ περιτίθεσθε, καὶ φυλάττετε τὰ πρόβατα· ὅτε δὲ ἐσθίουσιν, μόνα τὰ ὀστᾶ ὑμῖν ἐπιρρίπτουσιν. Ἀλλ' ἐὰν πείθησθε, πάντα τὰ ποίμνια ἔκδοτε ἡμῖν καὶ ἕξομεν πάντα κοινὰ εἰς

Codd. Ba 102 Bb 63.

1 ὅμοιον Bb || 3 ἡμῶν pro ὑμῶν Ba Bb || 4 ὑποχρύπτοντες Bb || 6 καὶ τὰ πρόβατα Bb || 7 πείσησθε Bb || 8 καὶ ἕξομεν om. Bb.

κόρον ἐσθίοντες. » Ὑπήκουσαν οὖν πρὸς ταῦτα οἱ κύνες· οἱ δὲ ἔνδον τοῦ σπηλαίου εἰσελθόντες πρότερον τοὺς κύνας διέφθειραν.

Ὅτι οἱ τὰς ἑαυτῶν πατρίδας προδιδόντες τοιούτους μισθοὺς λαμβάνουσι.

9 οὖν om. Ba || 10 τῶν σπηλαίων Ba || εἰσελθόντες om. Ba || 12 οἱ om. Bb.

Aliter.

Λύκοι φιλιωθέντες τοῖς κυσὶν εἶπον·
« Ἵνα τί ὑμεῖς ἡμῖν καθομοιοῦντες
οὐ κατέχετε ὡς ἀδελφοὺς καὶ φίλους;
οὐ γὰρ διαλλάττομεν εἰ μὴ τῇ γνώμῃ·
ἡμεῖς γὰρ πάντες ζῶμεν ἐλευθερίᾳ·
ὑμεῖς δὲ κύνες δουλεύετε ἀνθρώποις,
κλοιὰ φοροῦντες εἰς τοὺς ὑμῶν τραχήλους,
καὶ τοῖς ῥοπάλοις δὲ τύπτεσθε ἀκαίρως·
ἀλλ' οὐ μόνον δὲ ταῦτα ἐγκαρτερεῖτε,
ἀλλὰ καὶ αὐτῶν φυλάττετε τὰς ποίμνας.
Τὸ δὲ θαυμαστότερον ἁπάντων τούτων,
κατεσθιόντων αὐτῶν ἐπὶ τραπέζαις,
μόνα τὰ ὀστᾶ προσρίπτουσιν ἐκ μόρου.
Εἰ δὲ θέλετε ἡμῖν καθυπακοῦσαι,
ἔκδοτε ἡμῖν κοινῶς ἐμφορηθῆναι. »
Ὡς δ' ὑπήκουσαν παραυτίκα οἱ κύνες,
εἰσεπήδησαν ἐν τῇ ποίμνῃ οἱ λύκοι
καὶ παραυτίκα διέφθειραν τοὺς κύνας,
ἵνα μὴ βοήσωσι κατὰ τῶν λύκων.

Ὅτι οἱ τὰς ἑαυτῶν πατρίδας προδιδόντες τοιούτους μισθοὺς λαμβάνουσι.

Cod. Mb 109.

4 εἰ μὶ μόνῃ τῇ γνώμῃ cod. μόνῃ deleui || 5 οἱμεῖς γὰρ cod. || ἐλευθερίους cod. || 6 ἀνθρώπους cod. || 8 τύπτεσθαι cod. || 9 ἐγκαρετερεῖται cod. || 10 φυλάττεται cod. || 12 τραπέζεις cod. || 14 ὑμῖν cod.

Digitized by Google

218

Λύκοι καὶ πρόβατα.

Λύκοι ἐπιβουλεύοντες ποίμνῃ προβάτων, ἐπειδὴ οὐκ ἠδύναντο αὐτῶν περιγενέσθαι διὰ τοὺς φυλάττοντας αὐτὰ κύνας, ἔγνωσαν δεῖν διὰ δόλου τοῦτο πρᾶξαι. Καὶ πέμψαντες πρέσβεις ἐξῄτουν παρ' αὐτῶν τοὺς κύνας, λέγοντες ὡς ἐκεῖνοι τῆς ἔχθρας αἴτιοί εἰσιν, καί, εἰ ἐγχειρίσουσιν αὐτούς, εἰρήνη μεταξὺ αὐτῶν γενήσεται. Τὰ δὲ πρόβατα μὴ προϊδόμενα τὸ μέλλον ἐξέδωκαν αὐτούς, καὶ οἱ λύκοι περιγενόμενοι ἐκείνων ῥᾳδίως καὶ τὴν ποίμνην ἀφύλακτον οὖσαν διέφθειραν.

Οὕτω καὶ τῶν πόλεων αἱ τοὺς δημαγωγοὺς ῥᾳδίως προδιδοῦσαι λανθάνουσι καὶ αὐταὶ ταχέως πολεμίοις χειρούμεναι.

Codd. Pa 148 Pb 151 Pd 35 Ma 102.

1 ἐπιβουλεύσαντες ποιμνῄᾳ Pd || **2** αὐτῶν οὐκ ἠδύναντο Ma || φυλάσσοντας Pb || **3** διὰ λόγου Pd || πέμψαστας πρέσβεις ζητεῖν Ma || **4** ἐξῄτουν nos ἐζήτουν libri || λέγοντες ἐκείνους τῆς ἔχθρας ὄντας αἰτίους ἐγχειρίσαι αὐτοῖς καὶ εἰρήνην μεταξὺ αὐτῶν γενήσεσθαι (γεν- om. Pb) Pb Pd || **5** εἰσιν Ma om. Pa || ἐγχειρίσαι δὲ ἡμᾶς αὐτοὺς ἐπάξιον ὥστε μεταξὺ αὐτῶν εἰρήνην γενέσθαι Ma || **6** εἰρήνην Pa || Τὰ πρόβατα τὸ μέλλον μὴ βλέποντα Pd || **7** προειδόμενα Pa προβλέποντα Pb προορώμενα ὑπ' ἀνοίας Ma || ἐξεδίωξαν Pd Ma || τοὺς κύνας pro αὐτούς Pb Pd Ma || **8** καὶ ante τὴν ποίμνην om. Pb Pd Ma || **10** Οὕτως τῶν πολλῶν ἀεὶ τοὺς προιστῶτας Ma || ταῖς πόλεσι Pd || δημηγόρους Pb Pd || **11** αὗται Pa || χερόμενοι Ma.

219

Λύκοι καὶ πρόβατα καὶ κριός.

Λύκοι πρέσβεις ἔστειλαν τοῖς προβάτοις εἰρήνην ποιῆσαι μετ' αὐτῶν διηνεκῆ, εἰ τοὺς κύνας λάβωσι καὶ διαφθείρωσι.

Codd. Ba 80 Bb 50.

2 διvηχεεῖ Bb || διαφθείρουσι Bb.

Digitized by Google

Τὰ μωρὰ δὲ πρόβατα συνέθεντο τοῦτο ποιῆσαι. Ἀλλά τις γέρων κριὸς εἶπεν· « Πῶς ὑμῖν πιστεύσω καὶ συνοικήσω, ὅπου, καὶ τῶν κυνῶν φυλαττόντων με, ἀκινδύνως νέμεσθαι οὐ δυνατόν μοι ; »

Ὅτι οὐ δεῖ τινα ἀσφαλείας τῆς ἑαυτοῦ γυμνωθῆναι, τοῖς ἀκαταλλάκτοις ἐχθροῖς δι᾽ ὅρκων πεισθέντα.

6 δυνατόν ἐστι omisso μοι Bb || 8 κεπαλλάκτοις Bb || δι᾽ ὅρκον πεισθέντες Bb || πεισθέντων Ba.

220

Λύκος ⟨διὰ τὴν ἑαυτοῦ σκιὰν γαυρωθεὶς⟩ καὶ λέων.

Λύκος πλανώμενος ⟨ποτ᾽⟩ ἐν ἐρήμοις τόποις,
κλίνοντος ἤδη πρὸς δύσιν Ὑπερίονος,
δολιχὴν ἑαυτοῦ τὴν σκιὰν ἰδὼν ἔφη·
« Λέοντ᾽ ἐγὼ δέδοικα, τηλικοῦτος ὤν ;
πλέθρου τ᾽ ἔχων τὸ μῆκος, οὐ θηρῶν ἁπλῶς
πάντων δυνάστης ἀθρόων γενήσομαι ; »
Λύκον δὲ γαυρωθέντα καρτερὸς λέων
ἑλὼν κατήσθι᾽· ὁ δ᾽ ἐβόησε μετανοῶν·
« Οἴησις ἡμῖν πημάτων παραιτία. »

Cod. Mb 92. (uersus iambici)

1 ποτ᾽ addidit Halm || 2 περὶ cod. || Ὑπερίονος Halm ἡλίου cod. || 5 πλέθρου δ᾽ cod. || 8 μετανοῦν cod.

221

Λύκος καὶ αἴξ.

Λύκος θεασάμενος αἶγα ἐπί τινος κρημνώδους ἄντρου νεμομένην, ἐπειδὴ οὐκ ἠδύνατο αὐτῆς ἐφικέσθαι, κατωτέρω

Codd. Pa 152 Pb 154 Pc 86 Pd 36 Pf 83 Ma 104 Mb 111 Me 106 Mf 89 Mj 100 Ca 103.

1 ἐπί τινος κρημνοῦ Pb Pd Ma Mb Ca || 2 ἐδύνατο Pd Ca || ἀφικέσθαι Pd Ca. || κάτω Pf Me Mf Mj.

Digitized by Google

παρῄνει αὐτῇ καταβῆναι, μὴ καὶ πέσῃ λαθοῦσα, λέγων ὡς ἀμείνων ὁ παρ' αὐτῷ λειμών ἐστι, ἐπεὶ καὶ ἡ πόα σφόδρα εὐανθής. Ἡ δὲ ἀπεκρίνατο πρὸς αὐτόν· « Ἀλλ' οὐκ ἐμὲ ἐπὶ νομὴν καλεῖς, αὐτὸς δὲ τροφῆς ἀπορεῖς. »

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ κακοῦργοι, ὅταν παρὰ τοῖς εἰδόσι πονηρεύωνται, ἀνόνητοι τῶν τεχνασμάτων γίνονται.

3 παραινεῖ Pd || αὐτὴν Pa Pb Pd Ma Mb om. Ca || κατωτέρω καταβῆναι Pb Pd Ma Mb Ca || αὐτῷ Pf || μή πως πέσῃ (-σει Mb) Mb Ca || ὡς (ὡς om. Pd) καὶ λειμῶνες παρ' αὐτῷ καὶ ἡ πόα φαιδροτέρα (σφοδροτάτη Pd) Pb Pd ὡς (ὡς om. Ca) καὶ λειμῶνες καὶ πόα παρ' αὐτῷ σφοδροτάτη Mb Ca ὡς λειμῶνες παρ' αὐτῷ καὶ πολλοὶ σφοδρότατοι Ma || **4** ἄμεινον Pf Me Mf Mj || παρ' αὐτὸν Pa || ἐστι Pc om. ceteri || ἡ ante πόα om. Pf Me Mf Mj || **5** Ἡ δὲ πρὸς αὐτὸν (αὐτὴν Ma) ἔφη Pb Pd Ma Mb Ca Ἡ δὲ ἀπεκρίθη πρὸς αὐτόν Pf Me Mf Mj || πρὸς αὐτόν om. Pc || **6** ἀλλ' αὐτὸς Pc || ἀλλὰ τροφῆς ἀπορεῖς Mb Ca || ἀπῶρον Ma || **7** Ὁ μῦθος δηλοῖ ὅτι Mj || οἱ πονηροὶ Pb Pd Mb Ca οἱ κακοῦργοι καὶ πανοῦργοι Pc || περὶ Pb Pf Ma || περὶ τῶν εἰδότων scriptum super περὶ τοῖς εἰδόσι Mj || **8** ἴδωσι Ma om. Mb || πονηρεύονται Pb Ca πορεύωνται Pc || ἀνόνητοι Ca || ὀνοητάτων Pb ἀνίνητη Ma ἀνόητοι ceteri || τῶν om. Pb Ca || καθίστανται Pb Pf Me Mf Mj.

222

Λύκος καὶ ἀρήν.

Λύκος θεασάμενος ἄρνα ἀπό τινος ποταμοῦ πίνοντα, τοῦτον ἐβουλήθη μετά τινος εὐλόγου αἰτίας καταθοινήσασθαι. Διόπερ στὰς ἀνωτέρω ᾐτιᾶτο αὐτὸν ὡς θολοῦντα τὸ ὕδωρ καὶ πιεῖν αὐτὸν μὴ ἐῶντα. Τοῦ δὲ λέγοντος ὡς ἄκροις τοῖς χείλεσι πίνει καὶ ἄλλως οὐ δυνατὸν κατωτέρω ἑστῶτα ἐπάνω ταράσσειν τὸ ὕδωρ, ὁ λύκος ἀποτυχὼν ταύτης τῆς αἰτίας ἔφη· « Ἀλλὰ πέρυσι τὸν πατέρα μου

Cod. Pa 150 Pb 152 Ma 103.

1 ἐπί τινα ποταμὸν Pb || τινος om. Ma || **2** ἠβουλήθη Pb || ἀπό τινος Pa Pb || **3** ᾐτιάσατο Ma || **4** πίνειν αὐτὸν οὐκ ἐῶντα Pb || πίνον Ma || τοῖς pro ὡς Ma || **5** πίνειν Pa Ma || δυνατὸν αὐτῷ ἑστῶτος κάτω Ma || κατωτέρω ἑστῶτα om. Pb || **6** ὁ λύκος δὲ Pb || **7** πέρισυ Pa.

Digitized by Google

ἐλοιδόρησας. » Εἰπόντος δὲ ἐκείνου μηδὲ τότε γεγενῆσθαι, ὁ λύκος ἔφη πρὸς αὐτόν· « Ἐάν σὺ ἀπολογιῶν εὐπορῇς, ἐγώ σε οὐχ ⟨ἧττον⟩ κατέδομαι. »

Ὁ λόγος δηλοῖ ὅτι οἷς ἡ πρόθεσίς ἐστιν ἀδικεῖν, παρ' αὐτοῖς οὐδὲ δικαία ἀπολογία ἰσχύει.

8 δὲ om. Pb || μηδὲ τότε Ma μηδέποτε Pa μηδέπω Pb || γεννηθῆναι Pb γενέσθαι Ma || **9** Ἐὰν οὖν ἀπολογίας εὐπορεῖς, ἐγὼ δέ σε οὐ χήδομαι Ma || **10** ἐγώ σε οὐ καταδέχομαι Pa || ἧττον addidit Schneider || **11** ὅτι om. Ma || ἡ om. Pb Ma || ἐστιν om. Pa Ma || ἀδικεῖν τοὺς πάντας Pa || **12** οὐ δικαία λογία Ma.

Aliter.

Λύκος καὶ ἀρνός.

Λύκος δὲ ἀρνὸν εὑρὼν πεπλανημένον
οὐκ ἀφήρπασε χειρὶ δυνατωτάτῃ,
ἀλλ' ἐπεζήτει τοῦτον φαγεῖν εὐλόγως·
ὅστις πρὸς αὐτὸν ταῦτα οὕτως ἐλάλει·
« Πέρυσιν αὐτὸς πολλὰ καθύβρισάς με. »
Ὁ δὲ πρὸς αὐτὸν ταῦτα θρηνῶν ἐβόα·
« Ἐγὼ ἐν τούτῳ γεγένημαι τῷ χρόνῳ. »
Ὁ δὲ πρὸς αὐτόν· « Τὴν ἄρουραν μου νέμεις. »
Ὁ δ' ἀρνὸς ἔφη· « Ἀκμὴν τροφὴν οὐκ εἶδον. »

Codd. Cg 8 Ch 83 Ca 101 Cb 69 Cd 83 Ce 68 Cf 72 Mb 10 Mc 68 Md 71 Mh 66 Mm 86.

1 δὲ om. Ca Cd Ce Mb Md Mh Mm || ἄρνα Ca Cb Ce Md || εὑρὼν ἄρνα Mh Mm || **2** ἀφήρπαζε Mb ἀφήρπασεν (ὑφ- Ce Cf) αὐτὸν Cb Ce Cf Mc || χειρὶ δυνατωτάτῃ om. Ce || δυνατωτάτῳ Cb Cf || **3** ἀλλ' ἐθέλησε μετ' εὐλόγου αἰτίας τοῦτον φαγεῖν Ca || ἐπεζήτει (ἐζήτει Cf) εὐλόγως τοῦ φαγέσθαι Ch Cb Cf Mb Mc εὐλόγως ἐζήτει ἄρνα φαγεῖν γε τοῦτον Cd ἐζήτει εὐλόγως φαγεῖν Ce || **4** ὅτις Cd || εἶπε δὲ πρὸς αὐτὸν τοιαῦτα Ca ὃς πρὸς τὸν ἄρνα τοιαῦτα ἐφθέγγετο Ce || **5** Τὸν πέρι συ (πέρση Cf) καιρὸν πολλὰ Ce Cf || πέρι συ Ca πέρσυ Mh || σὺ pro αὐτὸς Ca αὐτὸς om. Cb || με καθύβρισας· νῦν εὐθύνας εἰς πράξι τῆς τόλμης Cd || μοι Cg || **6** Ὁ δὲ θρηνῶν ἐβόα Ce || αὐτὸν θρηνωδῶν ἀνεβόα (ἐβόα ταῦτα Mb) Ca Mb || σφόδρα pro ταῦτα Ch || **6** et **7** om. Mc || **7** Ἔγωγ' Md Mm || γεγέννημαι Ce Cf Mh || **8** Καὶ ὁ λύκος εἶπε πρὸς αὐτόν Ca Mc || τὴν om. Cf || ἄραραν Cd || νέμοις Cg νέμηι Ch νέμῃ Ca Mb Md Mh Mm νέμει Cd κατέφαγες Ce Cf || **9** δ' om. Ca Md || ἀρνὸς ἔφη om. Mh. || οἶδον Cf οἶδα Mc εἶναι Mm.

Digitized by Google

Πάλιν ὁ λύκος· « Ἐκ τῆς πηγῆς μου πίνεις. »
Ὁ δ'· « Οὐ πέπωκα ὕδωρ, » αὐτῷ προσεῖπε·
« τῆς γὰρ μητρός μου τὸ γάλα ἡ τροφή μου,
καὶ πόμα αὐτὸ ἐμοὶ πάλιν τυγχάνει. »
Ὁ δὲ συλλαβὼν καὶ φαγὼν αὐτὸν εἶπεν·
« Ἀλλ' ἐγὼ τέως νῦν ἄδειπνος οὐ μένω
διὰ τό σέ μου ἀφορμὴν πᾶσαν λύειν. »

Ὅτι γνώμην κακούργου καὶ πλεονέκτου λόγος οὐ πείθει, κἂν ἀληθὴς τυγχάνῃ.

11 Ὁ δὲ om. Mh Mm || Ὁ δ' ἀρνός Cf || οὐδέποτε Cf || Οὐδὲ πέπωκαν Cg || πεπώκειν (-ει Mc) Cb Cf Mb Mc || ἀκμὴν ὕδωρ Md Mh Mm || προσεῖπεν αὐτῷ Ca || Τὸ δὲ ἀρνίον· « Οὐδέπωτε πεπώκειν ὕδατος omisso αὐτῷ προσεῖπεν Ce || **12** et **13** τὸ γὰρ γάλα τῆς μητρός μου ἡ τροφὴ καὶ ἡ πόσις, haec respondent uersibus **12** et **13** in Ce || γὰρ om. Md || τὸ γάλα ἡ τροφή μου καὶ τὸ πόμα μου. Ca γάλα τροφὴ καὶ πόμα ἐστί. Md Mm γάλα τροφὴ καὶ πόμα. Mh || **13** καὶ πῶμα Mc πόμα (πτῶμα Ch πολὴ Mb) γὰρ ceteri || αὐτῷ Cb Cf || ἐμὸν πάλιν αὐτὸ τυγχάνῃ Cd || **13** om. Mb || **14** συλλαβὼν αὐτὸν καὶ φαγὼν Md Mh Mm || συλλαβὼν ἔφαγεν omisso αὐτὸν Ce || τοῦτον Ca αὐτῷ Mc || αὐτὸς ἔφη Cf || **15** ἐγώ, φησὶν, ἄδειπνος Ce || ἔγωγέ τε οὐκ ἄδειπνος οὐ μένω Mc || ἐγὼ νῦν ἄδειπνος τέως Mh || τέων Cd || ἄδειπνος νῦν Ch || νῦν om. Ca Cb Cf || νῦν τέως Md Mm || νῦν οὐ μένω Mb || **16** διὰ τό σέ μου ... λύειν Ch διὰ τὸ σῶμά μου ... λύω Cg || εἰ καὶ σὺ ἀφορμὴν ἐμὴν πᾶσαν λύεις Ca δυνατός σου ἀφορμὴν ... Cb δυνατὸς (-τὰς Cd) γάρ σου (σου om. Cf) ἀφορμὴν .... Cd Cf δυνατὸς ὢν ἀφορμὴν .. Ce δυνατὸν ἐμοὶ ἀφ- ... Mc || διὰ τὸ πᾶσαν ἀφορμήν σέ μου λύειν Mb διὰ τὸ σύ μου ἀφορμὰς πάσας (πολλὰς Md Mm) λύειν Md Mh Mm || **17** Epim. om. Md Ὁ μῦθος (λόγος Ca) δηλοῖ ὅτι Ch Ca Mc || Ὅτι om. Cb || κακοῦ Ce Cf || **18** ἀληθὲς Mc || τυγχάνει Cb Cf Mb Mc || **17-18** Ὁ λόγος δηλοῖ ὅτι, κἂν ἀληθεύῃς, τὸν κακοῦργον οὐ πίθεις Cd || Ὁ μῦθος δηλοῖ ὅτι τῶν μελλόντων ἀδικεῖν πολύπλοκος ὁ βίος Mh || Ὁ μῦθος δηλοῖ ὅτι οἱ πονηροὶ τῶν ἀνθρώπων πολλάκις ἡμᾶς βλάψαι βουλόμενοι διὰ τὸ δόξαι μὴ εἶναι τοιούτους, αἰτίας πλάττουσιν, ἀλλὰ τούτων λυομένων οὐδαμοῦ πείθονται Mm || Ca secundum epim. habet Ἤ· ὅτι οἷς πρόθεσίς ἐστιν ἀδικεῖν, παρ' αὐτοῖς οὐδὲ δικαία ἀπολογία ἰσχύει.

Aliter.

Λύκος ποτὲ ἄρνα πεπλανημένον εὑρὼν βίᾳ μὲν οὐχ ἥρπαζεν, ἔγκλημα δὲ ἐζήτει, εὐλόγως φαγεῖν θέλων. « Σύ, εἶπεν, πέρυσι μικρὸς ὢν ὕβρισάς με. » Ὁ δέ· « Πῶς ἐγὼ πέρυσι, ὃς ἐν τούτῳ ἐγεννήθην τῷ

Codd. Ba 83 Bb 53.

1 πεπληγμένον Bb || **2** ἥρπαξεν Bb || θέλων καὶ εἶπεν αὐτῷ· Σὺ πέρυσι Bb || **3** πέρισυ hic et infra Ba || ὕβρισάς μοι Bb || Ὁ δὲ ἔφη Bb.

Digitized by Google

χρόνῳ ; — 'Αλλά, φησί, τὴν ἄρουράν μου ἐπιβόσκῃ. » 'Ο δέ· « Οὐδέπω ἐβοσκήθην. — 'Αλλ' ἐκ τῆς πηγῆς ἐξ ἧς ἐγὼ πίνω πίνεις. » 'Ο δὲ ἔφη· « Οὔπω ὕδωρ ἔπιον, ἀλλὰ τῆς μητρός μόνης τὸ γάλα πίνω καὶ τρέφομαι. » 'Ο δὲ συλλαβὼν καὶ τρώγων εἶπεν· « 'Αλλ' ἐγὼ ἄδειπνος οὐ μενῶ ἐν τῷ σε πᾶσάν μου ἀφορμὴν λύειν. »

"Οτι γνώμην κακουργοῦ καὶ πονηροῦ πλεονέκτου λόγος οὐ πείθει, κἂν ἀληθὴς ὑπάρχῃ.

5 'Ο δὲ ἔφη· 'Αλλὰ τὴν Bb || ἐπιβόσκῃς Bb || 7 ἐξ ante ἧς om. Bb || ἐγὼ om. Ba || 8 μητρός μου Bb || 10 τὴν ἀφορμὴν Bb || 12 κἂν ἀλήθειαν ὑπάρχει Bb.

223

Λύκος καὶ ἀρνίον.

Λύκος ἀρνίον ἐδίωκε· τὸ δὲ εἴς τι ἱερὸν κατέφυγε. Προσκαλουμένου δὲ αὐτὸ τοῦ λύκου καὶ λέγοντος ὅτι θυσιάσει αὐτὸ ὁ ἱερεύς, εἰ καταλάβῃ, τῷ θεῷ, ἐκεῖνο ἔφη· « 'Αλλ' αἱρετώτερόν μοί ἐστι θεοῦ θυσίαν γενέσθαι ἢ ὑπὸ σοῦ διαφθαρῆναι. »

'Ο λόγος δηλοῖ ὅτι οἷς ἐπίκειται τὸ ἀποθανεῖν κρείττων ἐστὶν ὁ μετὰ δόξης θάνατος.

Codd. Ca 107 Ma 107 Mb 114 Pb 159.

1 Λέων pro λύκος Pb || δίωκεν· ὁ δὲ Ma || τὸ ἱερὸν libri || 2 Προκαλουμένου Pb || αὐτὸν Ma || τοῦ λέοντος Pb || 3 θυσιάζει αὐτὸν ἱερεὺς τῷ θεῷ, ἐκεῖνος Ma || σε pro αὐτό Mb || καταλάβοι Mb || εἰ καταλάβῃ ... ἐκεῖνο om. Pb || ἐκείνῳ Ca || ἔφη πρὸς αὐτόν Ma Pb || 4 αἱρετώτερος Ma || θεοῦ om. Pb || θυσία Ca Mb Pb || εἶναι Ma || 6 "Ολως Ca || δηλοῖ οἷ διάκειται τὸ ἀποθανεῖν κρεῖττόν ἐστιν ὁ εἰς δόξαν θάνατος Ma || 'Ο λόγος δηλοῖ ὅτι οἱ φιλονεικοῦντες τοῖς κρείττοσι τῆς ἑαυτῶν σωτηρίας καταφρονοῦσι Pb quod epim. est fabulae 191 Λαγωοὶ καὶ ἀλώπεκες.

224

Λύκος καὶ γραῦς.

Λύκος λιμώττων περιῄει ζητῶν ἑαυτῷ τροφήν. 'Ως δὲ

Digitized by Google

ἐγένετο κατά τινα ἔπαυλιν, ἀκούσας γραὸς κλαυθμυριζομένῳ παιδὶ διαπειλούσης, ἐὰν μὴ παύσηται, βαλεῖν αὐτὸν λύκῳ, προσέμενεν οἰόμενος ἀληθεύειν αὐτήν. Ἑσπέρας δὲ γενομένης, ὡς οὐδὲν τοῖς λόγοις ἀκόλουθον ἐγίγνετο, ἀπαλλαττόμενος ἔφη πρὸς αὐτόν· « Ἐν ταύτῃ τῇ ἐπαύλει οἱ ἄνθρωποι ἄλλα μὲν λέγουσι, ἄλλα δὲ ποιοῦσιν. »

Οὗτος ὁ λόγος ἁρμόσειεν ἂν πρὸς ἐκείνους τοὺς ἀνθρώπους οἳ τοῖς λόγοις οὐκ ἔχουσι τὰ ἔργα ἀκόλουθα.

Pa 153 Pb 155 Pc 87 Mb 112.

2 κατὰ τὴν Pa || τόπον pro ἔπαυλιν Pb Mb || παιδὶ κλαίοντι ἀπειλουμένης Pb Mb || **3** διαλειπούσης Pa || βαλεῖν αὐτὸν λύκῳ nos βαλεῖν αὐτὸ τῷ λύκῳ Pc καλεῖν αὐτῷ λύκον Pa Mb || ὡς ἂν ..... βάλλειν λύκῳ Pb || **4** προσέμεινεν Pc || οἰόμενος προσέμενεν ἀληθεύειν omisso αὐτήν Pb || **5** ἐγένετο Pb ἦν Mb || **6** πρὸς αὐτόν om. Pb Mb || αὐτόν Pa || οἱ ἄνθρωποι om. Pc || **7** λέγουσιν οἱ ἄνθρωποι Mb || **8** Ὁ λόγος ἁρμόσει τοῖς μὴ τοῖς λόγοις τὰ ἔργα ἔχουσιν ἑπόμενα Pb || Ὁ λόγος ἁρμόσει πρὸς Mb || **9** ἀκόλουθα τὰ ἔργα οὐκ ἔχουσι Pc Mb.

Aliter.

Λύκος λιμώττων περιῄει ζητῶν ἑαυτῷ τροφήν. Γενόμενος δὲ κατά τινα τόπον ἤκουσε παιδίου κλαυθμυρίζοντος καὶ γραὸς ἀπειλουμένης καὶ λεγούσης αὐτῷ· « Παῦσαι τοῦ κλαίειν, μήπως τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. » Οἰόμενος δὲ ὁ λύκος ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο ἐπὶ πολλὴν ὥραν ἐκδεχόμενος. Ὡς δὲ ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον καὶ λεγούσης αὐτῷ· « Ἐὰν ἔλθῃ ἐνταῦθα ὁ λύκος, ὦ τέκνον, φονεύσομεν αὐτόν. » Τούτων ἀκούσας ὁ λύκος, ὡς οὐδὲν

Codd. Ca 104 Ce 75 Cf 79 Cg 4 Ch 79 Mh 72 Ml 104.

1 ἑαυτῷ om. Ch Mh || περιὼν ἐζήτει τροφήν. Ce Cf Ml || Γενομένου δὲ αὐτοῦ Ce Cf Ch Ml || **2** παιδίον κλαυθμυρίζον (-ζων Ce) καὶ γραὸς λεγούσης αὐτῷ καὶ ἀπειλουμένης (-λούσης Ml) Ce Cf Ch Ml || κλαίοντος καὶ γραὸς λεγούσης αὐτῷ Mh || **4** ἐπιδόσω σοι Ce || **5** ἐπὶ ante πολλὴν Ca solus || **6** πολὺν χρόνον Mh || πολλὴν ἐκδεχόμενος ὥραν Cg Ch || **8** Ἐὰν ἐνταῦθα ὁ λύκος ἔλθῃ, ὦ παιδίον (τεκνίον Cf), φονεύσωμεν (ἵνα αὐτὸν φ. Cf) Ce Cf || ἐνταῦθα om. Ch Ml || ὦ τεκνίον Cg Ml || **9** ἵνα φονεύσωμεν αὐτόν, ὦ τέκνον Mh || ἵνα φονεύσωμεν αὐτόν Ca Cg Ch ἵνα αὐτὸν φονεύσωμεν Ml || Ταῦτα ἀκούσας ὁ λύκος ἐπορεύετο λέγων libri excepto Ca.

Digitized by Google

τοῖς λόγοις ἀκόλουθον ἦν, ἀπηλλάττετο λέγων· « Ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ ποιοῦσιν. »

Ὁ μῦθος οὗτος δηλοῖ τοὺς ἀνθρώπους οἵτινες τὰ ἔργα οὐκ ἔχουσι κατὰ τοὺς λόγους.

11 καὶ ἄλλα ποιοῦσιν Ce Cf Ml || **12** Ὁ (ὁ om. Ml) μῦθος δηλοῖ πρὸς ἀνθρώπους Mh Ml Ὁ μῦθος πρὸς ἀνθρώπους Ch || **12-13** Ὁ μῦθος δηλοῖ ὅτι οἱ ψευσταὶ ἄλλα λέγουσι καὶ ἄλλα ποιοῦσιν Ce Ὁ μῦθος δηλοῖ ὅτι οἵτινες τὰ ἔργα κατὰ τοὺς λόγους οὐκ ἔχουσι Cf Ὁ μῦθος πρὸς ἀνθρώπους οἵτινες οὐκ ἔχουσι τοῖς ἔργοις συμφώνους τοὺς λόγους Cg.

Aliter.

Λύκος λιμώττων περιῄει ζητῶν τροφήν. Γενόμενος δὲ κατά τινα τόπον, ἤκουσε παιδίου κλαίοντος καὶ γραὸς λεγούσης αὐτῷ· « Παῦσαι τοῦ κλαίειν· εἰ δὲ μή, τῇ ὥρᾳ ταύτῃ ἐπιδώσω σε τῷ λύκῳ. » Οἰόμενος δὲ ὁ λύκος ὅτι ἀληθεύει ἡ γραῦς, ἵστατο πολλὴν ἐκδεχόμενος ὥραν. Ὡς δ' ἑσπέρα κατέλαβεν, ἀκούει πάλιν τῆς γραὸς κολακευούσης τὸ παιδίον καὶ λεγούσης αὐτῷ· « Ἐὰν ἔλθῃ ὁ λύκος δεῦρο, φονεύσομεν, ὦ τέκνον, αὐτόν. » Ταῦτα ἀκούσας ὁ λύκος ἐπορεύετο λέγων· « Ἐν ταύτῃ τῇ ἐπαύλει ἄλλα μὲν λέγουσιν, ἄλλα δὲ πράττουσιν. »

Ὁ μῦθος πρὸς ἀνθρώπους οἵτινες τὰ ἔργα τοῖς λόγοις οὐκ ἔχουσιν ὅμοια.

Codd. La 142 Lc 51 Lg 51 Ma 180 Md 77 Mg 106 Mm 92.

3 μή πως (-πω Lg) pro εἰ δὲ μή libri exceptis La Mg || **6** παρέλαβεν Lc Lg || **7** ἔλθῃ ἐνταῦθα ὁ λύκος, ἵνα φονεύσωμεν, τέκνον, αὐτόν libri exceptis La Mg || ὧδε pro δεῦρο Mg || **8** ὁ om. Lc || **10** ποιοῦσιν Mm || **11** Ὁ μῦθος δηλοῖ πρὸς ἀνθρώπους οἵτινες τὰ ἔργα οὐκ ἔχουσι κατὰ τοὺς λόγους libri exceptis La Mg.

Aliter.

Λύκος λιμώττων τροφὴν φαγεῖν ἐζήτει.
Τόπον δὲ κατά τιν' αὐτοῦ γενομένου,
παιδὸς κλαυθμυρίζοντος φωνὴν ἀκούει
καὶ γραῦν λεγούσαν τοῦ κλαίειν αὐτῷ παῦσαι,
μήπως ἄρτι δώσω σε φαγεῖν τῷ λύκῳ.
Τὸν λόγον δ' ὡς ἤκουσεν ὁ λύκος τοῦτον,
διατροφὴν ὡς ἔχων ἑτοίμην ἔστη,
καθεῦδον δ' ἐνόμιζε φαγεῖν τὸ βρέφος.

Cod. Cd 79.

2 κατά τινα cod. || **4** γαῦ λεγούσης τοῦ πλαίειν αὐτό cod. || **5** σοι cod. || **7** διατροφὴν nos τροφὴν cod. || **8** καθεύδων cod.

Digitized by Google

Πάλιν ἀκούει, τῆς νυκτὸς μεσαζούσης,
τὴν γραῦν γελῶσαν τὸν παῖδα κολακεύειν·
« Τέκνον, » λέγουσα, « τέκνον ἠγαπημένον,
τὸν λύκον φονεύσομεν, εἰ μόνον ἔλθῃ. »
Ὁ λύκος δ' ὡς ἤκουσε τοὺς λόγους τούτους,
ᾤχετο λέγων· « Ἐν τῇ ἐπαύλει ταύτῃ
ἄλλα λέγουσι, μακρᾶς αἴ αἴ μοι ποίνης,
ἄλλα πράττουσι· φεῦ, πῶς οἴσω τὴν πεῖναν ; »

Λόγος ἁρμόζει πρὸς τοὺς ἀνθρώπους οἳ λόγους οὐκ ἔχουσιν ἴσους τοῖς ἔργοις.

10 τῆς γραῦς γελώσης cod. || **12** φονεύσωμεν cod. || **18** ἴσα pro ἴσους cod.

Aliter.

Αἰτοῦντι τροφὴν νηπίῳ καὶ κλαίοντι ἠπείλησε γραῦς, εἰ μὴ ἡσυχάσαι, τῷ λύκῳ ῥῖψαι. Ὁ δὲ λύκος τὴν γραῦν ἀληθεύειν νομίσας ἐκαρτέρησε μέχρις ἑσπέρας πεινῶν, μηδὲν λαβών. Εἰς δὲ τὴν σύνοικον ἐλθὼν ἠρωτᾶτο πῶς οὐδὲν ἄρας ἦλθεν, ὡς ἀεί. Ὁ δὲ εἶπεν· « Πῶς γάρ τις πιστεύσας γυναικί ; »

Ὅτι κεναῖς ἐλπίσιν ἀπατᾶται ὁ πειθόμενος γυναικῶν ὁμιλίαις.

Codd. Ba 1 Bc 1.

1 τροφὴν om. Bc || ἠπείλει ἡ γραῦς Bc || **4** μηδὲν δὲ Bc || Καὶ εἰς τὴν σύνοικον ἀπελθὼν Bc || πῶς οὐκ εἰσῆλθεν καὶ νῦν ὡς ἀεί Bc || **5** Ὁ δέ· Πότε τις πιστεύσας γυναικὶ ἀβλαβὴς διαμείνει ; Bc || **6** πιστεύσει Ba.

225

Λύκος καὶ ἐρωδιός.

Λύκος καταπιὼν ὀστοῦν περιῄει τὸν ἰασόμενον αὐτὸν ζητῶν. Περιτυχὼν δὲ ἐρωδιῷ, τοῦτον παρεκάλει ἐπὶ μισθῷ

Codd. Pa 151 Pb 153 Pc 85 Mb 110 Ca 102 ex P et L contaminatus.

1 ζητῶν τὸν ἰώμενον (ἰασόμενον Pb) omisso αὐτὸν Pb Mc Ca || **2** ἐροδιῷ Pa ἡρωῷ Mb γεράνῳ Ca.

Digitized by Google

τὸ ὀστοῦν ἐκβαλεῖν. Κἀκεῖνος καθεὶς τὴν ἑαυτοῦ κεφαλὴν εἰς τὴν φάρυγγα αὐτοῦ τὸ ὀστοῦν ἐξέσπασε καὶ τὸν ὡμολογημένον μισθὸν ἀπῄτει. Ὁ δὲ ὑποτυχὼν εἶπεν· « Ὦ οὗτος, οὐκ ἀγαπᾷς ἐκ λύκου στόματος σῴαν τὴν κεφαλὴν ἐξενεγκών, ἀλλὰ καὶ μισθὸν ἀπαιτεῖς; »

Ὁ λόγος δηλοῖ ὅτι μεγίστη παρὰ τοῖς πονηροῖς εὐεργεσίας ἀμοιβὴ τὸ μὴ προσαδικεῖσθαι ὑπ' αὐτῶν.

3 ἐκβαλεῖν Pa ἐξελεῖν ceteri || καταθεὶς Ca || **4** τὸν φάρυγγα Pb Ca || ὁμολογηθέντα Pb Mb Ca || **5** ἐζήτει Pb || ὑποτυχὼν om. Pc ὑπολαβὼν Mb || Ὁ δὲ λύκος φησίν· « Ἀρκεῖ σοι καὶ τὸ μόνον σώαν ἐξελεῖν τὴν κεφαλήν Pb Γελάσας οὖν ὁ λύκος καὶ τοὺς ὀδόντας θήξας· « Ἀρκεῖ σοι, εἶπεν, ἀντὶ μισθοῦ τοῦτο καὶ μόνον ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων ἐξῆξας κάραν σώαν μηδὲν παθοῦσαν Ca || **6** οὐκ ἀρκεῖ σοι ἐκ στόματος λύκου Mb || τὴν κεφαλὴν σώαν Pc || **7** ἐξενέγκαι Pc -κειν Mb || **8** Ὁ μῦθος δηλοῖ ἄνδρας δολίους, οἵτινες ἐκ κινδύνων διασωθέντες τοῦτο παρέχουσι τοῖς εὐεργέταις ἀντὶ χάριτος, τὸ μὴ βλάψαι αὐτούς Ca || **9** εὐεργεσία pro εὐεργεσίας ἀμοιβή Pb.

Aliter.

Λύκος καὶ γέρανος.

Λύκου δὲ λαιμῷ ὀστέον ἐνεπήγει.
Ὁ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν,
εἰ τὴν κεφαλὴν αὐτῷ προσεπιβάλλοι,
ἐξανασπάσων ἐκ λαιμοῦ τὸ ὀστέον.
Ὁ δὲ ἐκβαλὼν τὸν μισθὸν ἐπεζήτει.
Οὗτος γελάσας καὶ τοὺς ὀδόντας θήξας·
« Ἀρκεῖ σοι, εἶπε, μισθὸς τοῦτο καὶ μόνον

Codd. Cg 6 Ch 81 Ca 94 Cb 68 Cd 81 Ce 67 Cf 71 Mc 67.

1 Λύκος Cb || δὲ om. Ca Cd Ce || ποτὲ λιμῷ Ca || γλεμῷ Cd λαιμόν Cf || ὀστέῳ Cb Cf Mc || ἐνεπήγει Cg ἐπάγη Ca ἐπεπήγει ceteri || **2** Τῇ δὲ γεράνῳ Ca Cd Καὶ γεράνῳ Ce || **3** αὐτῆς Ch Ca αὐτοῦ Cd Ce Cf || προσεπιβάλῃ Ch -λοῦσα Ca -λει Cb Mc -λλει Cd προσβάλλει Ce Cf || **4** ἐξανασπάσει ἐκ τοῦ λαιμοῦ αὐτοῦ ὀστοῦν Ca ἐξανασπάσει (-σαι Cf τοῦ ἐξανασπάσαι Ce) ἐκ λαιμοῦ τὸ ὀστέον (-τοῦν Ce) Cb Ce Cf || τὸ om. Cd || **5** Ἡ δὲ ἐκβαλοῦσα Ca || ἐκβάλλων Cf || τοὺς μισθοὺς Ch || **6** Οὗτος Cd Cf Mc Οὕτως Cb Ὅστις Cg Ch || Γελάσας οὖν (δὲ Ce) ὁ λύκος Ca Ce || **7** ἀντὶ μισθοῦ pro μισθὸς Ca || τοῦτο μισθὸς καὶ μόνον Cb || ἔφη· « Ἀρκεῖ σοι ἀντὶ μισθοῦ (-θὸς omisso ἀντὶ Cf) omisso καὶ τοῦτο μόνον Ce Cf.

Digitized by Google

ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων
ἐξῆρας κάραν σῴαν μηδὲν παθοῦσαν. »

Ὁ μῦθος πρὸς ἄνδρας δολίους οἵτινες ἐκ κινδύνων διασωθέντες τοῦτο παρέχουσι τοῖς εὐργέταις ἀντὶ χάριτος, τὸ μὴ βλάψαι αὐτούς.

8 ἐκ στόματος λύκου Ce || τῶν ὀδόντων Cd || **9** ἐξῆξας Ch Ca Cb Cd ἐξῆρξας Cf Mc || ἐξήγαγες σώαν κάραν μηδὲν παθοῦσα ἐναντίον Ce || παθοῦσα ἐναντίον Cf || **10** Ὁ μῦθος δηλοῖ πρὸς Cf Mc || Πρὸς ἄνδρας Cb || ἐκ κινδύνων ... χάριτος om. Cf || **11** τοῦ παρέχειν Cb Mc || τοῖς om. Mc || **12** τοῦ μὴ Ca Cf Mc || αὐτοῖς Cb Cf Mc || **10-12** Οἱ δόλιοι καὶ πανοῦργοι τὸ μὴ βλάψειν τοὺς εὐεργέτας ἀμείβεσθαι μεγάλως οἴονται τούτους Cd Ὁ μῦθος δηλοῖ πρὸς ἄνδρας δολίους μὴ ἐνθυμοῦντάς ποτε φιλίαν φίλου, ἀλλὰ καὶ μᾶλλον προσκρούοντας Ce.

Aliter.

Λύκου δὴ λαιμῷ ὀστέον ἐπεπήγει.
Ὁ δὲ γεράνῳ μισθὸν παρέξειν εἶπεν,
εἰ τὴν κεφαλὴν αὐτῆς ἐπιβαλοῦσα
τὸ ὀστοῦν ἐκ τοῦ λαιμοῦ αὐτοῦ ἐκβάλοι.
Ἡ δ' ἐκβαλοῦσα, δολιχόδειρος οὖσα,
τὸν μισθὸν ἐπεζήτει τῆς ἀκεσίας.
Ὅστις γελάσας καὶ τοὺς ὀδόντας θήξας·
« Ἀρκεῖ σοι μισθός, ἔφη, τοῦτο καὶ μόνον
ὅτι ἐκ λύκου στόματος καὶ ὀδόντων
ἐξῆρας κάραν σῴαν μηδὲν παθοῦσαν. »

Ὁ μῦθος πρὸς ἄνδρας οἵτινες ἀπὸ κινδύνου διασωθέντες τοῖς εὐεργέταις τοιαύτας ἀπονέμουσι χάριτας.

Codd. La 148 Lc 61 Lg 61 Ma 181 Md 78 Mh 73 Mm 93 (uersus restitui).

1 δὴ om. La || **2** εἶπεν om. Lc || **3** κεφαλὴν αὐτοῦ Lc M || **4** ἐκβάλλοι Md ἐκβάλλει Mh Mm || **5** Ὁ δὲ τοῦτ' ἐκβαλὼν δ- ὢν Mm Ἡ δὲ τοῦτ' ἐκβαλοῦσα δ- οὖσα ceteri τοῦτ' eieci || **6** τῆς ἀκαισίας (= ἀκέσεως) Mm om. reliqui || **7** ὀδόντας om. Mm || **8** σοι om. Mh || ἔφη om. Lc Lg Ma Md || μόνος Mh || Ἀρκεῖ σοι, φίλε, μισθὸς τοῦτος μόνον Mm || **11** Ὁ μῦθος δηλοῖ (πρὸς Lg) δολίους ἄνδρας Lc Lg M || ὑπὸ Mh || κινδύνων Lg.

Aliter.

Λύκου λαιμῷ ὀστοῦν ἐνεπάγη. Ὁ δὲ γεράνῳ μισθὸν

Codd. Ba 84 Bb 54.

1 ἐνεπάγει Bb

Digitized by Google

παρέξειν εἶπεν, εἰ τὴν κεφαλὴν βαλὼν τὸ ὀστοῦν ἀνασπάσει καὶ τοῦ πόνου λύσει. Ὁ δὲ βαλὼν τὸν μακρὸν αὐχένα αὐτοῦ τὸ ὀστοῦν βίᾳ ἐξέσπασε, καὶ τοὺς μισθοὺς ᾔτει. Ὁ δὲ λύκος τοὺς ὀδόντας δείξας εἶπεν· « Ἀρκεῖ σοι εἰς μισθὸν ὅτι ἐκ στόματος λύκου κεφαλὴν σῴαν ἐξῆξας. »

Ὅτι γνώμη κακούργου καὶ πονηροῦ πλεονέκτου οὐ ῥᾳδίως μαλαχθήσεται, οὐδὲ τοὺς εὐεργετήσαντας ἀνταμείψεται, κἂν δι᾽ ὅλης τῆς ἡμέρας πάντα τὰ καλὰ αὐτῷ προσενέγκῃς.

2 εἶπεν om. Ba || 3 τὸν μακρὸν αὐχένα αὐτοῦ om. Ba || 5 λύκος om. Ba || In Ba epim. est fabulae praecedentis Λύκος καὶ ἀρήν : Ὅτι γνώμην κακούργου καὶ πονηροῦ πλεονέκτου λόγος οὐ πείθει, κἂν ἀληθὴς ὑπάρχῃ.

226

Λύκος καὶ ἵππος.

Λύκος κατά τινα ἄρουραν ὁδεύων κριθὰς εὗρε· μὴ δυνάμενος δὲ αὐταῖς τροφῇ χρήσασθαι, καταλιπὼν ἀπῄει. Ἵππῳ δὲ συντυχών, τοῦτον ἐπὶ τὴν ἄρουραν ἐπήγαγε λέγων ὡς εὑρὼν κριθὰς αὐτὸς μὲν οὐκ ἔφαγεν, αὐτῷ δὲ ἐφύλαξεν, ἐπεὶ καὶ ἡδέως αὐτοῦ τὸν ψόφον τῶν ὀδόντων ἀκούει. Καὶ ὁ ἵππος ὑποτυχὼν εἶπεν· « Ἀλλ᾽, ὦ οὗτος, εἰ λύκοι κριθῶν τροφῇ χρῆσθαι ἠδύναντο, οὐκ ἄν ποτε τὰ ὦτα τῆς γαστρὸς προέκρινας. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ φύσει πονηροί, κἂν χρηστότητα ἐπαγγέλλωνται, οὐ πιστεύονται.

Codd. Pa 149 Pf 82 Ph 74 Me 105 Mj 99.

1 εὗρε κριθάς libri excepto Pa || 3 ἐπὶ τὴν ἄρουραν ἐκεῖ αὐτὸν ἐκάλει Pf Me Mj || ἐπὶ τὰς ἀρούρας Pa || ἐκάλει Ph || ὃς εὑρὼν Pa || 5 ἐπειδὴ Mj || καὶ δέως Pf || τῶν ψόφων Pa || ἀκούοι Ph || Καὶ ἵππος Pf Me Mj || 6 ἔφη libri excepto Pa || 7 τὰ ὄντα Pa || 9 μῦθος Mj || ἡ φύσει Pf.

227

Λύκος καὶ κύων.

Λύκος ἐν κλοιῷ δεδεμένον ὁρῶν μέγιστον κύνα ἤρετο·

« Δήσας τίς σ' ἐξέθρεψε τοῦτον ; » Ὁ δὲ ἔφη· « Κυνηγός. — Ἀλλὰ τοῦτο μὴ πάθοι λύκος ἐμοὶ φίλος· λιμὸς γὰρ ἢ κλοιοῦ βαρύτης. »

Ὁ λόγος δηλοῖ τὸ ἐν ταῖς συμφοραῖς οὐδὲ γαστρίζεσθαι.

Cod Mb 105.

2 σ' addidit Halm || ἐξέθρευσε cod. || 3 πάθῃ cod. || 4 βάρους cod.

228

Λύκος καὶ λέων.

Λύκος ποτὲ ἄρας πρόβατον ἐκ ποίμνης ἐκόμιζεν εἰς κοίτην. Λέων δὲ αὐτῷ συναντήσας ἀφεῖλε τὸ πρόβατον. Ὁ δὲ πόρρωθεν σταθεὶς εἶπεν· « Ἀδίκως ἀφεῖλου τὸ ἐμόν. » Ὁ δὲ λέων γελάσας ἔφη· « Σοὶ γὰρ δικαίως ὑπὸ φίλου ἐδόθη ; »

[Ὅτι] ἅρπαγας καὶ πλεονέκτας λῃστὰς ἔν τινι πταίσματι κειμένους καὶ ἀλλήλους μεμφομένους ὁ μῦθος ἐλέγχει.

Codd. Ba 85 Bb 55.

1 ποιμνίου Bb || ἐκόμιζεν αὐτὸ Bb || 2 ἀφεῖλω Ba || 4 Σοὶ γὰρ nos Σὺ γὰρ Ba Σὲ γὰρ Bb || 5 ἐδέχθης Ba || 6 ἔν τινι Sternbach ἐνὶ codd. || πταίσματα Ba || 8 λόγος Bb.

Aliter.

Λύκος δέ ποτ' ἄρας ἀρνίον ἐκ ποίμνης
ἀπεκόμιζεν εἰς τὴν ἰδίαν κοίτην.
Λέων δὲ τούτῳ ἐξαίφνης συναντήσας
ἦρεν ἐξ αὐτοῦ αὐτίκα τὸ ἀρνίον.
Στὰς δὲ πόρρωθεν πρὸς αὐτὸν ταῦτα λέγει·
« Ἵνα τί, ἄναξ, ἐξ ἐμοῦ τοῦτο ἦρας ;
πῶς δὲ οὐ τηρεῖς τοὺς θεσμοὺς τοὺς ἀρχαίους,
τοῦ μὴ τυραννεῖν χειρὶ δυνατωτάτῃ,
ἀλλὰ πάντοτε ἐκδικεῖν τοῖς ἀπόροις ; »
Ὁ δὲ γελάσας πρὸς αὐτὸν ταῦτα λέγει·

Cod. Mb 108.

1 δέποτε cod. || ἀρνὸν cod. || 3 τοῦτον cod. || 4 παραυτίκα cod.

Digitized by Google

« Σὺ δέ, ὦ λύκε, δικαίως τοῦτ' ἂν ἔσχες,
εἴ τις τῶν φίλων αὐτὸ κεχάρικέ σοι. »

[Ὅτι] πρὸς πλεονέκτας καὶ ἅρπαγας τοὺς μεμφομένους ἀλλήλοις ὁ μῦθος.

11 τοῦτον ἔσχες ἤ τις cod. correxit Coraës || 12 αὐτὸν κεκεχάρικέ σε cod.

229

Λύκος καὶ ὄνος.

Λύκος τῶν λοιπῶν λύκων ἐκστρατηγήσας
πᾶσιν ἔταξε νόμον αὐτοῖς προτείνας,
ἵνα τις αὐτῶν τιποτοῦν κυνηγήσας
μέσον ἀγάγῃ καὶ μοιράσῃ τοῖς πᾶσι.
Ταῦτα οὖν αὐτοῦ ἀκηκοὼς ὁ ὄνος
χαίτην ἔσεισε καὶ γελῶν ταῦτα ἔφη·
« Καλῶς εἴρηκας, ὦ πρώταρχε τῶν λύκων·
ἀλλὰ πῶς σὺ χθὲς ἣν ἐκράτησας ἄγραν
κοίτῃ παρέθου εἰς τροφὴν σὴν λαθραίως;
Κόμισον ταύτην μερισθῆναι τοῖς πᾶσιν. »
Ὁ δὲ θαμβηθεὶς κατέλυσε τοὺς νόμους.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τοὺς νόμους ὁρίζειν δοκοῦντες ἐν οἷς ἂν ὁρίζωσι καὶ δικάζωσιν οὐκ ἐμμένουσι.

Codd. Ch 82 Cg 7 Ca 111 Cd 82 Ma 182 Md 79 Mh 74 Mm 94.

2 νόμαν Mm || 3 ἵν' εἴ τις Cg ἵν' ὅτι Mm prima manus || κυνηγήσῃ Mm || 4 εἰς μέσον Ca || ἀγαγεῖν καὶ μοιράσαι Cg M || ἀγαγεῖν καὶ μοιράσειν τοῖς ὅλοις Cd || 5 Τούτων οὖν ὄνος ἀκηκοὼς Ca Ὄνου (Ὄνον Ma) δὲ λοιπὸν ἀκηκοότος ταῦτα M || γοῦν Ch Cg Cd || αὐτοῦ ἀκηκοὼς ὁ ὄνος Cg ὄνου αὐτῶν ἀκηκοότος Ch ὄνου αὐτοῦ ἀκηκοότος Cd || 6 τὴν χαίτην Ca || ἔστησε Cd || ἔφη ταῦτα Cg οὕτως ἔφη Cd || 7 Καλὸν Ca || ἔφησας Cd || πρώταρχα Mh || 9 κοίτην Mh || παρέθου τῇ ἰδίᾳ λαθραίως εἰς τροφὴν σήν Ca || pro σὴν habet σου Cd σοι Cg M || λάθραις Cd || 10 Κόμισον ταῦτα Mm || 12 Ὅτι Cg || 13 ὁρίζουσι καὶ δικάζουσιν (-ωσιν Mh) M || 12-13 Δεῖ τοὺς νομοθέτας τηρεῖν τοὺς νόμους, ἵνα καὶ τὸ ὑπήκοον ἅπαν κλίνῃ καὶ τούτοις ὑπακούῃ Cd.

Digitized by Google

Aliter.

Λύκος τῶν λοιπῶν στρατηγήσας λύκων νόμους ἔταξε πᾶσιν, ἵνα ὅ τι ἂν ἕκαστος κυνηγήσῃ, πάντα εἰς μέσον ἄξῃ καὶ μερίδα ἴσην ἑκάστῳ δώσῃ, ὅπως μὴ οἱ λοιποὶ ἐνδεεῖς ὄντες ἀλλήλους κατεσθίωσιν. Ὄνος δὲ παρελθὼν τὴν χαίτην σείσας ἔφη· « Ἐκ φρενὸς λύκου καλὴ γνώμη· ἀλλὰ πῶς σὺ τὴν χθεσινὴν ἄγραν τῇ κοίτῃ ἐναπέθου; Ἄγε ταύτην εἰς μέσον ἀπομερίσας. » Ὁ δὲ ἐλεγχθεὶς τοὺς νόμους ἀνέλυσεν.

Ὅτι αὐτοὶ οἱ τοὺς νόμους δικαίως ὁρίζειν δοκοῦντες καὶ ἐν οἷς ὁρίζουσιν καὶ δικάζουσιν οὐκ ἐμμένουσιν.

Codd. Ba 82 Bb 52.

1 λύκων στρατηγήσας Bb || **2** ὅ τι nos εἴ τι codices || κυνηγήσει .. ἄξει ... δόσει Bb || **4** ἀλλήλως Ba || κατεσθίουσι Bb || **9** δοκοῦνται Ba.

Aliter.

Λύκος τῶν λοιπῶν κρατήσας λύκων νόμους ἔταξε πᾶσι, ἵνα πᾶν ὅ τι ἂν τις θηρεύσῃ, εἰς τὸ μέσον ἀγάγῃ ἐξ ἴσου ἑκάστῳ μερισθησόμενον. Ὄνος δὲ παρελθὼν ἔφη· « Ἐκ φρενὸς λύκου καλὴ γνώμη· ἀλλὰ πῶς χθὲς συναντήσας σοι τὴν ἄγραν εἶδον ἐν τῇ κοίτῃ σου ἀποκρύψαντα; » Ὁ δὲ ἐλεγχθεὶς τοὺς νόμους διέλυσεν.

Cod. Bd 39.

1 λυπῶν pro λύκων cod. || **2** πᾶν ὅ τι ἄν τις nos πᾶν ὃ ἐάν τις cod.

230

Λύκος καὶ Ποιμήν.

Λύκος ἀκολουθῶν ποίμνῃ προβάτων οὐδὲν ἠδίκει. Ὁ δὲ ποιμὴν κατὰ μὲν ἀρχὰς ἐφυλάττετο αὐτὸν ὡς πολέμιον καὶ δεδοικὼς παρετηρεῖτο. Ἐπεὶ δὲ συνεχῶς ἐκεῖνος παρε-

Codd. Pa 155 Pf 84 Ma 105 Me 107 Mf 90 Mj 101 Ca 105.

2 κατ' ἀρχὰς μὲν Ca || τὰς ἀρχὰς Me Mf || ὡς ἐχθρὸν Pf Me Mf Mj || **3** παρετηρεῖτο .... ἐκεῖνος om. Ma || Ἐπειδὴ συνεχῶς κἀκεῖνος Pa || ἐκεῖνος πορευόμενος (πορ- om. Pf) οὐδὲν ἠδίκει, ἀλλ' οὔτε ἀρχὴν τοῦ ἁρπάζειν ἐνεχειρεῖτο, τηνικαῦτα ἐν νῷ θήσας (θεὶς Me Mf) φύλακα μᾶλλον εἶναι αὐτὸν Pf Me Mf Mj.

Digitized by Google

πόμενος οὐδ' ἀρχὴν ἁρπάζειν ἐπεχείρει, τὸ τηνικαῦτα νοήσας φύλακα μᾶλλον αὐτὸν εἶναι ἢ ἐπίβουλον, ἐπειδὴ χρεία τις αὐτὸν κατέλαβεν εἰς ἄστυ παραγενέσθαι, καταλιπὼν παρ' αὐτῷ τὰ πρόβατα ἀπηλλάγη. Καὶ ὃς καιρὸν ἔχειν ὑπολαβὼν τὰ πλεῖστα εἰσπεσὼν διεφόρησεν. Ὁ δὲ ποιμὴν ἐπανελθὼν καὶ θεασάμενος τὴν ποίμνην διεφθαρμένην ἔφη· « Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ λύκῳ πρόβατα ἐπίστευον ; »

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ τοῖς φιλαργύροις τὴν παρακαταθήκην ἐγχειρίζοντες εἰκότως ἀποστεροῦνται.

4 οὐδὲν κατ' ἀρχὰς Ma || ἀρχὴν om. Ca || **5** αὐτόν νοήσας Ma || εἶναι om. Pa || ἐπεὶ δὲ Ca || **6** τι pro ἄστυ Ma || κατέλειπε omisso ἀπηλλάγη Ma || **7** ἀπῆλθεν Pf Me Mf Mj || ἀπηλλάγη ... διεφόρησεν om. Ma || Ὁ δέ, ὡς καιρὸν Pf Me Mf Mj || Καὶ ὡς καιρὸν εἶχεν Ca || **8** τὰ πλείω διέφθειρεν Pf Me Mf Mj Ca || εἰσπεσὼν Sternbach πεσὼν Pa om. ceteri || **10** Ἀλλ' ἔγωγε om. Pf Me Mf Mj || ἐγὼ Ca || **12** Ὁ μῦθος δηλοῖ ὅτι Mj || φιλαργύροις καὶ πλεονέκταις Pf Me Mf Mj || τὰς παρακαταθήκας Pf Me Mf Mj || οἱ τοῖς φίλοις γυθὴ ἐγχειρίζονται παρ' ἑτέρους Ma || φιλαργύροις ἀπώλεια γενήσεται ceteris omissis Ca.

231

Λύκος ⟨κεκορεσμένος⟩ καὶ πρόβατον.

Λύκος τροφῆς κεκορεσμένος, ἐπειδὴ ἐθεάσατο πρόβατον ἐπὶ γῆς βεβλημένον, αἰσθόμενος ὅτι διὰ τὸν ἑαυτοῦ φόβον πέπτωκε, προσελθὼν παρεθάρσυνεν αὐτό, λέγων ὡς, ἐὰν αὐτῷ τρεῖς λόγους ἀληθεῖς εἴπῃ, ἀπολύσει αὐτό. ⟨Τὸ⟩ δὲ ἀρξάμενον ἔλεγε πρῶτον μὲν μὴ βεβουλῆσθαι αὐτῷ περιτυχεῖν, δεύτερον δέ, εἰ ἄρα τοῦτο ἥμαρτε, τυφλῷ, τρίτον

Codd. Pa 154, Pb 156 Pc 88 Mb 113.

1 παιδίον pro πρόβατον Pb || **2** τῆς γῆς Pc || αὐτοῦ Pc || **3** ἐπεπτώκει Pb || προελθὼν Pc || παρεθάρρυνεν Pb || αὐτόν Mb || ἂν τρεῖς λόγους ἀληθεῖς αὐτῷ Pb || **4** τρεῖς ἀληθεῖς αὐτῷ λόγους Mb || εἴπῃ om. Pa || ἀπολύσῃ Pa -ύει Pb -ύειν Mb || αὐτὸν Mb || ἀπολύσῃ, αὐτὸ δὲ Pa || Αὐτὸ δὲ Pc || Καὶ ἀρξάμενος ἔλεγε πρῶτον μὴ βούλεσθαι Pb || Καὶ ἀρξάμενον ἔλεγε ὡς μὴ βουλόμενον αὐτῷ περιτυχεῖν περιέπεσε Mb || **6** δεύτερον παραπλησίως ἡμαρτηκέναι τυφλῷ Pb || τούτῳ εἵμαρται μεῖναι τυφλῷ Mb || τυφλόν Pa τυφλώττοι Pc.

Digitized by Google

δὲ ὅτι « κακοὶ κακῶς ἀπόλοισθε πάντες οἱ λύκοι, ὅτι μηδὲν παθόντες ὑφ' ἡμῶν κακῶς πολεμεῖτε ἡμᾶς. » Καὶ ὁ λύκος ἀποδεξάμενος αὐτοῦ τὸ ἀψευδὲς ἀπέλυσεν αὐτό.

Ὁ λόγος δηλοῖ ὅτι πολλάκις ἀλήθεια καὶ παρὰ πολεμίοις ἰσχύει.

7 δὲ ὅτι om. Pb || ὅτι om. Mb || ἀπόλοισθε Sternbach -όλυσθε Pa -όλλυσθε Pc -ολοῦνται Pb Mb || μηδὲν κακὸν παθόντες Mb || 8 κακῶς Pb κακὸν ceteri || 9 τὸ ἀψευδὲς αὐτοῦ Pb Mb || αὐτό om. Pc || 10 ἡ ἀλήθεια Pb || Epim. om. Pc.

Aliter.

Λύκος καὶ ἀλώπηξ.

Εἰς λύκον ἀλώπηξ ἐνέπεσεν· ἐδυσώπει δὲ ὡς γραῦν αὐτὴν οὖσαν μὴ ἀποκτεῖναι. Ὁ δὲ λύκος ἔφη· « Εἰ τρεῖς λόγους ἀληθεῖς εἴπῃς μοι, ἀπολυθήσῃ. » Ἡ δὲ εἶπεν· « Εἴθε μή σοι συνήντησα· εἰ δὲ συνήντησα, τυφλόν σε ὑπήντησα καὶ μηδαμῶς τῇ ὥρᾳ ταύτῃ ζήσαις καὶ πάλιν συναντήσαις μοι. »

Ὅτι ἐν περιστάσει τις ἐμπεσὼν καὶ τὰς κεκρυμμένας τῆς ψυχῆς βουλὰς ἐξάγει.

Codd. Ba 31 Bb 20 Mg 58.

3 εἴποις Mg || ἀπολυθείσῃ Ba || 4 σε συνήντισα καὶ μηδαμῶς τῇ ὥρᾳ ταύτῃ ζήσῃς μή πως καὶ πάλιν συναντήσῃς μοι Bb || 5 ζήσῃς... συναντήσῃς codd. || 7 Ba in initio et Bb in fine habent hoc epim. Ὅτι τινὲς ἐπ' ἀλλοτρίοις πόνοις καὶ πλούτῳ καυχώμενοι μεγὰ φρονοῦσι ὡς αὐτοὶ χειμασθέντες ἐν αὐτοῖς quod non conuenit; sed uerum epim. inest in Ba in fine et in Bb fabulae sequenti affixum.

Aliter.

Εἰς λύκου χεῖρας ἀλώπηξ ἐνέπεσεν, ἣ καὶ τὴν τοῦ γήρως προβαλλομένη ἀσθένειαν ἀπολῦσαι ἐδυσώπει. Ὁ δὲ λύκος ἀντέφησεν· « Ἄλλως οὐκ ἐπιτεύξῃ σου τοῦ αἰτήματος, εἰ μή γε πρῶτον τρεῖς ἀληθεῖς ἐξείπῃς μοι λόγους. » Ἡ δὲ εἶπεν· « Εἴθε μή σοι συνήντησα· εἰ δὲ συνήντησα, τυφλῷ σοι ἐνέτυχον· μηδαμῶς δὲ τῆς ὥρας ταύτης τὸ ζῆν σοι [μὴ] ἐπεβραβεύθη· ἴσως γὰρ πάλιν, εἰ ἐν βίῳ τούτῳ προσμενεῖς, τὴν ἐμὴν ψυχὴν ἐκθροήσεις. »

Cod. Bc 25.

7 μὴ inclusi || 8 προσμείνεις cod. || Epim. Rochefort omisit neque ego legere potui.

Digitized by Google

Aliter.

Εἷς λύκου χεῖρας γραῦς ἀλώπηξ ἐνέπεσεν. Ἡ δὲ τοῦτον ἐδυσώπει μὴ ἀποκτεῖναι αὐτήν. Ὁ δὲ λύκος ἔφη· « Εἰ τρεῖς ἀληθεῖς λόγους εἴποις μοι, ἀπολύσω σε. » Ἡ δὲ ἔλεγε· « Εἴθε μηδαμῶς σοι συνήντησα· εἰ δὲ συνήντησα, τυφλῷ σοι συνήντησα, καὶ εἴθε μοι τῇ ὥρᾳ ταύτῃ ἀπέθνῃσκες, ἵνα μὴ πάλιν συνήντησάς μοι. »

Cod. Bd 15.

6 συνάντησάς cod.

Aliter.

Ἀλώπηξ ἐμπεσοῦσά ποτε εἰς λύκον
ἐδυσώπει ὥστε γραῦν αὐτὴν μὴ κτεῖναι.
Ὁ δὲ πρὸς αὐτὴν ταῦτα οὕτως ἐβόα·
« Εἰ τρεῖς ἀληθεῖς λόγους νῦν μοι προσείπῃς,
εὐθὺς ἐγώ σε συντόμως ἀπολύσω. »
Εἶτα πρὸς αὐτὸν ἀντέφησεν ἀλώπηξ·
« Εἴθε μή, λύκε, μηδαμῶς σε συνήντων·
εἰ δὲ καὶ συνήντων, τυφλόν σε ὑπήντων·
καὶ νῦν μὴ ζήσαις πάλιν τῇ ὥρᾳ ταύτῃ,
καὶ μή ποτ' αὖθις συναντήσαις μοι, λύκε. »

Ὅτι ἐν περιστάσει τις ἐμπεσὼν καὶ τὰς κεκρυμμένας τῆς ψυχῆς βουλὰς ἐξάγει.

Cod. Mb 4.

1 ἐμπεσοῦσά ποτε εἰς λάκκον, τὸν λύκον παραστάντα ἐδυσώπει cod. || 2 ὥστε nos ὡς cod. || γραῦ ἀντὴν μικτεῖναι cod. || 5 ἀπελύσω cod. || 6 ἀντέφυσεν cod. || 7 μοι pro μὴ cod. || 8 τυφλὸν ἄν σε cod. || 9 ζήσεις cod. || 10 συναντήσῃς cod.

232

Λύκος ⟨τετρωμένος⟩ καὶ πρόβατον.

Λύκος ὑπὸ κυνῶν δηχθεὶς καὶ κακῶς διατεθεὶς ἐβέβλητο

Codd. Pa 156 Pb 157 Pc 89 Pf 85 Me 108 Mf 92 Mj 102.

1 δαχθεὶς Mj || ἐκβέβλητο Pa.

Digitized by Google

τροφὴν ἑαυτῷ περιποιεῖσθαι μὴ δυνάμενος· καὶ δὴ θεασάμενος πρόβατον, τούτου ἐδεήθη ποτὸν αὐτῷ ὀρέξαι ἐκ τοῦ παραρρέοντος ποταμοῦ· « Ἐὰν γάρ σύ μοι ποτὸν δῷς, ἐγὼ τὴν τροφὴν ἐμαυτῷ εὑρήσω. » Τὸ δὲ ὑποτυχὸν ἔφη· « Ἐὰν ποτόν σοι ἐπιδώσω ἐγώ, σὺ καὶ τροφῇ μοι χρήσῃ. »

Πρὸς ἄνδρα κακοῦργον δι' ὑποκρίσεως ἐνεδρεύοντα ὁ λόγος εὔκαιρος.

2 τροφὰς Pa τροφῆς δὲ ἀπορῶν Me || περιποιεῖσθαι ἑαυτῷ Me Mf || περιποιούμενος omisso μὴ δυνάμενος Pb || Θεασάμενος δὲ Pb Pf M || 3 τούτου ... ἐκ τοῦ om. Pa || ἐδέετο Pf Me Mf ἐδεῖτο Mj || 4 παραρέοντος Pa περιρρέοντος Pb || Ἐὰν γὰρ ... Τὸ δὲ om. Pa || Ἐὰν γὰρ ... εὑρήσω om. Pc || σύ μοι, φησί Pf M || δώῃς Pf Mj || 5 ἑαυτῷ Pf M || εὑρίσκω Pb || Ὁ δὲ ὑποτυχὼν Pf Me Mf || ὑποτυχὸν om. Pc ὑποτυχὼν Pa || εἶπεν Pc Pf M || Εἰ ποτόν σοι ἐγὼ παρέξω Pc || 6 ἐγὼ ἐπιδώσω Pb || σοι ἐγὼ ἐπιδῶ Pf Mj || ἐγώ σοι ἐπιδῶ Me Mf || σὺ om. Pa Pb || τροφήν με χρή Pb || χρή Pa || 7 Ὁ μῦθος δηλοῖ πρὸς Mf || ἐνέδραν μηχανώμενον (-νου Pf) ποιεῖν (εἴποι Mj) Pf M || ὁ λόγος εὔκαιρος om. Pf M.

Aliter.

Λύκος ὑπὸ κυνῶν δηχθεὶς καὶ κακῶς πάσχων ἐβέβλητο. Τροφῆς δὲ ἀπορῶν, θεασάμενος πρόβατον, ἐδεῖτο ποτὸν ἐκ τοῦ παραρρέοντος αὐτῷ ποταμοῦ κομίσαι. « Εἰ γάρ σύ μοι, φησί, δώσεις ποτόν, ἐγὼ τροφὴν ἐμαυτῷ εὑρήσω. » Τὸ δὲ ὑποτυχὸν ἔφη· « Ἀλλ' ἐὰν ἐγὼ ποτὸν ἐπιδῶ σοι, σὺ καὶ τροφῇ μοι χρήσῃ. »

Ὁ μῦθος πρὸς ἄνδρα κακοῦργον δι' ὑποκρίσεως ἐνεδρεύοντα.

Codd. La 110 Lb 78 Le 78 Lf 110 Lh 35 Ml 98.

1 κυνὸς Ml || 3 ποταμοῦ αὐτῷ Ml || αὐτῷ om. Le || 4 μὴ δώσεις Le || 5 ὑποτυχὼν Le ἐπι- Lf ὑπολαβὸν Ml.

233

Λύχνος.

Μεθύων λύχνος ἐλαίῳ καὶ φέγγων ἐκαυχᾶτο ὡς ὑπὲρ ἥλιον πλέον λάμπει. Ἀνέμου δὲ πνοῆς συρισάσης, εὐθὺς

Codd. Ba 90 Bb 58.

1 ἐν ἐλαίῳ Bb || ἐκαυχαῦτο Bb || 2 πνοῆς συρρεύσαντος libri.

Digitized by Google

ἐσβέσθη. Ἐκ δευτέρου δὲ ἅπτων τις εἶπεν αὐτῷ· « Φαῖνε, λύχνε, καὶ σίγα· τῶν ἀστέρων τὸ φέγγος οὔποτε ἐκλείπει. »

Ὅτι οὐ δεῖ τινα ἐν ταῖς δόξαις καὶ τοῖς λαμπροῖς τοῦ βίου τυφοῦσθαι· ὅσα γὰρ ἂν κτήσηταί τις, ξένα τυγχάνει.

3 δὲ om. Ba. || 4 ἐκλίπει Ba || 5 ἐν τοῖς λαμπροῖς καὶ τῇ δόξῃ Bb || 6 κτῆσαι Bb.

234

Μάντις.

Μάντις ἐπὶ τῆς ἀγορᾶς καθεζόμενος ἠργυρολόγει. Ἐλθόντος δέ τινος αἰφνίδιον πρὸς αὐτὸν καὶ ἀπαγγείλαντος ὡς τῆς οἰκίας αὐτοῦ αἱ θύραι ἀνεσπασμέναι εἰσὶ καὶ πάντα τὰ ἔνδον ἐκπεφορημένα, ἐκταραχθεὶς ἀνεπήδησε καὶ στενάξας ᾔει δρόμῳ τὸ γεγονὸς ὀψόμενος. Τῶν δὲ παρατυχόντων τις θεασάμενος εἶπεν· « Ὦ οὗτος, σὺ τὰ ἀλλότρια

Codd. Pa 158 Pc 90 Pf 86 Pg 100 Ma 109 Mb 119 Me 110 Mf 93 Mj 103 — Ca 113 Cb 71 Ce 78 Cf 82 Cg 10 Ch 85 Mh 75.

1 Μάντης ἐπὶ ἀγόρασιν ἐπὶ τῆς ἀγορᾶς Cf || καθήμενος Pf Me Mf Mj Cg || ἠργολόγει Ce Cf Mh ἡρμολόγει Pc || 2 Αἰφνίδιον δέ τινος αὐτῷ ἀπαγγείλαντος (ἐπιστάντος Me Mf) Pf Me Mf Mj || αἰφνηδίως Cb -ίου Cf || ἀπαγγείλαντα Cf εἰπόντος Cb Ce || αἰφνίδιον καὶ εἰπόντος πρὸς αὐτὸν ὡς αἱ θύραι τῆς οἰκίας αὐτοῦ Cg || 3 θυρίδαι Ce -ίδες Cf θύραι καὶ αἱ (αἱ om. Mf) θυρίδες Me Mf || ἀναπεπασμέναι Pg -πετασμέναι Ce -πεπτασμέναι Ca Cf -πεπταμέναι Cg -πεπετασμέναι Mb Mh ἀνεῳγμέναι Ch || ἀναπεπτασμέναι θύραι εἰσὺ Cb || ἀναπεπταμέναι τε πᾶσαι εἶεν Me Mf || ἦσαν Pa Pc Pf Mj || πάντα ἔνδοθεν (ἔνδον Ma) Pf Ma Me Mf Mj || πάντων τῶν ἔνδων ἐκφορημένων Cb || 4 ἐκφορημένα τὰ ἔνδον Mb || ἐκπεφαγοημένα Pc ἐκρεριμμένα Pf Mj ἐκφορημένα Ca ἀφῃρημένα Ce Cf Me Mf || ἐκ ταραχῆς Pg ἐκταραχθεὶς δὲ Cb || ἀπεπήδησε ταραχθεὶς Mh || 5 ἔτι pro ᾔει Pa || δρόμῳ ἔθει Pc || ἀπῄει Pf Pg Mb Ca Cb ἀπείη Me || δρομαίως Pg Cb Cg Ch Mh δρομαῖος Mb Ca || ἐν (omisso ᾔει) δρόμῳ τὸ γ. ὀ. ἐπείγετο Ma || ἐπεὶ δρομέως ἔτρεχεν, θεασάμενός τις (τὶς θε- Cf) εἶπεν Ce Cf || Καί τις τῶν παρατυχόντων ἔφη πρὸς αὐτόν Pf Me Mf Mj || ὑποτυχόντων Cb Cg Ch περιτυχόντων Ma || παρατυχόντων καὶ θεασαμένων τις Ca || 6 θεασάμενος αὐτὸν Mh || Ὦ οὗτος om. Pf Me Mf Mj || ὁ (ὁ om. Mf) τὰ ἀλλότρια προειδέναι ἀπαγγελλόμενος, πῶς τὰ σεαυτοῦ οὐ προεμαντεύσω; Pf Me Mf Mj || ὁ pro σὺ Mb Ca Cg || ἀλλότερα Cf.

Digitized by Google

πράγματα προειδέναι ἐπαγγελλόμενος τὰ σαυτοῦ οὐ προεμαντεύου; »

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἐκείνους τοὺς ἀνθρώπους τοὺς τὸν ἑαυτῶν βίον φαύλως διοικοῦντας καὶ τῶν μηδὲν προσηκόντων προνοεῖσθαι πειρωμένους.

7 προειδέναι om. Cg || εἰδέναι Cb || ἐπαγγειλάμενος Pc Cb Ce Cf Mh -γελόμενος Ca || τὰς αὐτοῦ Pa Ma τὰ (τὰ om. Ca) ἑαυτοῦ Ca Ce Cf Mh || οὐ om. Pa || 9 Ὁ (Ὁ om. Cg) μῦθος δηλοῖ (δ- ὅτι Mj) πρὸς Cf Cg Mj || Ὁ μῦθος δηλοῖ ὅτι τούτῳ Ch || Οὕτω pro τούτῳ Pa οὕτο Cb || 10 ἀνθρώπους οἳ (ὃν Cb οἵτινες Ca) τὸν (τῶν Cb Cf) ἑαυτῶν (αὐτὸν Ma) βίον φαύλως (φαῦλον Cb Ma) διοικοῦντες (διοῖχο Cf) τῶν μηδὲν (τῶν δὲ μὴ Cf τῶν μηδὲ Cb) αὐτοῖς (αὐτοῖς om. Mb Ca) προσηκόντων προνοεῖσθαι (-νοῆσαι Ca) πειρῶνται· Pg Ma Mb Ca Cb Cf Cg Ch || τοὺς post ἀνθρώπους om. Pa || 11 μηδέν τι Pc || 9-11 Πρὸς τοὺς τὰ οἰκεῖα διοικεῖν μὴ ἐπισταμένους (-νου Pf), τῶν δὲ ἀλλοτρίων προνοεῖσθαι πειρωμένους Pf Mb Mf Mj || Ὁ μῦθος δηλοῖ ὅτι οἱ τὸν ἑαυτῶν βίον φαύλως διηκοῦντες τῶν μηδὲν προσηκόντων προνοῆσαι πειρῶνται καὶ ἑτέρους ἐλέγχουσι Ce Ὁ μῦθος δηλοῖ ἐκείνους οἵτινες τῶν οἰκείων μὴ προνοούμενοι τῶν μὴ προσηκόντων προνοεῖσθαι πειρῶνται Mh.

Aliter.

Μάντις ἐπ' ἀγορᾶς καθήμενος διελέγετο. Ἐπιστάντος δέ τινος αἴφνης καὶ ἀπαγγείλαντος ὡς αἱ τῆς οἰκίας αὐτοῦ θυρίδες ἀναπεπταμέναι τε πᾶσαι εἶεν καὶ πάντα τὰ ἔνδον ἀφῃρημένα, ἀνεπήδησέ τε στενάξας καὶ δρομαῖος ᾔει. Τρέχοντα δέ τις αὐτὸν θεασάμενος· « Ὦ οὗτος, εἶπεν, ὁ τἀλλότρια πράγματα προειδέναι ἐπαγγελλόμενος, τὰ σαυτοῦ οὐ προεμαντεύου; »

Ὁ μῦθος πρὸς τοὺς τὸν μὲν ἑαυτῶν βίον φαύλως διοικοῦντας, τῶν δὲ μηδὲν αὐτοῖς προσηκόντων προνοεῖσθαι πειρωμένους.

Codd. La 40 Lb 81 Lc 19 Ld 25 Le 80 Lf 40 Lg 19 Mc 69 Md 80 Mg 102 Ml 106 Mm 96 Mn 25.

1 ἐπ' ἀγορᾷ Lg Mc || καθεζόμενος Ld Lf Mc Mm Mn || 2 καὶ post αἴφνης om. Ld[1] Mn || 3 θύρες ἀναπετασμέναι Mm || τε om. Ld Mc || τε πᾶσαι om. Mn || 4 ἀνεστέναξε (-ζέ Mc) τε καὶ δρομαῖος omisso ἀνεπήδησε Mc Md Mm || ἀναστενάζεται omisso ἀνεπήδησέ τε Mn || δρομαίως Mn || εἴη Lf Mc || 5 Τρέχοντά τε Ld || 6 τὰ ἀλλότρια Mm || προεπαγγελλόμενος εἰδέναι Le || 7 προεμαντεύσω Ld Lf Mm Mn || 8 Ὁ μῦθος δηλοῖ πρὸς Lc || τοὺς om. Le || 9 διοικοῦντες Mn -των Mc Md || 10 πειρωμένων Lb[1] Le Mc Md Mm Mn.

Aliter.

Μάντις ὢν ἐν ἀγορᾷ λέγει μαντείας,
ἑκάστῳ ταύταις ἀγορεύων τὸ μέλλον.
Ἐξαίφνης δέ τις πρὸς αὐτὸν ἧκεν ⟨λέγων⟩
ὡς οἰκία ἤνοικται καὶ τἄνδον φροῦδα.
Ὁ δὲ ἀνεπήδησε τεταραγμένος
καὶ μεγάλα στενάξας ταχέως τρέχει.
Τὴν δὲ κατιδὼν ἐκπλήττεται μεγάλως·
ἀφήρπαστο γὰρ πάντα ⟨τὰ⟩ τῆς οἰκίας.
Ἀλλὰ ἕτερος ἐκεῖ παριὼν ἔφη·
« Εἰ τὰ ἀλλότρια, φεῦ, προεμαντεύου,
πῶς τὰ ἴδια παντελῶς οὐ προεῖδες ; »

Ἑρ.

Ὁ φαλακρὸς πῶς ἄλλῳ μαλλοὺς ποιήσει ;
Οὐκ ἔξεστιν. Ὁ δὲ κενοὺς λόγους λέγων
οὐδὲ ἑαυτὸν δύναται ὠφελῆσαι.

Cod. Cd 85.

2 ἑκάστῳ ταύταις nos ἕκαστον τούτων cod. || **3** Ἐξαίφνης nos Αἰφνίδιον cod. || λέγων addidi || **6** μεγάλα nos μέγα cod. || **7** κατιδὼν ἐκπλήττεται μεγάλως nos θεασάμενος ἐκπλήττη μέγα cod. || **8** τὰ addidi || **10** Εἰ τὰ ἀλλότρια nos Εἴτ' ἀλλοτρίων cod. || **11** τὰ ἴδια nos τῶν ἰδίων cod. || **12** Ἑρ. = Ἑρμηνεία || **13** ἄλλῳ nos ἑτέρῳ cod. || **14** Οὐκ ἔξεστιν. Ὁ δὲ κένους nos Οὔτ' ἐστὶν ὁ κενοὺς cod. || ἑαυτὸν δύναται ὠφελῆσαι nos αὐτῶν ὠφελῆσαι δύναται cod.

235

Μέλισσαι καὶ Ζεύς.

Μέλισσαι φθονήσασαι ἀνθρώποις τοῦ ἰδίου μέλιτος ἧκον πρὸς τὸν Δία καὶ τούτου ἐδέοντο ὅπως αὐταῖς ἰσχὺν παράσχηται παιούσαις τοῖς κέντροις τοὺς προσιόντας τοῖς κηρίοις ἀναιρεῖν. Καὶ ὁ Ζεὺς ἀγανακτήσας κατ' αὐτῶν διὰ τὴν βασκανίαν παρεσκεύασεν αὐτάς, ἡνίκα ἂν τύπτωσί

Codd. Pa 160 Pb 161 Pc 91 Pg 101 Ma 110.

1 φθονήσασαι om. Ma || παρὰ τοῦ ἰδίου Pc || ἰδίου ἔργου Pg || μέλιτος, ἐπεὶ παρεῖχον, εἴχων πρὸς τὸν Δία Ma || **2** αὐταῖς om. Pa || **3** παράσχηται αὐταῖς, omisso παιούσαις Pb || παράσχοι Pg -χει Ma || τοὺς π. τ. κηρίοις om. Ma || τῆς κηρίοις Pb || **5** τινας τύπτωσι Pb.

Digitized by Google

τινα, τὸ κέντρον ἀποβαλεῖν, μετὰ δὲ τοῦτο καὶ τῆς σωτηρίας στερίσκεσθαι.

Οὗτος ὁ λόγος ἁρμόσειεν ἂν πρὸς ἄνδρας βασκάνους οἳ καὶ αὐτοὶ βλάπτεσθαι ὑπομένουσιν.

6 τινα Ma τινας ceteri || τῶν κέντρων Pa || ἀποβάλλειν Pb Pc || τῆς om. Pb Pc Ma || **7** στερήσκεσθαι Pa || **8** Ὁ λόγος οὗτος Pg Ὁ λόγος Pb Pc || ἁρμόσει Pb Pc Pg || ἂν om. Pb Pc Pg Ma || **9** ὑπομένουσι πρὸς τὸ ἐμπλῆσαι τὸ οἰκεῖον πάθος Pg.

Aliter.

Μέλισσα καὶ Ζεύς.

Μέλισσα πάλαι κηρίων μήτηρ οὖσα
ἀνελήλυθεν εἰς θεοὺς θυμιᾶσαι
προσαγαγοῦσα ἐκ μέλιτος τὸ δῶρον.
Τερφθεὶς δὲ ὁ Ζεὺς τῇ προσφορᾷ μελίσσης
συνετάξατο δοῦναι ὃ ἂν αἰτήσῃ.
Ἡ δὲ πρὸς αὐτὸν ἐδέετο βοῶσα·
« Ὦ θεὲ λαμπρὲ καὶ κτίστα τῆς μελίσσης,
ἐπίδος κέντρον τῇ σῇ θεραπαινίδι,
ἵν' ἐάν τις τῷ οἴκῳ μου πλησιάσῃ
τοῦ ἆραι μέλι, αὐτὸν ἐγὼ φονεύσω. »
Ἀπειρηκὼς δὲ ὁ Ζεὺς πρὸς τὰς αἰτήσεις,
ἐπεὶ ἐφίλει ἀνθρώπων γένος πάνυ,

Codd. Cg 14 Ch 89 Ca 114 Cb 74 Cd 89 Mb 118 Mc 73.

1 πάλιν Cg Ch Mb Mc || μήτηρ κηρίων οὖσα Ca Cb Cd Mb Mc || οὖσα μήτηρ Ch || **2** πρὸς θεοὺς Cb || **3** τὸ δῶρον ἐκ μέλιτος προσαγαγοῦσα Mc || προσάγουσα Cb || **4** Ὡς τεφθεὶς δὲ Cg || Ὁ Ζεὺς δὲ τερφθεὶς προσφορᾷ Mb || τὴν προσφορὰν Cg Cb Cd Mc || τῆς μελίσσης Ca Mb || **5** δοῦναι αὐτῇ (-τῆς Cb -τὴν Mc) Cg Cb Mc || αὐτῇ δοῦναι Ca || ἐὰν Cb || ταύτην κελεύει ζητῆσαι τὰ χρειώδη Cd συνετάξατο γέρας ταύτῃ παρέξαι ὅσον ἂν αὐτὴ ἡ μέλισσα αἰτήσει Mb || **6** Ἡ δὲ φθονήσασα ἀνθρώποις τοῦ ἰδίου ἔργου ἐδέετο βοῶσα πρὸς τὸν Δία Mb || 7 κτίστα ἐμοῦ Ca || Λαμπρὲ ποιητὰ τῆς μελίσσης, omisso ὦ θεὲ Mb || **8** κέντρῳ Cd || Ἐπίδος μὲν πρώτῃ τῇ σῇ θεραπαινίδι, omisso κέντρον Mc. || **9** ex Ca sumpsi || ἵνα om. Cb Mb || εἴ τις ἀνθρώπων ἀδικῶν πλησιάσῃ Cg εἴ τις ἀνὴρ οἶκόν μου πλησιάσει Ch ἤν τις ἀνθρώπων οἴκῳ (οἶκον Cb Mc) μου πλησιάσῃ (-σει Cb Mc) Cb Cd Mb Mc || **10** ἐγὼ αὐτὸν Mc || φονεύω Ca || ἆραί με μέλλων ἢ τὰ ἐμὰ κηρία, τοῦτον ἀνερεῖν δ' αὐτὸν δὲ παραυτίκα Mb || **11** Ἀπηρέσθη δὲ ὁ Ζεὺς πρὸς τῇ αἰτήσει Mb Ὁ δὲ Ζεὺς οὐκ εἰθέλησεν ὑπακοῦσαι Mc || **12** τὸ τῶν ἀνθρώπων γένος Ca || πάντης Cd.

Digitized by Google

εἶτα ἔφησε τῇ μελίσσῃ τοιάδε·
« Οὐχ ὡς ᾔτησας οὕτως γενήσεταί σοι,
ἀλλ' ἄν τις ἥκῃ λαβεῖν ἀπὸ σοῦ μέλι,
σὺ δὲ πετάσῃς ἵνα πλήξῃς ἐκεῖνον,
εὐθὺς τεθνήξῃ, ἐκβληθέντος τοῦ κέντρου·
ζωὴ γὰρ ἐν σοὶ ἐνυπάρχει τὸ κέντρον. »
Ὁ μῦθος δηλοῖ ὅτι
ἐν ταῖς εὐχαῖς καὶ δεήσεσιν οὐ δεῖ σε
κατὰ τῶν ἐχθρῶν ἐξαιτεῖσθαι κακόν τι·
ὃ γὰρ ἂν κακὸν κατ' αὐτῶν ἐξαιτήσῃς
ἀνθυποστρέψει ἐπὶ σὲ παραυτίκα.

13 εἶτα om. Ca Cd || τῆς μελίσσης Mc || τοιάδε τῇ μελίσσῃ Ch || **14** οὐ χωρὶς ἥττησας Mc || ἥττησας Cd || **15** ἐὰν Ca || 'Αλλ' ὅστις ἥκει Cg Ch Cd Mb 'Αλλ' ὥς τις ἥκει Cb Mc || λαβὼν Mb || ἀπὸ σοῦ λαβεῖν μέλι Mc || **16** uersum ex Cg et Ch refeci || σὺ δ' ἂν πετάσῃς ἵνα πλήξῃς ἀνθρώπω Cg σοῦ δὲ προσκροῦντος ἵνα πλήξῃς (-ξει Cb) ἐκεῖνον (ἀνθρώπω Cb) Ch Cb σὺ δὲ προσκρούσῃς αὐτῷ καὶ πλήξῃς Ca σὺ δὲ πλήξασα τὸν ἄνθρωπον ἐκεῖνον Cd σοῦ δὲ θελούσης τοῦτον πλήξεις τῷ κέντρῳ Mb σοῦ δὲ προσκρατοῦντος ἵνα πλήξεις ἀνθρώπω Mc || **17** αὖθις (αὖθίς τε Mb) τεθνήξῃ (-ξει Cb Mc) Ch Cb Mb Mc αὐτὴ μᾶλλον τεθνήξῃ Ca || σου τοῦ κέντρου Ca || τοῦ κέντρου ἐκβληθέντος Cd || **18** ὑπάρχει Ca ἐντυγχάνει Cb Mc || τὸ κέντρον ἐντυγχάνει Cd || ζωὴ γὰρ ὑπάρξει σοι, φημί, τὸ κέντρον Mb || **19** Ὅτι Cb || **20** δεήσεσιν Cb ταῖς δεήσεσιν reliqui || οὐ δεῖ σε Ca μὴ δεῖς Mb μηδεὶς reliqui || **21** ἐξαιτεῖσθαι κακόν τι Fedde ex Ca quod habet τι ἐξαιτεῖσθαι κακόν || ἐξαιτεῖται κακόν Cg τι ἐξαιτείτω κακόν Ch Mb τι ἐκζήτει κακόν Mc τι ἐπιζητείτο· ὅτι τὸ κακὸν ἀνθυποστρέψει ἐπὶ σὲ παραυτίκα Cb || **22** ex Ca sumpsi || ὅτι ἂν κακῶς ὑπεξαιτήσῃς Cg || κακὸν αὐτὸς ὑπεξαιτήσῃς Ch κακὸν αὐτὸς αἰτήσεις Mb hunc u. om. Mc || **23** ἐπὶ σοὶ Ch Mc || Hoc est epim. in Cd : Ὃ τοῖς ἐχθροῖς κακὸν μὴ τῷ θεῷ αἰτεῖτε.

Aliter.

Μέλισσα μήτηρ κηρίων οὖσα ἀνελήλυθεν εἰς θεούς, φέρουσα κηροὺς καὶ μέλι. Τερφθεὶς δὲ ὁ Ζεὺς τῇ προσφορᾷ τῆς μελίσσης συνετάξατο δοῦναι αὐτῇ ὃ ἂν αἰτήσῃ. Ἡ δέ· « Δός, ἔφη, τῇ σῇ θεραπαινίδι κέντρον πρὸς ἄμυναν

Codd. Ce 82 Cf 86 contaminatus ex Ce et Ca.

1 Μέλισσα πάλιν Cf || θεοὺς θυμιᾶσαι καὶ προσάγουσα ἐκ μέλιτι τὸ δῶρον Cf || **2** τὴν προσφορὰν Ce Cf || **3** τῆς om. Cf || ὧ pro ὃ Ce Cf || ζητήσει pro αἰτήσῃ Cf || **4** ἔφη om. Cf || κέντρον τῇ σῇ θεραπενίδι πρὸς πόνον μου ἄμυναν καὶ φυλακήν μου Cf.

τῶν πόνων μου καὶ εἰς φυλακὴν μου.» Ἀπορήσας δὲ ὁ Ζεὺς πρὸς τὰς αἰτήσεις, ἐπεὶ ἐφίλει τῶν ἀνθρώπων τὸ γένος, ἔφη τῇ μελίσσῃ· «Οὐχ ὡς ᾔτησας γενήσεται, ἀλλ' ἐάν τις τῶν ἀνθρώπων ἥκῃ λαβεῖν μέλι, σὺ δὲ βούλῃ αὐτὸν ἀμύνασθαι, ἔχε τὸ κέντρον· πλὴν ἴσθι ὅτι, εἰ πλήξεις ἄνθρωπον, ἐμβληθέντος τοῦ κέντρου, παρευθὺς ἀποθνήξῃ· ζωὴ γάρ σοι ἐντυγχάνει τὸ κέντρον.»

Ὁ μῦθος δηλοῖ ὅτι ἐν ταῖς προσευχαῖς καὶ ταῖς δεήσεσιν μηδεὶς κατὰ τῶν ἐχθρῶν ζητείτω κακόν.

5 Ἀπορυῇ Cf || **6** ἐφίλει ἀνθρώπων γένος πάνυ· εἶτα ἔφησε τῇ μελίσσῃ τοιάδε Cf || **7** Οὐχ ὅροις ᾔτησας Cf || ἥττησας Ce || οὕτως γενήσεταί σοι Cf || ἀλλ' ἐάν τις nos ἀλλ' ὥς τις Ce || ἀλλ' ὅς τις εἴχει λαβεῖν ἀπὸ σὲ μέλι, σοῦ δὲ προσκροῦντος ἵνα πλήξεις ἀνθρώπους, αὖθις τεθνήξῃς ἐκβληθέντος τοῦ κέντρου Cf || **8** ἥκῃ ... βούλῃ nos ἥκει ... βούλει Ce || **12** εὐχαῖς Cf || **13** ζητείτω nos ζήτη το Ce ζητεῖ Cf.

Aliter.

Ὑμηττία μέλισσα, κηρίων μήτηρ, ἀνῆλθεν εἰς θεῶν οἴκους, φέρουσα τῷ Διὶ μέλι μήπω καπνισθέν. Ὁ Ζεὺς δὲ τῷ δώρῳ ἐτέρφθη, καὶ ὑπέσχετο δοῦναι γέρας ὃ ἂν αἰτήσηται. Ἡ δὲ εἶπεν· «Δός μοι κέντρον, ἵνα, εἴ τις ἀνθρώπων τὸ ἐμὸν ἔργον πλησιάσῃ ἆραι, ἀναιρῶ τοῦτον.» Ἀπηρέσθη δὲ ὁ Ζεὺς τῇ αἰτήσει· ἠγάπα γὰρ τοὺς ἀνθρώπους· ὅμως καὶ μὴ θέλων ἔδωκεν· εἶπε γὰρ δώσειν· τοιοῦτον δὲ δέδωκεν ὡς αὐτὴν ἀποθνήσκειν ἅμα τῷ πλῆξαι· ζωὴ δὲ αὐτῆς ἐστι [πετομένης] τὸ κέντρον.

Ὅτι ἐν ταῖς εὐχαῖς καὶ δεήσεσι μηδεὶς κατὰ τῶν ἐχθρῶν αἰτείτω τι· ὃ γὰρ ἂν κακὸν αἰτήσηται ἐπ' αὐτὸν ἥξει.

Cod. Ba 136.

πετομένης inclusi.

236

Μελισσουργός.

Εἷς μελισσουργοῦ τις εἰσελθών, ἐκείνου ἀπόντος, τό τε

Codd. Pa 69 Pb 73 Pc 36 Pe 39 Pf 36 Pg 46 Ph 36 Ma 52 Me 53 Mf 48.

1 μελιτουργοῦ τις μετελθὼν Pb || μελισσουργόν τις ἐλθὼν καὶ Pf Ph || μελισσουργοῦ τόπον Ma || μελισσουργεῖόν τις εἰσελθὼν κρυφίως, τοῦ μελισσουργοῦ ἀπόντος Pe || ἐκείνου αὐτοῦ ἀπόντος Pc καὶ ἐκείνου μὴ ὄντος Ph τοῦ κεκτημένου ἀπόντος Me Mf || τε om. Pb Pe Ma.

Digitized by Google

μέλι καὶ τὰ κηρία ὑφείλετο. Ὁ δὲ ἐπανελθών, ἐπειδὴ ἐθεάσατο ἐρήμους τὰς κυψέλας, εἱστήκει ταύτας διερευνῶν. Αἱ δὲ μέλισσαι ἐπανελθοῦσαι ἀπὸ τῆς νομῆς, ὡς κατέλαβον αὐτόν, παίουσαι τοῖς κέντροις, τὰ πάνδεινα διετίθεσαν. Κἀκεῖνος ἔφη πρὸς αὐτάς· « Ὦ κάκιστα ζῷα, ὑμεῖς τὸν μὲν κλέψαντα ὑμῶν τὰ κηρία ἀθῷον ἀφήκατε, ἐμὲ δὲ τὸν ἐπιμελούμενον ὑμῶν δεινῶς τύπτετε. »

Οὕτως ἔνιοι τῶν ἀνθρώπων δι' ἄγνοιαν τοὺς ἐχθροὺς μὴ φυλαττόμενοι, τοὺς φίλους ὡς ἐπιβούλους ἀπωθοῦνται.

2 ὑφείλετο Pa ἀφείλατο Pe Ma ἀφείλετο ceteri || Ὁ δὲ μελισσουργὸς ἐπανελθὼν θεασάμενος Pe || ἐπεὶ Ma || **3** τὰς κυψέλους Pa Pg τοὺς κ. Pc τὰς κυψέλλους Ma τοὺς κυψένλας Pf τὰς κυψέλλας ceteri || ἔστη Pe || αὐτὰς Pc || διερευνᾶν Pe διερευνώμενος Ph || **4** Καταλαβοῦσαι δὲ αἱ μέλιτται ἀπὸ τῆς χάλα ὡς κατέλαβον Pe || ἐπελθοῦσαι Pf || ἀπὸ τῆς νομῆς ἐπανήκουσαι Me Mf || **5** παίσασαι Pc Ma || παίουσι τοῖς κέντροις καὶ Pg || τοῖς κέντροις om. Ma || διετέθησαν Pa διέθεντο Pf διέθηκαν Ph || **6** πρὸς αὐτὰς ἔφη Pe || τὸν κλέψαντα Pb Pg || **7** κλέπτοντα τὰ κηρία ὑμῶν Ma || ὑμᾶς Pa || ἐφυλάξατε pro ἀφήκατε Pe || **8** ὑμῶν ἐπιμελούμενον Pc || τημελοῦντα ὑμᾶς Pf Ph Me Mf || δεινῶς Pa om. ceteri || τύπτεται Pe τύπτε Ma πλήττετε Me Mf || **9** Ὁ λόγος δηλοῖ ὅτι ἔνιοι Ma Ὁ μῦθος δηλοῖ ὅτι οὕτω τῶν ἀνθρώπων τινὲς Me Mf Οὕτως τινὲς Pf Ph || μὴ om. Pc Pg || **10** ὡς om. Ma || ἀμύνονται Pf Ph Mf διαθοῦνται correctum in ἀποθοῦνται Me ἀπόθονται Ma || **9-10** Πολλοὶ τῶν ἀνθρώπων δι' ἄγνοιαν τοὺς ἐχθροὺς φιλοῦσι, τοὺς δὲ φίλους ὡς ἐχθροὺς ἀπωθοῦνται Pe || In Ma epim. est in fine sequentis fabulae.

Aliter.

Εἷς μελιττουργεῖόν τις εἰσελθών, τοῦ κεκτημένου ἀπόντος, τὸ κηρίον ἀφείλετο. Ὁ δὲ ἐπανελθών, ἐπειδὴ τὰς κυψέλας εἶδεν ἐρήμους, εἱστήκει τὸ κατ' αὐτὰς διερευνώμενος. Αἱ δὲ μέλισσαι ἀπὸ τῆς νομῆς ἐπανήκουσαι, ὡς κατέλαβον αὐτόν, τοῖς κέντροις ἔπαιον καὶ τὰ χείριστα διετίθουν. Ὁ δὲ πρὸς αὐτάς· « Κάκιστα ζῷα, τὸν μὲν

Codd. La 89 Lb 46 Lc 35 Le 46 Lf 89 Lg 35 Md 142 Mg 69 Mi 116 Mj 56 Ml 59 Mm 68.

2 ὑφείλετο Lc Le Md Mi Mj Ml Mm || τὰς (τοὺς Lc Lg Md Mi Mm) κυψέλους Lb Lc Le Lg Md Mi Mj Mm || **3** κυψέλλους Ml || **4** ἐλθοῦσαι pro ἐπανήκουσαι Le || **5** αὐτόν om. Mm || τὰ ante χείριστα om. Lc Lg || τάχιστα pro τὰ χείριστα Le.

Digitized by Google

κλέψαντα ὑμῶν τὰ κηρία ἄθῳον ἀφήκατε, ἐμὲ δὲ τὸν ἐπιμελούμενον ὑμῶν πλήττετε. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτω τῶν ἀνθρώπων τινὲς δι' ἄγνοιαν τοὺς ἐχθροὺς μὴ φυλαττόμενοι, τοὺς φίλους ὡς ἐπιβούλους ἀπωθοῦνται.

7 ἡμῶν τὰ κηρία Mg Mi || ἀφήκετε Md Me Mf ἄφηκτε Mi || **9** Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Mg || τινὲς τῶν ἀνθρώπων Le Mj || **10** τοὺς ἀλλοτρίους φυλαττόμενοι Mm || μὴ om. Lc Lg Md Mi || ἀμυνόμενοι Le || ἀποβούλους Mj || **11** λυποῦσι Lc Lg Md Mi λυμαίνουσι Mm.

237

Μηναγύρται.

Μηναγύρται ὄνον ἔχοντες τούτῳ εἰώθεσαν τὰ σκεύη ἐπιτιθέντες ὁδοιπορεῖν. Καὶ δή ποτε ἀποθανόντος αὐτοῦ ἀπὸ κόπου, ἐκδείραντες αὐτόν, ἐκ τοῦ δέρματος τύμπανα κατεσκεύασαν καὶ τούτοις ἔχρωντο. Ἑτέρων δὲ αὐτοῖς μηναγυρτῶν ἀπαντησάντων καὶ πυνθανομένων αὐτῶν ποῦ εἴη ὁ ὄνος, ἔφασαν τεθνηκέναι μὲν αὐτόν, πληγὰς δὲ τοσαύτας λαμβάνειν ὅσας ποτὲ οὐδὲ ζῶν ὑπέμεινεν.

Οὕτω καὶ τῶν οἰκετῶν ἔνιοι, καίπερ τῆς δουλείας ἀφειμένοι, τῶν δουλικῶν ἀρχῶν οὐκ ἀπαλλάττονται.

Codd. Pa 161 Pb 162 Pf 87 Pg 102 Ma 111 Me 111 Mf 94 Mj 104.

1 Μενεγύρται Pb || εἰώθεισαν Pf Pg Me Mf Mj || εἰώθασι Pb Ma || **2** ὁδοιποροῦντες ἐπιθεῖναι Pb || αὐτοῦ om. Pg Me Mf || **3** ὑπὸ κόπου Pb || τύμπανον ἐκ τοῦ δέρματος αὐτοῦ κατεσκεύασαν καὶ τοῦτο ἔχωντο Ma || **5** αὐτῶν om. Ma || **6** εἴη nos ἂν εἴη libri || ὁ ὄνος ἡμῶν (ὑ- Pg) Pb Pg || ἔφησαν Pb Ma || αὐτῶν Pb || **7** τόσας Me Mf || λαμβάνειν ὅσας (ὅτε Ma) ζῶν οὐχ ὑπήνεγκεν Pb Pg Ma || ποτὲ Pa solus || οὐδὲ ζῶν τοσαύτας Pf Me Mf Mj || ὑπομείνειεν ἂν Pa || **8** Ὁ μῦθος δηλοῖ ὅτι οὕτως Mj || ἀνθρώπων pro οἰκετῶν Ma || ἔνιοι περὶ τῆς ἐλευθερίας ἐφιέμενοι Pb || καίπερ τῆς δουλείας ἀφειμένοι Pg καὶ περὶ τῆς δουλείας ἀφέμενοι Ma κ-τ-δ- πεφευγότες (πεφευγότες uix legi potest) Pa εἰ καὶ τῆς δουλείας ἀφεθῶσιν Pf Me Mf Mj || **9** ἀρχῶν om. Pf Me Mf Mj || οὐκ om. Ma || ἀναλλάττονται Pf ἀπαλλάττουσιν Ma.

Digitized by Google

238

Μόσχος καὶ ἔλαφος.

Μόσχος δέ ποτε πρὸς τὴν ἔλαφον εἶπε·
« Σὺ τῷ μεγέθει μείζων κυνῶν ὑπάρχεις
καὶ ταχινή τε καὶ πρὸς δρόμον ὀξεῖα·
κέρατα δὲ σὺ πρὸς ἄμυναν κατέχεις.
Τί δέ, ὦ μῆτερ, οὕτω φοβῇ τοὺς κύνας; »
Ἡ δὲ πρὸς αὐτὸν οὕτως ἔφη γελῶσα·
« Ὅτι μὲν ἐγὼ ταῦτα πάντα κατέχω
εὖ οἶδα σαφῶς καὶ γινώσκω, ὦ τέκνον·
ἐπὰν δὲ κυνὸς ὑλακὴν ἐπακούσω,
εὐθὺς σκοτοῦμαι καὶ τῇ φυγῇ κινοῦμαι. »

Ὁ μῦθος δηλοῖ ὅτι ἀνθρώπους τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ἀνθρώπου ἐπιρρώννυσιν.

Codd. Cg 12 Ch 87 Ca 120 Cb 73 Cd 87 Mb 124 Mc 72.

1 Νεβρός Ca Mb || εἰς Mb || **2** μείζω κυνῶν ὑπερέχεις Cd || κυνός Ca Mb || τυγχάνεις Ch Ca Mb || **3** καταχυνή pro καὶ ταχινή Cd || ταχυτάτη pro ταχινή τε Ca ταχυνή τι Cb ταχυνεῖται Mc || πρὸς δρόμον ὀξεῖα Cg ὀξεῖα πρὸς δρόμον ceteri || **4** δὲ om. Cb || σὺ om. Ca σοι Cb Mc || κρατεῖ δὲ πρὸς ἄμειναν σύ τε κατέχεις Cd || **5** Καὶ τί Ca || **6** ἔφη γελῶσα οὕτως Ch Ca Mb γελῶσα οὕτως ἔφη Cb Cd Mc || **7** ἐγὼ μὲν Cb || πάντα ταῦτα Mc || πάντα om. Cb ἅπαντα Ca Mb || **8** ἐν σαφῶς Cd || **9** ἐπὰν τοῦ κυνὸς ὑλακῆς Mc || ὑλακῆς (-κὴν Cb) ἀκούσω Ca Cb || κυνὸς ὑλακὴν ἐπὰν εὐθὺς ἀκούσω, ἡττοῦμαι πλεῖστα καὶ τῇ φυγῇ κινοῦμαι Cd || **10** εὐθυς om. Ca || καὶ πρὸς φυγὴν τρέπομαι Ca || ἡττοῦμαι pro σκοτοῦμαι Mc ἧτται με Cb || **11** Ὅτι Cb Mb || τοὺς ἀνθρώπους Ca Mb Mc || ἀνθρώπους τῇ φύσει Cb Mc || **12** λόγων παραίνεσις Mb παραίνεσις ἀνθρώπων Mc || **11-12** Τὸ ἐκ φύσεως οὐ μεθίσταται πάντῃ, κἂν παραινῇς καὶ λέγῃς τοῦτο πλῆστα Cd.

Aliter.

Νεβρὸς καὶ ἔλαφος.

Νεβρός ποτε πρὸς τὸν ἔλαφον εἶπε· « Πάτερ, σὺ καὶ

Codd. La 56 Lb 87 Le 87 Lf 56 Lg 34 Lh 43 Md 115 Me 118 Mf 100 Mg 112 Mi 31 Ml 115 Mm 102.

1 τὴν ἔλαφον La Le Lg Lh Me Mf Mg || Πῶς pro Πάτερ Md Mi Mm.

Digitized by Google

μείζων καὶ ταχύτερος κυνῶν πέφυκας, καὶ κέρατα πρὸς τούτοις ὑπερφυᾶ φέρεις εἰς ἄμυναν. Τί δή ποτ᾽ οὖν οὕτω τούτους φοβῇ; » Κἀκεῖνος γελῶν εἶπεν· « Ἀληθῆ μὲν ταῦτα φῄς, τέκνον· ἓν δ᾽ οἶδα, ὡς, ἐπειδὰν κυνὸς ὑλακὴν ἀκούσω, αὐτίκα πρὸς φυγὴν οὐκ οἶδ᾽ ὅπως ἐκφέρομαι. »

Ὁ μῦθος δηλοῖ ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία παραίνεσις ῥώννυσιν.

2 τῶν κυνῶν Lg || 3 ὑπερφυῆ Le Lf Lh Me Mf Mi Ml Mm || πρὸς ἄμυναν La Mg || οὕτω om. Lh || 4 ἔφη Le Lh Me || μὲν γὰρ Lg || 5 τέκνον· ἐγὼ δ᾽ ὡς ἐπειδὰν Lg || ἐπειδὴ Md Mi Mm || κυνὸς om. Lg Mg || 6 προσφέρωμαι Lh || 7 Ὁ μῦθος ὅτι Lb Md Mm || Ὅτι Mg || παραίτησις Lh.

Aliter.

Μόσχος καὶ ἔλαφος.

Μόσχος πρὸς τὴν ἔλαφον εἶπεν· « Σὺ καὶ μεγέθει μείζων εἶ τῶν κυνῶν καὶ ταχύτητι διαφέρεις καὶ κέρατα πρὸς ἄμυναν ἔχεις. Τί οὖν τοσοῦτον φοβῇ τοὺς κύνας; » Καὶ ἡ ἔλαφος ἔφη· « Ὅτι μὲν ταῦτα πάντα ἔχω, οἶδα· ὑλακῆς δὲ εἰ ἀκούσω, τὸν λογισμὸν σκοτοῦμαι καὶ ὅλη τῆς φυγῆς γίνομαι. »

Ὅτι τοὺς φύσει δειλοὺς οὐδεμία λόγου παραίνεσις ἐπιρρώννυσι, κἂν καὶ εὐμήκεις καὶ στερεοὶ τῷ σώματι φαίνωνται.

Codd. Ba 88 Bb 56.

1 τὸν ἔλαφόν, sed Καὶ ἡ ἔλαφος Bb || 5 ὅλος Bb || 8 ἐπιραννύει Bb || κἂν ... φαίνωνται om. Ba || 9 φαίνονται Bb.

239

Μύες καὶ γαλαῖ.

Μυσὶ καὶ γαλαῖς πόλεμος ἦν. Ἀεὶ δὲ οἱ μύες ἡττώμενοι, ἐπειδὴ συνῆλθον εἰς ταὐτόν, ὑπέλαβον ὅτι δι᾽ ἀναρχίαν τοῦτο πάσχουσιν· ὅθεν ἐπιλεξάμενοί τινας ἑαυτῶν στρατηγοὺς ἐχειροτόνησαν. Οἱ δὲ βουλόμενοι ἐπισημότεροι τῶν

Codd. Pa 162 Pb 163 Pg 103 Ma 112 Ca 115.

2 ὑπέλαβεν Pa || 3 ἑαυτῶν τινας Ca om. Ma || 4 τοῖς ἄλλοις Ma.

Digitized by Google

ἄλλων φανῆναι, κέρατα κατασκευάσαντες ἑαυτοῖς συνῆψαν. Ἐνστάσης δὲ τῆς μάχης, συνέβη πάντας τοὺς μύας ἡττηθῆναι. Οἱ μὲν οὖν ἄλλοι πάντες ἐπὶ τὰς ὀπὰς καταφεύγοντες ῥᾳδίως εἰσέδυνον· οἱ δὲ στρατηγοὶ μὴ δυνάμενοι εἰσελθεῖν διὰ τὰ κέρατα αὐτῶν συλλαμβανόμενοι κατησθίοντο.

Οὕτω πολλοῖς ἡ κενοδοξία κακῶν αἰτία γίνεται.

5 φανῆναι Pa εἶναι ceteri || σκευάσαντες Ca || 7 οὖν om. Ma || ἐπὶ ... καταφεύγοντες om. libri excepto Pa || 8 εἴσδυνον Pa || 9 αὐτῶν om. Ma || ἀναλαμβανόμενοι Ma || 11 Epim. bis exstat in Pa primo litteris nigris, deinde litteris auratis, ut solet || πολλάκις Pg || οἱ pro ἡ Ma || καινοδοξία Pa || διὰ φιληδονίαν γίνεται Pb.

Aliter.

Ποτὲ δὲ γαλαὶ ἐμάχοντο πρὸς μύας
κατατροποῦσαι αὐτοὺς καὶ ἀναιροῦσαι.
Εἶπον δ' οἱ μύες καθ' ἑαυτοὺς τοιαῦτα·
« Οὐ παρὰ λόγον ἡμᾶς γαλαὶ ἡττῶσιν·
οὐ γὰρ κτώμεθα ἄνακτα ὥσπερ αὗται,
οὐδὲ στρατηγοὺς ἐπὶ τῇ παρατάξει,
καὶ διὰ τοῦτο ταλαιπωροῦμεν πάντες
καὶ φυγάδες γινόμεθα τοῦ πολέμου. »
Καὶ παραυτίκα συμβούλιον λαβόντες
κατεστήσαντο τοὺς παμμεγέθεις μύας
ὡς ἀρχηγέτας καὶ στρατηγοὺς τῶν ἄλλων.
Καὶ δὴ ἔνοπλοι ἅπαντες γεγονότες
καὶ παρατάξεις αὖθις πεποιηκότες
εὐθὺς ἤρξαντο κροτεῖν τὰ τοῦ πολέμου.
Σαλπίγγων δ' ἄφνω φωνουσῶν, κελαδοῦντες

Codd. Cg 41 Ch 116 Ca 175 Cd 110.

1 Ποτὲ γαλέαι ἐμάχοντο τοῖς μυσίν Ca || ἐμάχοντο τοὺς μύας Cd || 2 αὐτοὺς κατατροποῦσαι Ca κατατροποῦσαι δ' αὐτους Ch || κατατροποῦντες αὐτοὺς καὶ ἀναιροῦντες Cg Cd || 3 Ἦδον καθ' αὐτοὺς οἱ μύες τάδ' ἐν φρεσίν Ch || μῦς Cd || 4 Οὐ παρὰ λόγον nos || Οὐ παρὰ πρέπον ἡμᾶς γαλαὶ ἡττῶσιν Ch Παρόλογον ἦν ἡμᾶς ὅτι γαλαὶ ἡττῶσιν Cg Παραλόγως νῦν (νῦν om. Ca) γαλέαι (-λαῖ Cd) ἡμᾶς ἡττῶσιν Ca Cd || 8 καὶ ὡς φυγάδες Cg Ch Cd || γενόμεθα Cd || τοῦ om. Cg Ch Cd || 9 Παραυτίκα δὲ Cd || 10 κατέστησαν Cd || 11 ἀρχηγέτας τε, omisso ὡς Ca || 14 εὐθὺς om. Ca || ἤρξατο Cd || χρότων τῶν τοῦ πολέμου Ca || 15 φωνουσῶν, nos φωνούντων Cg Ch Cd || κελαδοῦντες nos κελαδούντων Ch καὶ λαλούντων Cg αὐτοῖς καὶ κελαδούντων Cd || Τῶν γὰρ αὐτῶν σαλπίγγων σαλπισασνῶ Ca.

Digitized by Google

ἐναπήρξαντο πολεμεῖν πρὸς [τὰς] γαλέας·
οἳ κατὰ κράτος ἡττήθησαν εὐθέως.
Καὶ ἦν κατιδεῖν, τῶν μυῶν πεφευγότων
ὧδε κἀκεῖσε, τοὺς τάλανας ἐν τρόμῳ.
Οἱ γὰρ ἄοπλοι πεφευγότες ἐν τοίχοις
εἰσελήλυθον εἰς ῥαγάδας αὐτίκα·
οἱ δὲ ἔνοπλοι καὶ ἀρχηγέται τούτων
οἵ τε ἄρχοντες καὶ στρατηγοὶ τῶν ἄλλων
μὴ δυνάμενοι ἐν ταῖς ὀπαῖς εἰσδῦναι
διεφθάρησαν ὑπὸ τῶν γαλῶν πάντες.

Ὅτι πρὸς τὸ ζῆν ἀκινδύνως κρεῖττόν ἐστιν ἡ εὐτέλεια ὑπὲρ τὴν λαμπρότητα καὶ τὴν δόξαν τοῦ βίου.

16 τὰς **inclusi** || γαλεῖς Cg Cd γαλλεῖς Ch || **17** αἳ κατὰ κράτος τοὺς μύας ἡττήσασαι ἔτρεψαν τοὺς δυστήνους εἰς φυγήν Ca || **18** κατιδεῖν, ὡς πέφευγον οἱ μύες Ch || **19** οἱ τάλανες Ch Cd || δρόμῳ Cd || **20** Οἱ μὲν γὰρ Ca || τοῖς τοίχοις Ca || **21** εἰσελήλυθαν Ch -θεσαν Ca || **23** καὶ στρατηγέται πάντες οἵ τε ἔνδοξοι καὶ πρώτεροι τῶν ἄλλων Cd || **24** ταῖς τροπαῖς Cg || ἐμβῆναι Ch Ca || **25** πάντες διεφθάρησαν ὑπὸ τῶν γαλῶν Cg πάντες **transposui** διεφθάρησαν πάντες ὑπὸ τῶν γάλλων (γαλῶν Cd) Ch Cd διεφθάρησαν ἅπαντες ὑπὸ τῶν γαλεῶν Ca || **26** Ὁ μῦθος δηλοῖ ὅτι πρός Ch Ca || Πρός τὸ ζῆν τινα Cd || χρῆσον Cd || εὐτέλεια ἢ ἡ λαμπρότης καὶ δόξα τοῦ βίου Ca || **27** καὶ τὴν δόξαν τοῦ βίου om. Cg.

Aliter.

Γαλαῖ καὶ μύες πρὸς ἀλλήλους ἄσπονδον εἶχον μάχην. Ἐνίκων δὲ ἀεὶ αἱ γαλαῖ. Οἱ δὲ μύες βουλευσάμενοι ὅτι διὰ τὸ μὴ ἔχειν στρατηγοὺς ἡττῶνται, τοὺς μεγάλους μύας στρατηγοὺς προχειρισάμενοι καὶ καθοπλίσαντες τοῖς μείζοσι ξύλοις τῶν ἀχύρων ἀντὶ δοράτων, συγκροτοῦσι τὸν πόλεμον καὶ πάλιν ἡττῶνται. Καὶ οἱ μὲν ἄνοπλοι μύες, ὑπὸ τὰς τρυμαλιὰς ὑπελθόντες, ἐσώθησαν· οἱ δὲ καθωπλισμένοι, μὴ δυνάμενοι εἰς τὰς ὀπὰς εἰσελθεῖν, διεφθάρησαν ὑπὸ τῶν γαλῶν.

Ὅτι πρὸς τὸ ζῆν ἀκινδύνως ἡ εὐτέλεια ὑπὲρ τὴν δόξαν καὶ τὴν λαμπρότητα τοῦ βίου κρείττων.

Codd. Ba 20 Mg 37.

7 τρυμμαλιὰς codd. || **11** χρεῖττον Mg.

Digitized by Google

Aliter.

Γαλαῖ καὶ μύες πρὸς ἀλλήλους ἄσπονδον μάχην ἐκέκτηντο. Ἡ δὲ νίκη ἀεὶ ταῖς γαλαῖς προσεγέλα. Οἱ δὲ μύες στοχασάμενοι τὴν ἧτταν αὐτοῖς ἐκ τοῦ μὴ ἔχειν στρατηγοὺς ὡπλισμένους συμβαίνειν, τοὺς μεγίστους τῶν μυῶν στρατηγοὺς προχειρισάμενοι, ξύλοις τούτους καθώπλιζον. Συγκροτήσαντες δὲ αὖθις πόλεμον καὶ ἡττηθέντες, οἱ μὲν ἄοπλοι μύες ὑπὸ ταῖς ὀπαῖς διέδυσαν· οἱ δὲ ὡπλισμένοι, ὑπὸ τῶν ξύλων εἰσελθόντες κωλυόμενοι, ὑπὸ τῶν γαλῶν διεφθάρησαν.

Cod. Bd 6.

2 Αἱ δὲ μύες cod. || 3 αὐτοῖς cod. || στρατηγοῖς ὡπλισμένοις cod. || 5 τούτοις cod. || 7 αἱ δὲ ὡπλισμένοι cod.

Aliter.

Γαλαῖ καὶ μύες ἄσπονδον εἶχον μάχην. Οἱ δὲ μύες, δόρατα καὶ ἅρματα ἐξ ἀχύρου λαβόντες, συνεκρότησαν τὸν πόλεμον. Αἱ δὲ γαλαῖ ὥρμησαν κατ' αὐτῶν. Οἱ δὲ μύες βουλόμενοι εἰς τὰς τρυμαλιὰς εἰσελθεῖν, ἔχοντες τὰ ξύλα τῶν ἀχύρων καὶ μὴ δυνάμενοι κρυβῆναι, διεφθάρησαν ὑπὸ τῶν γαλῶν.

Ὅτι ἀδύνατόν τιν' οὐ δεῖ συγκροτεῖν τοὺς πολέμους.

Cod. Ma 159.

Cod. : 1 μύας ἄσπονδον || 2 συγκρότησαν || 5 κροιβεῖναι, διεφθείρησαν ὑπὸ τῶν ἀγαλῶν || 7 ἀδυνάτων τις.

240

Μυῖα.

Μυῖα ἐμπεσοῦσα εἰς χύτραν κρέως, ἐπειδὴ ὑπὸ τοῦ ζωμοῦ ἀποπνίγεσθαι ἔμελλεν, ἔφη πρὸς ἑαυτήν· « Ἀλλ'

Codd. Pa 164 Pc 93 Ma 113 Ml 110 Ca 117 Cb 75 Ce 80 Cf 84 Cg 16 Ch 91.

1 Μύα Pa Cf || Μυῖα τις Cb || ἐμπεσὼν Ma || χύτρα Cb || κρέατος Ma Ca κρεῶν Cb Cg om. Ml Ce Cf || ἐπὶ pro ὑπὸ Cb || ὑπὸ τοῦ ζωμοῦ om. Ma || 2 ὑποπνίγεσθαι Ma || πρὸς ἑαυτὴν om. Ml Cb Ce Cf Ch.

Digitized by Google

ἔγωγε καὶ βέβρωκα καὶ πέπωκα καὶ λέλουμαι· κἂν ἀποθάνω, οὐδέν μοι μέλει. »

Ὁ λόγος δηλοῖ ὅτι ῥᾳδίως φέρουσι τὸν θάνατον οἱ ἄνθρωποι, ὅταν ἀβασανίστως παρακολουθήσῃ.

3 πέποκα καὶ βέβρωκα Cb || λέλουσμαι Cg || καὶ θνησκούσῃ (-σης Ca -σα Ml Ce Cf Cg θνήσκειν Ch) οὐ μέλει (μέλλει Cb Ce Cg) μοι Ml C || 4 μέλλει Pa Pc || με Ma || 5 Ὅλως δηλοῖ Ca Ὅτι Cg Ὁ μῦθος Ch || οἱ ἄνθρωποι τὸν θάνατον Cb || 6 ἄνθρωποι, πληροφορηθέντες ἔχειν τὰ πάντα κατορθώματα Ce || παρακολουθοῦσι Ca -λοῦσι Ma -λούθησι Ml || Epim. om. Cb.

Aliter.

Μῦς εἰς χύτραν ζέουσαν κρεῶν τε ⟨πλήρη⟩
ἐνέπεσε καὶ ἔμελλε συμπνιγῆναι.
Ἀποθνῄσκων δ' ἔφησε τοιοῦτον λόγον·
« Ἐσθιόντι, πίνοντι καὶ λελουμένῳ
οὐ μέλει μοι θάνατος, νὴ τοὺς θεούς μου. »
Φέρουσί τινες τὸν θάνατον ῥᾳδίως,
ὅταν ἐπέλθῃ ἀβασανίστως τούτοις.

Cod. Cd 90.

1 πλήρη suppleui || 2 πίπτειν ἔμελλεν ἐκεῖ καὶ συμπνιγῆναι cod. : correxi || 3 Θνήσκων γὰρ cod. : correxi || 4 Ἐσθίων πίνων τε καὶ λελούμενος cod. : correxi || 7 ὅταν ἐλθεῖν ἐναβασανίστως τούτους cod. : correxi.

241

Μυῖαι.

Ἔν τινι ταμιείῳ μέλιτος ἐπεκχυθέντος, μυῖαι προσπτᾶσαι κατήσθιον· διὰ δὲ τὴν γλυκύτητα τοῦ καρποῦ οὐκ ἀφίσταντο. Ἐμπαγέντων δὲ αὐτῶν τῶν ποδῶν, ὡς οὐκ ἐδύναντο

Codd. Pa 77 Pb 81 Pf 39 Pg 52 Ph 41 Ma 60 Ca 68.

1 ἐκχυθέντι Pb ὑπεκχυθέντος Pf Ph ἐπιχθέντος Ma ἐκχυθέντος Ca || μῦαι Pa || προστᾶσαι Pb προσεπιπτᾶσαι Ph προφθάσαντες Ma περιστᾶσαι Ca || 3 Ἐνπαγέντων Pa || αὐτῶν om. Ma αὐταῖς Pf αὐτοῖς Ph || οὐκ om. Pb || ἠδύναντο Pb Ma Ca.

Digitized by Google

ἀναπτῆναι, ἀποπνιγόμεναι ἔφασαν· « Ἄθλιαι ἡμεῖς, αἳ διὰ βραχεῖαν ἡδονὴν ἀπολλύμεθα. »

Οὕτω πολλοῖς ἡ λιχνεία πολλῶν αἰτία κακῶν γίνεται.

4 συναπτῆναι Ma || ἀποπνηγομένων δὲ ἔλεγον Ma || ἔφησαν Pg || 6 πολλάκις Pb || λυχνία Pa || κακῶν αἰτία (-τιος Ma) γίνεται Pg Ph Ma Ca || Ὅτι πολλοῖς ἡ προσήλωσις (lege ἀπόλαυσις) τῆς ἡδονῆς πολλὰ (πολὰ Pf) αἴτια τῶν κακῶν ἐπεισάγει Pf Ph || Ma epim. habet in fabula sequenti.

Aliter.

Ἔν τινι ταμείῳ μέλιτος ἐκχυθέντος, μυῖαι προσπτᾶσαι κατήσθιον. Ἐμπαγέντων δὲ τῶν ποδῶν αὐτῶν, ἀναπτῆναι οὐκ εἶχον. Ἀποπνιγόμεναι δ' ἔλεγον· « Ἄθλιαι ἡμεῖς, ὅτι διὰ βραχεῖαν βρῶσιν ἀπολλύμεθα. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοῖς ἡ λιχνεία πολλῶν κακῶν αἰτία γίνεται.

Codd. La 93 Lb 48 Le 48 Lf 93 Me 55 Mf 49 Mg 71 Mj 58 Ml 61.

2 αὐτῶν La Mg αὐταῖς ceteri || ὡς οὐκ ἠδύναντο ἀναπτῆναι Mf || 4 ἡδονὴν Me Mf || 5 Ὅτι Mg || λαγνεία Lf Ml || Ὅτι πολλοῖς ἡ προσήλωσις (lege ἀπόλαυσις) τῆς ἡδονῆς πολλὰ αἴτια τῶν κακῶν ἐπεισάγει (-γε Mf) Me Mf.

242

Μύρμηξ.

Μύρμηξ ὁ νῦν τὸ πάλαι ἄνθρωπος ἦν· καὶ τῇ γεωργίᾳ προσέχων τοῖς ἰδίοις πόνοις οὐκ ἠρκεῖτο, ἀλλὰ καὶ τοῖς ἀλλοτρίοις ἐποφθαλμιῶν διετέλει τοὺς τῶν γειτόνων καρπούς ὑφαιρούμενος. Ζεὺς δὲ ἀγανακτήσας κατὰ τῆς πλεονεξίας αὐτοῦ μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῷον ὃς μύρμηξ καλεῖται. Ὁ δὲ καὶ τὴν μορφὴν ἀλλάξας τὴν

Codd. Pa 163 Pb 164 Pc 92 Pg 104 Mb 121 Ca 116.

1 ὁ νῦν om. Pa || τὸ παλαιὸν Pb || 2 οὐ μόνον τοῖς ἰδίοις πόνοις ἠρκεῖτο (ἠρκεῖτο πόνοις Pc) Pa Pc || 3 ἀλλοτρίων Ca || ἐφορμῶν pro ἐποφθαλμιῶν Pg Mb Ca || 4 ἀφαιρούμενος Pg Mb Ca || Ὁ δὲ Ζεὺς Pb Pg Mb Ca || 6 ὃ καλεῖται μύρμηξ Pb Pg Mb Ca || καὶ om. Ca || τὰς μορφὰς Pa.

Digitized by Google

διάθεσιν οὐ μετεβάλετο· μέχρι γὰρ νῦν κατὰ τὰς ἀρούρας περιιὼν τοὺς ἄλλων πυροὺς καὶ κριθὰς συλλέγει καὶ ἑαυτῷ ἀποθησαυρίζει.

Ὁ λόγος δηλοῖ ὅτι οἱ φύσει πονηροί, κἂν τὰ μάλιστα κολάζωνται, τὸν τρόπον οὐ μετατίθενται.

7 μετέβαλε Pb μετεβάλλετο Pc Pg Mb Ca || 8 ἀλώνων pro ἄλλων Pc || πυρούς τε Pc || περιιὼν τοὺς πόνους (σπόρους Mb) τῶν ἄλλων συλλέγει (συνάγει Pb σύνλεγε Mb) Pb Pg Mb Ca || συλλέγων Pa || 10 Ὅλως δηλοῖ Ca || 11 ἀποτίθενται Pb.

Aliter.

Μύρμηξ ὁ νῦν τὸ παλαιὸν ἄνθρωπος ἦν· καὶ τῇ γεωργίᾳ διηνεκῶς προσέχων, οὐ τοῖς ἰδίοις ἠρκεῖτο πόνοις, ἀλλὰ καὶ τοὺς τῶν γειτόνων καρποὺς ὑφῃρεῖτο. Ὁ δὲ Ζεὺς ἀγανακτήσας ἐπὶ τῇ τούτου πλεονεξίᾳ, μετεμόρφωσεν αὐτὸν εἰς τοῦτο τὸ ζῷον ὃ μύρμηξ καλεῖται. Ὁ δὲ τὴν μορφὴν ἀλλάξας τὴν διάθεσιν οὐ μετέβαλε· μέχρι γὰρ τοῦ νῦν τὰς ἀρούρας περιιὼν τοὺς τῶν ἑτέρων πόνους συλλέγει καὶ ἑαυτῷ ἀποθησαυρίζει.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ φύσει πονηροί, κἂν τὰ μάλιστα τὸ εἶδος μεταβληθῶσι, τὸν τρόπον οὐ μεταβάλλονται.

Codd. La 112 Lb 80 Le 81 Lf 112 Lh 37 Me 114 Mf 96 Mg 108 Ml 109.

1 τὸ πάλαι Lf Me Mf Ml || καὶ om. Lh || 2 οἰκείοις pro ἰδίοις Lb Le Lh || 6 μετέβαλλε Me || 7 περιὼν Le || συλλέγειν Lh || 9 Ὁ μῦθος ὅτι Lb || 10 μετατίθενται Lb Lh Me Mf Ml (corr. in μεταβάλλονται in Lb).

243

Μύρμηξ καὶ κάνθαρος.

Θέρους ὥρᾳ μύρμηξ περιπατῶν κατὰ τὴν ἄρουραν πυροὺς καὶ κριθὰς συνέλεγεν, ἀποθησαυριζόμενος ἑαυτῷ τροφὴν εἰς τὸν χειμῶνα. Κάνθαρος δὲ τοῦτον θεασάμενος ἐθαύ-

Codd. Pa (uterque) 104 (Pa¹) et 235 (Pa²) Pb 111 Pg 72 Ca 84 Cd 50.

1 Ὥρᾳ θέρους μύρμηξ περιιὼν Pa² || κατὰ om. Pa¹ ἐπὶ Cd || σίτους pro πυροὺς Pb || 2 τροφὰς Pa¹ Cd || εἰς τὸν χειμῶνα τροφήν Pa² || 3 δὲ om. Cd || ἐταλάνιζεν Pa².

μασεν ὡς ἐπιπονώτατον, εἴγε παρ' αὐτὸν τὸν καιρὸν μοχθεῖ παρ' ὃν τὰ ἄλλα ζῷα πόνων ἀφειμένα ῥᾳστώνην ἄγει. Ὁ δὲ τότε μὲν ἡσύχαζεν· ὕστερον δέ, ὅτε χειμὼν ἐνέστη, τῆς κόπρου ὑπὸ τοῦ ὄμβρου ἐκλυθείσης, ὁ κάνθαρος ἧκε πρὸς αὐτὸν λιμώττων καὶ τροφῆς μεταλαβεῖν δεόμενος. Ὁ δὲ ἔφη πρὸς αὐτόν· « Ὦ κάνθαρε, ἀλλ' εἰ τότε ἐπόνεις, ὅτε ἐμόχθουν καὶ ἐμὲ ὠνείδιζες, οὐκ ἂν νῦν τροφῆς ἐπεδέου. »

Οὕτως οἱ παρὰ τὰς εὐθηνείας τοῦ μέλλοντος μὴ προνοούμενοι παρὰ τὰς τῶν καιρῶν μεταβολὰς τὰ μέγιστα δυστυχοῦσιν.

4 ἧγε Pa¹ || αὐτῷ Pa¹ || 5 παρ' ὃν om. Pa || τὰ δὲ Pa¹ || τὰ om. Pa² || πόνων om. Pa² || πονεῖν ἀφιέμενα Cd || ἀφέμενα ἐν ῥᾳστώνῃ διάγουσιν Ca || ῥᾳστώνῃ διάγειν Pa¹ || 6 ἡσύχασεν Ca || ὡς ὅτε Pa Cd || ὡς χειμὼν Ca || ἔστη Pa² ἀνέστη Ca Cd || καὶ τῆς κόπρου Pa Pb Cd || καὶ ἡ κόπρος ὕετο τῷ ὄμβρῳ κλυσθεῖσα, ἧκεν ὁ κάνθαρος Ca || 7 τοῦ om. Cd || κλυσθείσης Pa² Pb Cd κλυσθέντος Cd || ὁ κάνθαρος λιμώττων ἧκεν ὡς αὐτὸν Pa² || ἦλθε Cd || 8 καὶ om. Pa¹ Pg || τροφῶν Pb Pg || δεόμενος om. Pa² ἐδέετο Ca || 9 πρὸς αὐτὸν ἔφη Ca Cd || ἔφη om. Pa¹ || εἰ τότε ἐμόχθεις ὅτε κἀγὼ ἐπόνουν καὶ ἐμὲ ὀνείδιζες, οὐκ ἂν ἄρτι τροφῆς ἐπεδέου Cd || ὅτε ἐμὲ (με Ca) μοχθοῦντα ὠνείδιζες Pa² Ca || 10 με Pb || σὺ οὐκ ἂν τροφῆς Pa² || 11 Οὕτω καὶ τῶν ἀνθρώπων οἱ παρὰ Pa² || εὐθηνίας Pb Ca Cd || μὴ om. Pb || 12 κενῶν pro καιρῶν Pa².

Aliter.

Ὥρᾳ θέρους μύρμηξ περιιὼν κατά τινα ἄρουραν πυροὺς καὶ κριθὰς συνέλεγεν ἀποθησαυριζόμενος ἑαυτῷ τροφὴν εἰς τὸν χειμῶνα. Κάνθαρος δὲ τοῦτον θεασάμενος ἐταλάνιζεν ὡς ἐπιπονώτατον, εἴγε παρ' ὅλον τὸν καιρὸν μοχθεῖ παρὰ πάντα τὰ ζῷα. Ὁ δὲ μύρμηξ τότε μὲν ἡσυχάσας ὑπήνεγκεν. Χειμῶνος δὲ γενομένου καὶ τῆς κόπρου ὑπὸ τῶν ὑδάτων κατακλυσθείσης, ὁ κάνθαρος λιμώττων ἧκε πρὸς τὸν μύρμηκα τροφῆς μεταλαβεῖν δεόμενος. Ὁ δὲ ἔφη πρὸς αὐτόν· « Ὦ κάνθαρε, ἀλλ' εἰ τότε ἐπόνεις ὅτε με μοχθοῦντα ὠνείδιζες, οὐκ ἂν νῦν τροφῆς ἐπεδέου. »

Ὁ μῦθος διδάσκει μὴ ἀμελεῖν ἡμᾶς ἐπὶ τῇ τῶν ἀναγκαίων φροντίδι, ἀλλὰ καιρῷ εὐθέτῳ τὰ πρὸς σωτηρίαν μεριμνᾶν.

Codd. Pf 143 Me 180 Mf 151 Mj 151.

5 πάντα ζῶα Me Mf || 8 μεταλαμβάνειν Mj om. Me Mf || 9 ἐπήνεις Me || 10 ἐπιδέου Mj.

244

Μύρμηξ καὶ περιστερά.

Μύρμηξ διψήσας, κατελθὼν εἴς τινα πηγὴν βουλόμενος πιεῖν, ἀπεπνίγετο. Περιστερὰ δὲ ἐν τῷ παρεστηκότι δένδρῳ κλάσασα φύλλον ἔβαλε, δι' οὗ ἐπιβὰς ὁ μύρμηξ διεσώθη. Ἰξευτὴς δὲ παραστὰς καὶ συνθεὶς τοὺς καλάμους τὴν περιστερὰν λαβεῖν ἤθελεν· ὁ δὲ μύρμηξ δακὼν εἰς τὸν πόδα τὸν ἰξευτὴν τοὺς καλάμους διασεῖσαι ἐποίησε, τὴν δὲ περιστερὰν φυγεῖν.

Ὁ μῦθος δηλοῖ ὅτι καὶ τὰ ἄλογα ζῷα αἴσθησιν ἔχει καὶ ἀλλήλοις ὠφελεῖ.

Codd. Pb 165 Pf 88 Pg 105 Ma 114 Mb 122 Me 112 Mf 95 Mj 105.

1 καὶ κατελθὼν Pf Mb Me Mf ‖ τινα om. Pf Me Mf ‖ **2** πιεῖν, παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος ἀπεπνίγετο Me Mf ‖ ἐπνίγετο Ma ‖ καθεζομένη ἐν τῷ Pf Me Mf ‖ παρεστηκότι nos περιεστηκότι libri ‖ δένδρῳ καὶ τοῦτο θεασαμένη, κλάσασα Me Mf ‖ **3** κλάσας Ma ‖ φύλον Pf ‖ ἔβαλλε Ma ἔλαβε Mb ἔρριψεν Pf Mj εἰς τὴν πηγὴν ἔρριψεν Me Mf ‖ ἐπιστὰς Pg Mb ‖ ἐσώθη Pf Pg Mb διεσώσατο Ma ‖ **4** δέ τις Pf Pg Ma Mb Me Mf ‖ παρασταθεὶς Pf M περι- Pg ‖ καὶ om. Pg ‖ συντεθεὶς Ma ‖ **5** συλλαβεῖν Me ‖ λαβεῖν ἦλθεν Pf ἤθελε λαθεῖν Ma λαθεῖν ἤθελε Mb ‖ Τοῦτο δ' (Τοῦ δ' Mf) ὁ μύρμηξ ἑωρακὼς ἐξελθὼν (Ὁ δὲ μύρμηξ ἐξελθὼν Pf) ἔδακεν αὐτὸν εἰς τὸν πόδα, κἀκεῖνος περιτιναξάμενος ἔσεισε τοὺς καλάμους (κλάδους Mj) κἀντεῦθεν φυγοῦσα ἡ περιστερὰ διεσώθη Pf Me Mf Mj ‖ ἐξέδακεν (ἔδακεν Mb) εἰς τὸν πόδα τοῦ ἰξευτοῦ Pg Mb ἔδακε τὸν πόδα αὐτοῦ Ma ‖ **6** Ὁ δὲ σείσας τοὺς καλάμους ἐποίησε τὴν περιστερὰν φυγεῖν Pg Ma Mb ‖ **8-9** Δύνανται (Ὁ μῦθος δηλοῖ ὅτι δ- Mj) καὶ τὰ μικρὰ μεγάλας ἀμοιβὰς τοῖς εὐεργέταις παρέχειν Pf Me Mf Mj Ὁ μῦθος τοῦτο δηλοῖ ὅτι καὶ τὰ ἄλογα ζῶα αἴσθησιν ἔχει· δεῖ οὖν καὶ ἡμᾶς τοὺς εὐεργέτας ἀμείβεσθαι Pg Mb Ὁ μῦθος δηλοῖ ὅτι καὶ ὑπὸ ἀσθενῶν ἐστί τις εὔκαιρος βοήθεια Ma

Aliter.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγὴν καὶ βουλόμενος

Codd. Ca 118 Cb 72 Cg 11 Ch 86 Mc 71.

1 κατῆλθεν Cb Mc ‖ τὴν πηγὴν Cb Cg Mc.

Digitized by Google

πιεῖν, ἀπεπνίγετο. Περιστερὰ δὲ καθεζομένη ἐν τῷ παρεστηκότι δένδρῳ, ἐθέασατο αὐτὸν καὶ κόψασα φύλλον ἀπὸ τοῦ δένδρου ἔρριψεν εἰς τὴν πηγήν, δι' οὗ ἐπιβὰς ὁ μύρμηξ ἐσώθη. Ἰξευτὴς δέ τις παρασταθεὶς καὶ συνθεὶς τοὺς καλάμους τὴν περιστερὰν συλλαβεῖν ἐβουλήθη. Ὁ δὲ μύρμηξ θεασάμενος ἔδακε τὸν πόδα τοῦ ἰξευτοῦ. Ὁ δὲ ἀλγήσας, ῥίψας τοὺς καλάμους, ἐποίησε φυγεῖν τὴν περιστεράν.

Ὁ μῦθος δηλοῖ ὅτι, εἰ καὶ τὰ ἄλογα ζῷα αἴσθησιν ἔχουσι τοῦ καλοῦ, πῶς οὐ δεῖ ἡμᾶς τοὺς εὐεργέτας ἀμείβεσθαι; ἤ· Δύνανται καὶ τὰ μικρὰ τοῖς εὐεργέταις μεγάλας ἀμοιβὰς παρέχειν.

2 πιεῖν, πεσὼν εἰς τὸ ὕδωρ ἀπεπνίγετο Mc || παρεστηκότι nos: περισχόντι Mc περιεστηκότι ceteri || καθεζομένη post δένδρῳ libri excepto Ca || **3** φύλλον Ca κλάδον ceteri || **4** ἐπὶ τὴν Mc || πηγὴν, καὶ καθεσθεὶς ὁ μύρμηξ ἐπὶ τοῦ κλάδου διεσώθη (ἐσώθη Ch) δι' αὐτοῦ libri excepto Ca || **5** παραγενόμενος (παρὼν Cg Ch Mc) συνθεὶς libri excepto Ca || **6** ἐβούλετο (ἠ- Cg) libri excepto Ca || **8** ἀλγήσας καὶ σείσας τοὺς κ- libri excepto Ca || τὴν περιστερὰν φυγεῖν Cg Ch || **10** Ὁ μῦθος δηλοῖ ὅτι (Ὅτι Cb) καὶ τὰ ἄλογα ζῶα αἴσθησιν ἔχει (ἔχειν Cb) · δεῖ οὖν καὶ ἡμᾶς (ὑμᾶς Cb) τοὺς εὐεργέτας (συνερ- Cb) ἀμείβεσθαι libri excepto Ca || Alterum epim. solus habet Ca.

Aliter.

Μύρμηξ διψήσας καὶ κατελθὼν εἰς τὸν αἰγιαλὸν τῆς πηγῆς καὶ πιεῖν βουλόμενος ἀπεπνίγετο. Περιστερὰ δὲ ἐν τῷ πέρα ἑστηκυῖα εἰς δένδρον καθεζομένη ἐθεάσατο αὐτὸν καὶ κόψασα κλάδον ἀπὸ τοῦ δένδρου ἔρριψεν εἰς τὴν πηγήν· καὶ καθεσθεὶς ὁ μύρμηξ ἐπὶ τοῦ κλάδου ἐσώθη δι' αὐτοῦ. Ἰξευτὴς δέ τις συνθεὶς τοὺς καλάμους τὴν περιστερὰν κρατῆσαι ἠβούλετο. Ὁ δὲ μύρμηξ θεασάμενος ἔδακε τὸν πόδα τοῦ ἰξευτοῦ. Ὁ δὲ ἀλγήσας ἔρριψε τοὺς καλάμους καὶ ἐποίησε φυγεῖν τὴν περιστεράν.

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοὺς εὐεργέτας ἀντευεργετεῖν τὰ ὅμοια.

Codd. Ce 79 Cf 83.

1 εἰς τὴν πηγὴν Cf || **4** κλάδους codd. || **5** τοῦ κλάδους Ce Cf || **10** ὅτι καὶ ἄλογα ζῶα αἴσθησιν ἔχει· δεῖ οὖν καὶ ἡμεῖς τοὺς εὐεργέτας χαρίζεσθαι Cf.

Digitized by Google

Aliter.

Μύρμηξ διψήσας τῇ πηγῇ προσπελάζει
καὶ κύψας τοῦ πιεῖν ἐνέπεσεν ὕδωρ·
πνιγόμενον δ' οὖν περιστερὰ ὡς εἶδεν,
κόψασα κλάδον ἐκ φυτοῦ παραυτίκα
βάλλει τῇ πηγῇ πρὸς τὸν μύρμηκα πέλας,
καὶ καθεσθεὶς ὁ μύρμηξ ἐπὶ τοῦ κλάδου
ἐσώθη δι' αὐτοῦ ὁρμήσας εἰς γαῖαν.
Παρὼν δ' ἰξευτὴς καὶ συνθεὶς τοὺς καλάμους
συλλαμβάνει μύρμηκος τὴν εὐεργέτιν.
Μύρμηξ δ' αὖθις ὡς εἶδεν, δάκνει τὸν πόδα
ἰξευτοῦ κυνηγέτου. Τοῦ δὲ καλάμους
καὶ χεῖρα σείσαντος τοῦ κνίσαι τὸν πόδα,
πίπτουσιν οἱ κάλαμοι, πέλεια φεύγει.
Πράττων καλὸν κάλλιστον μισθὸν εὑρήσεις.

Cod. Cd 86.

1 διψήσας nos διψῶσα cod. || προσπελάζει nos προσ- cod. || 2 κύψας nos κύψασα αὐτὴ cod. || 3 πνιγόμενον δ' οὖν nos -μένην γοῦν cod. || 7 ὁρμήσας nos παρωρμήσας cod. || 11-12 κυνηγέτου τοῦ τὰς καλάμους καὶ τὴν χεῖραν σείσας correxi || 14 κάλλιστον μισθὸν εὑρήσεις nos εὑρήσεις κάλλιστον μεῖζον cod.

Aliter.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγήν, παρασυρεὶς ὑπὸ τοῦ ῥεύματος ἀπεπνίγετο. Περιστερὰ δὲ τοῦτο θεασαμένη κλῶνα δένδρου περιελοῦσα εἰς τὴν πηγὴν ἔρριψεν, ἐφ' οὗ καὶ καθίσας ὁ μύρμηξ διεσώθη. Ἰξευτὴς δέ τις μετὰ τοῦτο τοὺς καλάμους συνθεὶς ἐπὶ τὸ τὴν περιστερὰν συλλαβεῖν ᾔει. Τοῦτο δ' ὁ μύρμηξ ἑωρακὼς τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. Ὁ δὲ ἀλγήσας τούς τε καλάμους ἔρριψε καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν.

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοῖς εὐεργέταις χάριν ἀποδιδόναι.

Codd. La 41 Lb 82 Lc 20 Le 82 Lf 41 Lg 20 Lh 38 Md 82 Mg 108 Ml 107 Mm 98.

1 κατελθὼν La Mg καὶ κατελθὼν ceteri || 2 ἀπεπνίγη Md || τοῦτον θεασαμένη Lb Lc Le Lg Lh || 3 ἐφ' ᾧ Le Mg || 4 καὶ ante καθίσας om. Lb Le Lh || κεκαθίσας Mm || 5 ἐπὶ τῷ Lc Lf Lg Lh Ml || τὸ om. Md Mm || 6 εἴη Lh || 9 Ὁ μῦθος ὅτι Lb.

Digitized by Google

245

Μῦς ἀρουραῖος καὶ μῦς ἀστικός.

Μῦς ἀρουραῖος τὸν ἐν οἴκῳ ἐφίλει.
Ὁ δὲ τοῦ οἴκου κληθεὶς ὑπὸ τοῦ φίλου
ἦλθεν εὐθέως δειπνήσων εἰς ἀρούρας.
Ὁ δὲ ἐσθίων κριθὰς καὶ σῖτον ἔφη·
« Γίνωσκε, φίλε, μυρμήκων ζῇς τὸν βίον·
ἐπείπερ δ' ἐμοὶ ἀγαθῶν ἐστι πλῆθος,
ἐμοὶ σύνελθε καὶ ἀπολαύσεις πάντων. »
Καὶ παραχρῆμα ἀπῄεσαν οἱ δύο.
Καὶ ὃς ὑπεδείκνυ ὄσπρια καὶ σῖτον,
φοίνικας ἅμα, τυρόν, μέλι, ὀπώρας.
Ὁ δ' αὖ θαυμάζων αὐτὸν ηὐλόγει σφόδρα
καὶ τὴν ἑαυτοῦ κατεμέμφετο τύχην.
Βουλομένων δὲ ἀπάρξασθαι ἐσθίειν,
ἤνοιξεν εὐθὺς ἄνθρωπός τις τὴν θύραν.
Φοβηθέντες δὲ οἱ δειλαῖοι τὸν κτύπον
εἰσεπήδησαν οἱ μῦς εἰς τὰς ῥαγάδας.

Codd. Ch 88 Cg 13 Ca 121 Cd 88 Mb 116.

1 τὼ ἐν οἴκῳ Cg || **3** δειπνήσας Ch δειπνίσων Ca || **4** κριθ' Ch || Ὁ κεκληκὼς αὐτὸν δὲ κριθὰς εὐθὺς καὶ σῖτον φέρει· ὁ κεκλημένος δὲ πρὸς τοῦτον οὕτως ἔφη Cd || **5** Ὄντως σύ, φίλε Mb || **6** δ' om. Ch Cg Mb || πλῆθός ἐστι Ch Ca || Ἐγὼ δὲ πλῆθος ἀγαθῶν ἀπολαύνω Cd || **7** ὅμως pro ἐμοὶ Cg Cd Mb || ἐμοὶ om. Ca || πάντων ἀπολαύσεις Cg Cd ἀπολαῦσαι πάνυ Mb || **8** ἀπῄεισαν Cg || εἰς δύο Cg || Ἀπίεσαν τοιγαροῦν ἅμα οἱ δύο Cd || **9** Καὶ om. Ch Cg Cd Mb || ἐπεδείκνυεν Ca -κνυ Cd ὑπεδείκνει Mb || ὄσπριά (τὰ ὄ- Ca) τε Ch Cg Ca Mb || ὄσπρεά τε καὶ ἄρτους Cd || **10** τυρῶν, ὀπώρας, σῦκα, μέλι Cd || **11** Τοῦ δὲ τερφθέντος (τρεφθέντος Cg τραφέντος Cd) αὐτόν (-οῦ Cg om. Mb) libri excepto Ch || εὐλόγει Ca || **12** προσεμέμφετο Mb || **13** om. Mb || δὲ πάλιν Cd || **14** ἤνοιξέ τις ἄνθρωπος Cd || Ἀνοίξαντος δέ τινος εὐθὺς τὴν θύραν Mb || **15** om. Mb || οἱ δαιλοὶ Cg || τοῦ κτύπου Cg Ca Cd || **16** μύες Mb || εὐθέως εἰς τὰς ῥάγας, omisso οἱ μῦς Ca Cd.

Digitized by Google

Ὡς δὲ ἤθελον πάλιν ἰσχάδας ἆραι,
ἧκεν ἕτερος τοῦ λαβεῖν τι τῶν ἔνδον.
Οἱ δὲ καὶ πάλιν θεασάμενοι τοῦτον
εἰσεπήδησαν κρυβέντες ἐπὶ τρώγλης.
Ὁ δ' ἀρουραῖος ὀλιγωρῶν τῇ πείνῃ
ἀνεστέναξε καὶ πρὸς τὸν ἄλλον ἔφη·
« Χαῖρε σύ, φίλε, κατεσθίων εἰς κόρον
ἐπαπολαύων αὐτὰ μετ' εὐφροσύνης
καὶ τοῦ κινδύνου καὶ τοῦ πολλοῦ τοῦ φόβου·
ἐγὼ δ' ὁ τάλας κριθὴν καὶ σῖτον τρώγων
ζήσω ἀφόβως μηδένα ὑποπτεύων. »
Ὁ μῦθος δηλοῖ ὅτι
τὸ λιτῶς διάγειν καὶ ζῆν ἀταράχως
ὑπὲρ τὸ τρυφᾶν ἐν φόβῳ μετ' ὀδύνης.

17 πάλιν ἤθελον Mb || ἆραι πάλιν ἰσχάδας Cg || ἄρα Cd || **18** πάλιν ἧκεν ἕτερος ἵνα τι λάβῃ omisso τῶν ἔνδον Mb || **19** καὶ om. Ca || Οἱ δ' αὖθις ἐρχόμενον ὡς ἔγνων τοῦτον Cd Οἱ δὲ πάλιν κρύπτονται ἔνδοθεν τρόγλης duobus uersibus in unum coarctatis Mb || **20** ἐπὶ τῆς Cg || **21** πείνᾳ Cd || **22** ἀνεστέναζε Ca || πρὸς ἄλλον Cd || πρὸς τὸν μῦν ἐλάλει Mb || **23** τροφῶν pro φίλε Mb || **24** ἐπαπολαύω Cd || αὐτῶν Cg Mb || μευφροσύνης pro μετὰ εὐφ- Cd || **25** λοιποῦ pro πολλοῦ Ch || τούτου φόβου Mb || 6ου pro φόβου Cd || **26** ἡ τάλας Cd || κριθὰς Ca Cd || καὶ om. Mb || σῖτα τρογῶν Cd || ἐσθίων Mb || **27** ἄφοβος Ca || μηδένος Cg || μηδένος ἐποπτεύων Ca μηδένος ὑποπτεύων τὸν δόλον Cd || **28** Ὅτι Cg Mb || **29** λιπῶς Mb || συμφέρει ὑπὲρ libri συμφέρει resecui || **30** ἢ pro ὑπὲρ Ca || ὑπὲρ τοῦ ζῆν ἐν φόβῳ μετὰ ἡδονῆς Mb || **28-30** Κρεῖσσον τοῦ πένεσθαί τις καὶ ζῆν ἀφόβως ἢ πλουτεῖν καθ' ἡμέραν ὑπὸ δέους θνήσκειν Cd.

Aliter.

Μύες δύο, ὁ μὲν ἀρουραῖος, ὁ δὲ οἰκόσιτος κοινὸν εἶχον τὸν βίον. Ὁ δὲ οἰκόσιτος ἦλθε πρῶτος δειπνήσων ἐπὶ τῆς ἀρούρης ἔτι ἀνθούσης. Τρώγων δὲ σῖτον καὶ ῥίζας σὺν τοῖς βώλοις εἶπεν· « Μύρμηκος ζῇς βίον ταλαιπώρου· ἐμοὶ δὲ πολλὰ ἔνεστιν ἀγαθά· τὸ κέρας οἰκῶ τῆς Ἀμαλθείας ὡς πρὸς σέ. Ἐὰν ἔλθῃς μετ' ἐμοῦ, ὡς θέλεις ἀσωτεύσῃ. » Ἀπῆγε πείσας τὸν μῦν ἐν τῷ οἴκῳ. Ἔδειξε δὲ αὐτῷ σῖτον

Cod. Ba 94.

4 βόλοις cod. || **5** Ἀμαλθίας cod. || **7** Ἔδειξε δὲ αὐτὸν cod.

Digitized by Google

καὶ ἄλευρα καὶ ὄσπρια καὶ σῦκα καὶ μέλι καὶ φοίνικας. Οὗτος δὲ ἐτέρφθη καὶ διεχύθη. Ὁ δὲ ἤγαγε καὶ τυρὸν ἐκ κανισκίου σύρων. Ἤνοιξέ τις τὴν θύραν· οἱ δὲ ἔφυγον εἰς στενὴν τρώγλην, ἔτριζον δὲ ὑπ' ἀλλήλων στενούμενοι. Ὡς δὲ πάλιν ἤμελλον ἐκκύψαι καὶ μικρὰν ἰσχάδα σῦραι, ἕτερος ἦλθεν ἄλλο τι ἆραι· οἱ δὲ ἔνδον ἐκρύπτοντο. Ὁ δὲ ἀρουραῖος μῦς, καίπερ τοσαῦτα πεινῶν, εἶπε· « Χαῖρε καὶ πλούτει καὶ τρύφα, ἔχων τὰ πάντα μετὰ κινδύνων· ἐγὼ δὲ βοτάνας καὶ ῥίζας τρώγων ἀφόβως καὶ λιτῶς ζήσω. »

Ὅτι λιτῶς διάγειν καὶ ζῆν ἀταράχως ⟨μᾶλλον⟩ συμφέρει ἢ ἐν φόβῳ καὶ κινδύνῳ δαψιλῶς τρυφᾶν.

10 κανισχίου cod. || **11** ἐτζύριζον cod. || **12** ἤμελλον nos ἦλθεν cod. || **17** μᾶλλον addidi || **18** τρυφῇ cod.

246

Μῦς καὶ βάτραχος.

Μῦς χερσαῖος βατράχῳ ἐφιλιώθη.
[Ὁ οὖν βάτραχος μῦν καλεῖ συνδειπνῆσαι.
« Τρέφου, » λέγων, « ὦ φίλε, ὅ τι ἂν βούλῃ
καὶ μὴ αἰδεσθῇς ἐμὲ τὸν προσφιλῆ σου. »]
Ὁ οὖν βάτραχος τὸν μῦν προσεκεκλήκει.
Καὶ δὴ προσδήσας αὐτοῦ τὸν ποῦν σχοινίῳ
τοῦτον εἰσάγει ἀνὰ μέσον τῆς λίμνης.
Αὖθις δὲ ὁ μῦς εἰσελθὼν ἀπεπνίγη,
ὃς ψυχορραγῶν ἐβόα τῷ βατράχῳ·
« Ἐγὼ μέν, φίλε, ὑπὸ σοῦ ἀποθνήσκω.
Ἔστι δὲ θεὸς ὃς κἀμὲ ἐκδικήσει,
ὁ μὴ παρορῶν τοὺς θανόντας ἀδίκως. »

Codd. Cg 15 Ch 90 Mb 117.

1 Μῦς δὲ Ch || ἐφιλιώθη βατράχῳ Mb || ἐφιλήθη Ch || **2** ex Mb sumpsi : post hunc secundum uersum desinit fabula in Mb ; nam folium sequens delapsum est || τὸν μῦν ἐκάλει, omisso συνδειπνῆσαι Cg μῦν ἤχει συνδειπνήσων Ch. Ceterum 2-4 ad aliam scripturam eiusdem fabulae pertinere uidentur || **3** om. Cg || εἴ τι δ' ἂν Ch || **5** προσεπεπλάκη Cg || **6** προσπηδήσας Cg || **8** ἀπεπνίγει Ch || **9** τῷ βατράχῳ ἐβόα Ch || **10** ὦ φίλε Cg || **11** κἀμοὶ Ch || **12** ἀδίκως θανέντας Ch.

Digitized by Google

Καὶ δὴ ἀετὸς πετόμενος ἐπάνω
ἐθεάσατο τὸν μῦν ἐπὶ τῆς λίμνης,
ὅστις καταπτὰς ἀφήρπασεν εὐθέως.
Ἅμα βάτραχος αὐτῷ προσδεδεμένος
δεῖπνον καὶ αὐτὸς προσήχθη τοῖς ὀρνέοις
παθὼν ὅμοια οἷς αὐτὸς ἐδεδράκει.

Ὅτι, εἰ καὶ νεκρός τις ὑπό τινος γένηται, ἀλλ' ἡ θεία πρόνοια, ἡ πάντα ἐφορῶσα, ἀποδίδωσιν ἴσως ζυγοστατοῦσα.

16 et **17** Ἅμα βατράχῳ αὐτῷ (αὐτὸν Ch) προσδεδεμένον ... προσαχθεὶς Cg Ch corr. Fedde || **18** οἷς ἐπεπράχει Ch || **19** Ὁ μῦθος δηλοῖ ὅτι Ch || **20** πάντας Ch || ζυγοστατοῦσα ἴσως Ch.

Aliter.

Χερσαῖος μῦς κακῇ μοίρᾳ βατράχῳ ἐφιλιώθη. Ὁ δὲ βάτραχος κακῶς βουλευσάμενος τὸν πόδα τοῦ μυὸς τῷ ἑαυτοῦ ποδὶ συνέδησε. Καὶ πρῶτον μὲν ἐπὶ τῆς χώρας ἦλθον σῖτον δειπνήσοντες· ἔπειτα δὲ τῷ χείλει τῆς λίμνης πλησιάσαντες, ὁ μὲν βάτραχος τὸν μῦν εἰς τὸ βάθος κατῆγεν, αὐτὸς βρυάζων τῷ ὕδατι καὶ τὸ βρεκεκεκὲξ ἀνακράζων. Ὁ δὲ ἄθλιος μῦς τῷ ὕδατι φυσηθεὶς ἐτεθνήκει· ἐπέπλει δὲ τῷ ποδὶ τοῦ βατράχου συνδεδεμένος. Ἰκτῖνος δὲ τοῦτον ἰδὼν τοῖς ὄνυξιν ἥρπασεν· βάτραχος δὲ δεσμώτης ἐπηκολούθει, δεῖπνον καὶ αὐτὸς τῷ ἰκτίνῳ γενόμενος.
Ὅτι, κἂν νεκρὸς ᾖ τις, ἰσχύει πρὸς ἄμυναν· ἡ γὰρ θεία δίκη ἐφορᾷ πάντα καὶ τὸ ἴσον ἀποδίδωσι ζυγοστατοῦσα.

Codd. Ba 144 Bb 88.

1 χερχαῖος Bb || **3** ἐπὶ τὰς χώρας ἦλθε Ba || **4** ἦλθε σῖτον δειπνήσαντες Bb || ἦλθον Furia || δὲ om. Bb || τὸ χεῖλος Bb || **5** εἰς τὸν βυθὸν κατήνεγκεν Bb || **6** βρυχάζων Bb || βρὲκ ἒξ κεκ ἐξαναχράζων Ba βρέκεξ καὶ κεξὰν Bb || **7** φυσιθεὶς Ba || **8** Ἴκτινος codd. || **10** δεῖπνος Ba || **12** εὐφορᾷ Ba || τοῖς ἴσον Ba Bb || ἀποδιδοῦσι ζυγοστατοῦσι Ba || ἀποδίδωσι ζυγοστατεῖ Bb.

Aliter.

Βάτραχος καὶ μῦς κακῇ μοίρᾳ ἐφιλιώθησαν. Ὁ τοίνυν βάτραχος ἔφη τῷ μυί· « Ἐγὼ μὲν ἐν ὕδασι γλυκεροῖς καὶ χλοεροῖς βοτάνοις ἀεὶ τρέφομαι· σὺ δὲ μόνος ἐν οἴκῳ κατοικεῖς μετὰ φόβου· καὶ ἡνίκα τις τῇ θύρᾳ προσκρούσῃ,

(Codex Vaticanus 1745 qui solam hanc fabulam habet.)

Digitized by Google

ἐν στενῷ τόπῳ εἰσέρχῃ· ἀλλ' εἰ θέλεις ἀφόβως μετ' ἐμοῦ εἶναι καὶ ζῆν ἐν ἀμερίμνῳ διαίτῃ, ἐλθὲ καὶ μάθω σε κολυμβᾶν. » Ἀπελθὼν οὖν ὁ μῦς συνέδησεν ἑαυτὸν τῷ ποδὶ τοῦ βατράχου. Ὁ οὖν βάτραχος εἰσιὼν ἐν τῷ βυθῷ ἀναβρυάζων καὶ κράζων κεκὲξ ἔπνιξε τὸν μῦν. Ὁ δὲ μῦς φυσηθεὶς ἐκ τοῦ ὕδατος ἀνῆλθεν ἄνω. Τοῦτον ἰκτῖνος ἰδὼν καὶ κατελθὼν ἦρε τοῖς ὄνυξι καὶ συνηκολούθει δεδεμένος καὶ ὁ βάτραχος ὅμοια παθὼν καὶ αὐτὸς ἃ ἐδίδασκεν.

Ὅστις καθ' ἑτέρου δόλια μηχανᾶται καὶ ἑαυτοῦ γίνεται τῶν κακῶν ἀρχηγός.

5 ἀλλ' εἰ θέλεις nos ἀληθείας cod. || 8 ἀναβραχὲξ pro ἀναβρυάζων || 10 πλτήνου pro ἰκτῖνος cod.

247

Ναυαγὸς καὶ θάλασσα.

Ναυαγὸς ἐκβρασθεὶς εἰς τὸν αἰγιαλὸν ἐκοιμᾶτο διὰ τὸν κόπον· μετὰ μικρὸν δὲ ἐξαναστάς, ὡς ἐθεάσατο τὴν θάλασσαν, ἐμέμφετο αὐτῇ ὅτι γε δελεάζουσα τοὺς ἀνθρώπους τῇ πραότητι τῆς συνόψεως, ἡνίκα ἂν αὐτοὺς προσδέξηται, ἀπαγριουμένη διαφθείρει. Ἡ δὲ ὁμοιωθεῖσα γυναικὶ ἔφη πρὸς αὐτόν· « Ἀλλ', ὦ οὗτος, μὴ ἐμὲ μέμφου, ἀλλὰ τοὺς ἀνέμους· ἐγὼ μὲν γὰρ φύσει τοιαύτη εἰμὶ ὁποίαν καὶ νῦν με ὁρᾷς· οἱ δὲ αἰφνίδιόν με ἐπέρχονται καὶ κυματοῦσι καὶ ἐξαγριοῦσιν. »

Codd. Pa 165 Pb 166 Pc 94 Ma 115 Mb 125.

1 Ναυαρχός Pb || τὸν αἰγιαλὸν Pa τινα αἰ- ceteri || διὰ τὸν κόπον ἐκοιμᾶτο libri excepto Pa || 2 μετὰ δὲ μικρὸν Pb || πρὸς τὴν θάλασσαν Pb || ὡς... θάλασσαν om. Ma || 3 αὐτὴν Pb Pc Mb || ἐμέμφετο τῆς θαλάσσης αὐτῇ ἀτενίζων Ma || γε Pa solus || δεδελεάζουσα Ma || 4 ὄψεως Pc Ma Mb || τῇ μὲν τῆς ὄψεως λαμπρότητι Pb || καὶ ἡνίκα Ma || προσδείξηται Pa || 5 ἐξαγριουμένη Pb ἐπαγ- Mb ἀπογαστρισαμένη Ma || γυναικὶ ὁμοιωθεῖσα πρὸς αὐτὸν ἔφη Pb || 6 εἶπε Ma || ἔφη· « Ὦ οὗτος, ἀλλὰ μὴ Mb || μὴ μέμφου ἐμέ Pb || μέμφῃ Pc || 7 μὲν om. Pb || φύσεως Ma || ὁποίαν ἂν Pa Pc || ὁποία ἡ γῆ Pb ὁποία με νῦν ὁρᾷς Ma || με καὶ νὺν Pc || 8 με ante ὁρᾷς om. Mb || ἐφνίδιον μ' Pa || αἰφνίδιοί με (με om. Pb) ἐμπίπτοντες κυματοῦσιν καὶ ἐξαγριαίνουσιν Pb Pc ἐφνήδιόν μοι ἐμπίπτοντες κυματίζουσι καὶ ἐξαγριαίνουσι Ma || μοι ἐμπίπτοντες κυματοῦσι Mb.

Ἀτὰρ οὖν καὶ ἡμᾶς ἐπὶ τῶν ἀδικημάτων οὐ δεῖ τοὺς δρῶντας αἰτιᾶσθαι, ὅταν ἑτέροις ὑποτεταγμένοι ὦσι, τοὺς δὲ τούτοις ἐπιστατοῦντας.

11 ἑτέροις om. Mb || τοῖς δὲ τούτοις ἐπιστατοῦσιν Pa || 10-12 Δεῖ οὖν καὶ ἡμᾶς τῶν ἀδικημάτων οὐδὲν τοὺς δρῶντας αἰτιᾶσθαι, ὅταν ἑτέροις ὑποτεταγμένοι ὦσι, ἀλλὰ τοὺς ἐπιστατοῦντας Ma.

Aliter.

Γεωργὸς καὶ θάλασσα.

Γεωργός τις ἰδὼν ναῦν ἐν ⟨τῇ⟩ θαλάσσῃ
κυμαινομένην καὶ βυθῷ πεμπομένην
κατηράσατο τὴν θάλασσαν δακρύων.
Ἡ δὲ πρὸς αὐτὸν ἀνεβόα τοιαῦτα·
« Ἵνα τί, ⟨ὦ⟩ ἄνθρωπε, μέμφῃ με μάτην;
οὐ γὰρ ἔγωγε τῶν κινδύνων αἰτία,
ἀλλ᾽ οἱ ἄνεμοι, οἱ ἐκταράττοντές με.
Ἐὰν δὲ βουληθῇς χωρὶς τούτων πλεῦσαι,
ἡμερωτέραν δή με τῆς γῆς εὑρήσεις. »

Ὅτι γαληνοὺς δεσπότας οἱ χαιρέκακοι παραφυσῶντες ἐπεγείρουσι πρὸς ὀργάς τε καὶ ζάλας.

Cod. Mb 26 (Versus restitui).

1 τῇ addidi || 3 κατηράσατο nos ἐκατηρᾶτο cod. || 5 ὦ addidi || 8 Εἰ cod.

Aliter.

Ἰδὼν γεωργὸς ναῦν ἐν θαλάσσῃ χειμαζομένην καὶ κινδυνεύουσαν, εἶπεν· « Ὦ θάλασσα, στοιχεῖον ἀνηλεὲς καὶ τῶν ἀνθρώπων ἐχθρόν. » Ἡ δὲ θάλασσα γυναικείαν μορφὴν ἀναλαβομένη ἔφη· « Τί μέμφῃ μοι, ἄνθρωπε, μάτην; οὐκ εἰμι ἐγὼ αἰτία, ἀλλ᾽ οἱ ἐκταράσσοντές με ἄνεμοι· εἰ δὲ χωρὶς τούτων πλεύσεις, με ἡμερωτέραν τῆς γῆς εὑρήσεις ἐφ᾽ ἧς βαδίζεις. »

Ὅτι καὶ γαληνοὺς καὶ πραεῖς δεσπότας οἱ χαιρέκακοι παραφυσῶντες πρὸς ζάλην καὶ ὀργὴν διεγείρουσιν.

Cod. Ba 54 Bb 34.

1 τῇ θαλάσσῃ Bb || 3 ἐχθρέ Bb || Ἡ θάλασσα δὲ Bb || 4 μέμφῃ με Bb || 5 ἄνεμοι ... με om. Bb || 6 ἡμερωτέραν γὰρ Bb.

Digitized by Google

Aliter.

Γεωργὸς ἰδὼν ναῦν ἐν τῇ θαλάσσῃ χειμαζομένην καὶ κινδυνεύουσαν, τῇ θαλάσσῃ κατεμέμφετο καὶ ὡς στοιχείῳ ἀνημέρῳ καὶ ἀπανθρώπῳ. Ἡ δὲ θάλασσα ἐν γυναικείῳ σχήματι νυκτὸς ἐπιστᾶσα ἔφη· « Τί με μάτην, ὦ ἄνθρωπε, κακίζεις; οὐκ εἰμι ἐγὼ αἰτία τῆς ταραχῆς ἣν ἑώρακας, ἀλλ' οἱ ἐκταράσσοντές με ἄνεμοι· ἂν γὰρ χωρὶς τούτων πλεύσῃ μέ τις, καὶ ἡμερωτέραν εὑρήσει τῆς γῆς ἣν σύ βαδίζεις. »

Cod. Bd 27.

248

Νεανίσκοι καὶ μάγειρος.

Δύο νεανίσκοι ἐν ταὐτῷ κρέας ὠνοῦντο. Καὶ δὴ τοῦ μαγείρου περισπασθέντος, ὁ ἕτερος ὑφελόμενος ἀκροκώλιον, εἰς τὸν τοῦ ἑτέρου κόλπον καθῆκεν. Ἐπιστραφέντος δὲ αὐτοῦ καὶ ἐπιζητοῦντος, αἰτιωμένου τε ἐκείνους, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων μὴ εἰληφέναι. Καὶ ὁ μάγειρος αἰσθόμενος αὐτῶν τὴν κακοτεχνίαν, εἶπεν· « Ἀλλὰ κἂν ἐμὲ λάθητε ἐπιορκοῦντες, θεοὺς μέντοι γε οὐ λήσετε. »

Ὁ λόγος δηλοῖ ὅτι ἡ αὐτή ἐστιν ἡ ἀσέβεια τῆς ἐπιορκίας, κἂν αὐτήν τις κατασοφίζηται.

Codd. Pa 65 Pb 66 Pe 33 Pf 30 Pg 43 Ph 32 Ma 47 Mb 37.

1 ἐν ταὐτὰ Ma || Καὶ διὰ Pe || πρῶτον pro τοῦ μαγείρου Pb || 2 περισπαθέντος Pa παρασπασθέντος Mb || ἀφελούμενος Ma || ἀκροκώλιον Pf -κολλιν Pa -κώλην Pe -κολον Ma τὸ κρέας Pb om. Pg Mb || 3 εἰς τοῦ ἑτέρου τὸν κόλπον καθῆκεν αὐτό Pb || ἀνῆκεν Pe || 4 ἐπιζητοῦντος τὸ ἀφαιρεθὲν Ph || ζητοῦντος Ma || ἐκεῖνόν τε αἰτιωμένου Pb αἰτιώμενος ἐκείνους (-νης Pe) Pe Ma || 5 ὤμνυε ὁ εἰληφὼς μὴ ἔχειν Pe || μηδὲν ἔχειν Ma || 6 ἔφη Pb Ph Ma ἔφη ὅτι Pg Mb || Ἀλλὰ om. Pb Pg Mb || 7 λανθάνητε Pe λήσετε Ph || θεὸν Pf τὸν θεὸν Ph || θεοὺς μή τοι γελέσεσθε Pe || γε om. Pb || λήσεσθε Pb Pf Ph Ma Mb || 8 ἐστιν om. Pa || pro ἡ αὐτὴ habent αὕτη Pa αὐτή Pb || 9 κατασκευάζηται Pb pro -σοφίζηται || 8-9 Ὁ λόγος δηλοῖ ἡμᾶς ὅτι ἡ ἐπιορκία ἐστὶν ἀσέβεια, κἂν αὐτήν τις κατασοφίζηται Pe Ὅτι (Ὁ λόγος δηλοῖ sine ὅτι Pf) ἡ ἀσέβεια τῆς ἐπιορκίας, κἂν τις αὐτὴν κατασοφίσηται, μίαν ἔχει τὴν δύναμιν Pf Ph Ὁ λόγος δηλοῖ ὅτι καὶ αὐτὴν τὴν ἀσέβειάν τις ἐφορκήσει, κἂν αὐτά τις κατασοφίζεται Ma || Ὁ λόγος δηλοῖ ὅτι ἀσέβειά ἐστι, κἂν τὴν ἐπιορκίαν τις κατασοφίζηται (-ζεται Pg) Pg Mb.

Digitized by Google

Aliter.

Δύο νεανίσκοι ἐν ταὐτῷ κρέας ὠνήσαντο. Καὶ δὴ τοῦ μαγείρου περισπασθέντος, εἷς ἐξ αὐτῶν ἀφελόμενος μέρος τι τοῦ κρέατος εἰς τὸν τοῦ ἑτέρου κόλπον καθῆκεν. Ἐπιστραφεὶς δὲ ὁ μάγειρος καὶ ἐπιζητῶν αὐτό, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων, μὴ εἰληφέναι. Καὶ ὁ μάγειρος αἰσθόμενος τὴν κακοτεχνίαν αὐτῶν, ἔφη· « Ἀλλὰ κἂν ἐμὲ λάθητε, τῷ ἐπιορκουμένῳ θεῷ οὐκ ἀγνοηθήσεσθε. »

Ὁ μῦθος δηλοῖ ὅτι, κἂν ἀνθρώπους διακρουσώμεθα ἐπιορκοῦντες, ἀλλὰ θεὸν οὐδαμῶς· ἀλάθητον γὰρ τὸ θεῖον.

Codd. Ca 60 Cb 39 Cd 36 Ce 41 Cf 45 Ch 46 Mh 39 Mi 79.

1 Δύο νεανίσκοι μαγείρῳ παρακαθήμενοι ἐκ τοῦ λέβητος κρέα ἀμφήρπαξαν, ἐκείνου πρὸς χρείαν ἀπελθόντος. Λαβὼν δὲ ὁ εἷς ἔδωκε τῷ ἑτέρῳ φυλάττειν. Ἐπιστραφεὶς Ce || ἐν ταὐτὰ Cf ἐν τῷ αὐτῷ Mi || ὠνοῦντο Cb Cd || Καὶ δὴ τοῦ μαγείρου περί τινων οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος μέρος τι τῶν κρεῶν ὑφελόμενος εἰς τὸν θατέρου καθῆκε κόλπον Mi || **2** τι τοῦ κρέατος μέρος Mh || τι μέρος Cd || **3** τὸν ἑτέρου Cd Cf Mh || Ἐπιστραφέντος δὲ τοῦ μαγείρου καὶ τὸ κρέας ἐπιζητοῦντος (καὶ ἐπιζητοῦντος αὐτώ (αὐτό Mh) Mh Cb) Cb Cd Mh Mi || **4** ἐπιζητῶν τὰ κρέα Ce || ὁ μὲν ἀληθῶς ὤμνη μὴ εἰληφέναι ἔχειν αὐτόν, ὁ δὲ ἔχων ὤμνυε μὴ λαβεῖν Cd || **5** ὄμνυεν μηδὲν ἔχειν Mh || ὄμνυε μὴ εἰληφέναι Ce || Ὁ δὲ μάγειρος αἰσθόμενος τὴν κακουργίαν Mi || **6** τῆς κακοτεχνίας Mh || ἔφη ὅτι Cd εἶπεν Mh Mi || Ἀλλὰ om. Cf || ἐμοὶ Mh || **7** λάθετε Cf || λάθετε (-ται Cb -θῆτε Ch) ἐπιορκοῦντες, θεοὺς δέ τοι (τι Cb Ch) οὐ λήσεσθαι (λάθετε Ch) Cb Cd Ch || ἐπιορκοῦντι θεῷ οὐ λήσεσθαι (λάθεσθε Cf) Ce Cf || τόν γε ἐπιορκούμενον θεὸν οὐ λήσεσθε Mi || λήσεσθαι Mh || **8** Ὅτι κἂν Cb || **9** θεὸν δὲ (δὲ om. Cf Mh) Cb Cd Cf Ch Mh || ἐπίορκον pro ἀλάθητον Ca ἀλλάθητον Cb || **8-9** Ὁ μῦθος δηλοῖ ὅτι οἱ ἐπιορκοῦντες, κἂν ἀνθρώπους λάθωσι, τῷ θεῷ οὐδαμῶς· ἀλάθητον γὰρ τὸ θηιῶν Ce Ὁ μῦθος ὅτι, κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε θεὸν οὐ λήσομεν Mi.

Aliter.

Δύο νεανίσκοι μαγείρῳ παρεκάθηντο. Καὶ δὴ τοῦ μαγείρου περί τι τῶν οἰκείων ἔργων ἀσχολουμένου, ἅτερος τούτων,

Codd. La 26 Lb 37 Lc 14 Ld 18 Le 37 Lf 26 Lg 14 Lh 16 Mc 38 Md 44 Me 44 Mf 39 Mg 46 Mj 43 Mk 42 Ml 48 Mm 56 Mn 18.

1 Δύο νεανίσκοι ἐν τῷ αὐτῷ (ἔν τινι μαγείρῳ Mk) κρέας ὠνήσαντο Mc Md Mk Mm Mn || **2** τῶν ἰδίων ἀσχολουμένου omisso ἔργων Mk || τι om. Le Mm || ἀσχολούμενος Mn || ὁ ἕτερος Md Me || τούτων om. Mc Md Mk Mm Mn.

μέρος τι τῶν κρεῶν ὑφελόμενος, εἰς τὸν θἀτέρου καθῆκε κόλπον. Ἐπιστραφέντος δὲ τοῦ μαγείρου καὶ τὸ κρέας ἐπιζητοῦντος, ὁ μὲν εἰληφὼς ὤμνυε μὴ ἔχειν, ὁ δὲ ἔχων μὴ εἰληφέναι. Ὁ δὲ μάγειρος, αἰσθόμενος τὴν κακουργίαν αὐτῶν, εἶπεν· « Ἀλλὰ κἂν ἐμὲ λάθητε, τόν γ' ἐπιορκούμενον θεὸν οὔκουν λήσετε. »

Ὁ μῦθος δηλοῖ ὅτι, κἂν ἀνθρώπους ἐπιορκοῦντες λάθωμεν, ἀλλὰ τόν γε θεὸν οὐ λήσομεν.

3 τοῦ κρέατος ἀφελόμενος Mk || ὑφελούμενος Mn || κατέθηκε Lh || κόλπον καθῆκεν Mk || **4** δ' οὖν Ld || καὶ om. Mn || **5** ὁ μὲν ὑφελόμενος Lb Le Lh Mj ὁ μὲν ἀφελόμενος Me Mf || ὤμνυ Lb Mj Mm ὤμνει Le || **7** ἀλλὰ τόν γε Ml || τόν τε Ld Mn || θεὸν ἐπιορκούμενον Lc || **8** οὐ pro οὔκουν Md Mk Mm Mn || λήσετε La Lb Ld Lg Mk λήσομεν Ml λήσεσθε (-σθαι Lc Le Lh Mc) ceteri || **9** Ὁ μῦθος ὅτι Lh Mn || τοὺς ἀνθρώπους Lc Lg Mc Md Mk Mn || λανθάνωμεν Ld || **10** γε om. Ld Le || οὔκουν λήσομεν Lc Lh Mj || Priori epimythio alterum adiunctum est in Lb Le Lh Me Mf Mj : (ἕτερον· Mj) ὅτι ἡ αὐτή ἐστιν ἀσέβεια τῆς ἐπιορκίας, κἂν κατασοφίζηταί (-ίζεται Le Lh) τις αὐτήν (αὐτήν om. Lh).

249

Νέος ἄσωτος καὶ χελιδών.

Νέος ἄσωτος καταφαγὼν τὰ πατρῷα, ἱματίου αὐτῷ μόνου περιλειφθέντος, ὡς ἐθεάσατο χελιδόνα παρὰ καιρὸν ἐλθοῦσαν, οἰόμενος ἤδη θέρος εἶναι, ὡς μηκέτι δεόμενος τοῦ ἱματίου, καὶ τοῦτο φέρων ἀπημπόλησεν. Ὕστερον δὲ χειμῶνος ἐπιλαβόντος καὶ σφοδροῦ τοῦ κρύους γενομένου, περιιών, ἐπειδὴ εἶδε τὴν χελιδόνα νεκρὰν ἐρριγωμένην,

Codd. Pa 166 Pc 95 Pg 106 Ma 116 Mb 126 Ca 123.

1 ἱματίου καὶ (καὶ om. Pc) μόνου (-νον Mb Pg) Pc Pg Ma Mb Ca || **2** περιλιπόντος Pa ἐπι- Pg Mb παραληφθέντος Ma || κατὰ καιρὸν Mb || ἐλθοῦσαν nos om. Pc ἐλθοῦσαν καὶ ὀφθεῖσαν Ca ὀφθεῖσαν ceteri || **3** καὶ δὴ θέρος εἶναι ὑπολαβών Pg καὶ δὴ ἐλπίσας θέρος εἶναι Mb || ἔαρ ἤδη προσιέναι Ca || ἤδη om. Pc || εἶναι om. Pa || δεηθησόμενος Ca || τοῦ om. Ma || **4** φέρων om. Ma || ἀπεμπόλει Pg ἀπεπώλησεν Ca || **5** ἐπιλαβομένου Ma Mb ἐπιγενομένου Pg γενομένου pro ἐπιλαβόντος Ca || σφόδρα Ma || τοῦ κρύους γενομένου Pc τοῦ χειμῶνος γεγονότος Pa γενομένου τοῦ ἀέρος Pg Ma Mb Ca || **6** περιιών om. Ma Ca || χελιδὼν ἀνεκρεριμμένην Ma || ἐρριγωμένην nos ἐρριμένην Pc ἐρημουμένην Ca ἐρριμμένην ceteri.

Digitized by Google

ἔφη πρὸς αὐτήν· « Ὦ αὕτη, σὺ κἀμὲ καὶ σὲ ἀπώλεσας. »

Ὁ λόγος δηλοῖ ὅτι πάντα τὰ παρὰ καιρὸν δρώμενα ἐπισφαλῆ τυγχάνουσιν.

7 Ὦ φίλη, αὕτη σὺ κἀμὲ ἀπολώλεκας καὶ ἀπώλεσας Ca || σὺ κἀμὲ ἀπώλεσας (ἀπολώλεκας Pg Mb) Pc Pg Ma Mb || 8 μῦθος Pc || πᾶν τὸ παρὰ καιρὸν δρώμενον ἐπισφαλές (κατασφαλές Ma) ἐστιν (τυγχάνει Ca) Pc Pg Ma Mb Ca || κατὰ Pa.

Aliter.

Νέος ἄσωτος καταφαγὼν τὰ πατρῷα, ἱματίου μόνου καταλειφθέντος αὐτῷ, εἶδε χελιδόνα παρὰ καιρὸν ἐλθοῦσαν καὶ θέρος εἶναι νομίσας, μηκέτι δεόμενος τοῦ ἱματίου, τοῦτο φέρων ἐπώλησε. Μετὰ μικρὸν δὲ χειμῶνος καὶ ψύχους σφοδροῦ γενομένου, ἐπειδὴ εἶδε τὴν χελιδόνα φερομένην ὑπὸ τῶν ὑδάτων νεκράν, ἔφη· « Ὦ αὕτη, σὺ κἀμὲ καὶ σεαυτὴν ἀπώλεσας. »

Ὁ μῦθος δηλοῖ ὅτι πᾶν τὸ παρὰ καιρὸν πραττόμενον ἐπικίνδυνόν ἐστι.

Codd. Ch 92 Cg 18 Cb 76 Ce 83 Cf 87 Mc 74 Ml 114.

1 τὰ om. Cb || τὰ πράγματα αὐτοῦ Ce Cf Ml πατρῴαν οὐσίαν Mc || μόνου ἱματίου Cb || ἱματίῳ μόνῳ καταλειφθέντι αὐτῷ Ce Cf Ml μόνω ἱμάτιον καταληφθέντος αὐτῷ Mc || 2 παραληφθέντος Cg -λειφθέντος Cb || ἐπεὶ δὲ ἴδεν Ce ἐπεὶ εἶδε Cf Ml || οἶδεν χελιδὼν Mc || ἐλθοῦσαν nos ὀφθεῖσαν (-σα Cb) libri || 3 καὶ om. Ml || καὶ μηκέτι Cg Ml || δέεσθαι Cg || τοῦ Cb Cg om. ceteri || 4 πώλη Cg || 5 ψυχροῦ Cb ψύχου Ce || γεγονότος Cg Cb Mc || ἰδὼν omisso ἐπειδὴ Ml || ἰδεῖν τὴν χελιδόνα ἔτυχε φερομένην Mc || 6 τῶν om. Ce || ἀδύτων Cg Cb Mc || ὅτι pro σὺ Ce || 8 Ὅτι Cg Cb.

Aliter.

Νέος ἄσωτος καταφαγὼν οὐσίαν
τὴν πατρῴαν, ἱματίου αὐτῷ μόνου
καταλειφθέντος, ὡς εἶδε χελιδόνα
παρὰ καιρὸν ἐλθοῦσαν, καὶ θέρος εἶναι
νομίσας, πωλεῖ τοῦτο. Μετὰ δ' ὀλίγον
χειμὼν ἐπιφοιτήσας καὶ σφοδρὰ πῆξις,
ὡς χελιδόνα εἶδε νεκρὰν ῥιγοῦσαν,

Cod. Cd 91.

3 καταλειφθέντος, ὡς nos ἐκατελείφθη. Ὡς δ' cod. || 4 ἐλθοῦσαν nos ὠφθεῖσαν cod. || 5 Μετ' ὀλίγον δὲ cod. || 6 πῆξις ὑπ' αὐτοῦ γενομένη cod. || 7 ῥιγοῦσαν nos ἠπτύαν cod.

πτῶμα κειμένην χαλεπὸν ὑπὸ κρύους·
« Σὺ κἀμὲ καὶ σαυτὴν ἀπώλεσας, » ἔφη.
Ὁ λόγος παραινεῖ
πᾶσι μὴ δρᾶν τι πρᾶγμα παρὰ τὴν ὥραν·
εἰ γὰρ δράσειας, οὐ φεύξῃ τοῦ κινδύνου.

9 κἀμὲ ταύτην, ἔφη, συναπολώλεις cod. correxi || 11 τὸ πρᾶγμα cod.

250

Νοσῶν καὶ ἰατρός.

Νοσῶν τις καὶ ἐπερωτώμενος ὑπὸ τοῦ ἰατροῦ πῶς διετέθη, ἔλεγε πλέον τοῦ δέοντος ἱδρωκέναι. Ὁ δὲ ἔφη· « Ἀγαθὸν τοῦτο. » Ἐκ δευτέρου δὲ ἐρωτώμενος πῶς ἔχοι, ἔφη φρίκῃ συνεχόμενος διατετινάχθαι. Ὁ δέ· « Καὶ τοῦτο, ἔφη, ἀγαθόν. » Τὸ δὲ τρίτον ὡς παρεγένετο καὶ ἐπηρώτα αὐτὸν περὶ τῆς νόσου, διαρροίᾳ περιπεπτωκέναι ἔφασκε. Κἀκεῖνος « ἀγαθὸν καὶ τοῦτο » φήσας ἀπηλλάγη. Τῶν δὲ οἰκείων τινὸς παραγενομένου πρὸς αὐτὸν καὶ πυνθανομένου πῶς ἔχοι, ἔφη πρὸς αὐτόν· « Ἐγώ σοι ὑπὸ τῶν ἀγαθῶν ἀπόλωλα. »

Codd. Pa 167 Pf 89 Pg 107 Ma 117 Mb 127 Me 115 Mf 97 Mj 106.

2 διετέθης Pf Ma Me Mf || ἱδρωκέναι ἔφη Pg Mb || Ὁ δὲ ... τοῦτο om. Pf Mj || Ὁ δὲ om. Ma || Ὁ δὲ ἀγαθὸν τοῦτο ἔλεγε Pg Mb Ὁ δὲ ἀγαθὸν ἔφη τοῦτ' εἶναι Me Mf || δὲ om. Ma Mb || 3 τοῦτο εἶναι Ma || Καὶ ἐκ δευτέρου δὲ Pf Me Mf Mj || ἔχοι Pa ἔχει ceteri || 4 συνεχόμενος Pg Ma Mb -μενον ceteri || Ὁ δὲ ἀγαθὸν ἔφασκεν (καὶ τοῦτ' ἔφησεν Me Mf) εἶναι Pf Me Mf Mj || καὶ τοῦτο ἀγαθὸν ἔφασκεν εἶναι (εἶναι om. Pg Mb) Pg Ma Mb || 5 ἐπηρώτησεν Ma || 6 πεπτωκέναι ἔλεγεν Ma || εἶπεν Pf Me Mf Mj || ἔφη ὑδέρῳ περιπεπτωκέναι Pg Mb || 7 Ὁ δὲ ἰατρὸς pro κἀκεῖνος Pf Me Mf Mj || Εἶπε κἀκεῖνος ἀγαθὸν καὶ τοῦτο εἶναι, omisso ἀπηλλάγη Ma || καὶ τοῦτο εἶναι, omisso φήσας ἀπηλλάγη. Pg Mb || ἀπῆλθεν Pf Me Mf Mj || Τινὸς δὲ τῶν οἰκείων παραγενομένου πρὸς ἐπίσκεψιν καὶ Pf Me Mf Mj || 8 καὶ om. Mb || 9 ἔχοι Pa ἔχει ceteri || πρὸς αὐτόν om. Pg Mb || ἔφη πρὸς αὐτὸν ὁ νοσῶν· Ἐγὼ ὑπὸ τῶν ἀγαθῶν τοῦ ἰατροῦ ἀπόλωλα Pf Me Mf Mj.

Digitized by Google

Οὕτω πολλοὶ τῶν ἀνθρώπων ἐπὶ τούτοις ὑπὸ τῶν πέλας μακαρίζονται τῇ ἔξωθεν οἰήσει, ἐφ' οἷς αὐτοὶ παρ' ἑαυτοῖς τὰ μάλιστα δυσφοροῦσιν.

11 Ὁ μῦθος δηλοῖ ὅτι Mj || πολλοῖς Ma || διὰ τούτοις Ma || ὑπὸ τῶν πέλας om. Pg || **12** μακαριζόμενοι omisso ἐπὶ τούτοις et ἐφ' οἷς αὐτοὶ Pf Me Mf Mj || ἐπὶ τῇ Mb || οἰκήσει Pa || **13** τὰ κάλλιστα Ma || δυσχεραίνουσιν Pg Mb δυσφρονοῦσι Ma. || In margine habet Me alterum epim., idem quod La.

Aliter.

Νοσῶν τις καὶ ὑπὸ τοῦ ἰατροῦ ἐπερωτώμενος πῶς διετέθης, ἔφη πλέον τοῦ δέοντος ἱδρωκέναι. Ὁ δὲ ἀγαθὸν τοῦτο εἶναι ἔφη. Ἐκ δευτέρου δὲ ἐρωτηθεὶς παρ' αὐτοῦ πῶς ἔχεις, ἔφη· « Φρίκῃ συσχεθεὶς σφοδρῶς διετινάχθην. » Ὁ δὲ καὶ τοῦτο ἀγαθὸν φήσας εἶναι, ἐκ τρίτου ἐρώτησεν αὐτὸν πῶς διετέθης. Ὁ δὲ ἔφη· « Ὑδρείᾳ περιπέπτωκα. » Κἀκεῖνος πάλιν ἀγαθὸν τοῦτο ἔφησε. Μετὰ ταῦτα δὲ τῶν οἰκείων τινὸς ἐρωτήσαντος αὐτὸν πῶς ἔχεις, « Ἐγώ, ἄδελφε, εἶπεν, ὑπὸ τῶν ἀγαθῶν ἀπόλλυμαι. »

Ὁ μῦθος δηλοῖ ὅτι τινὲς τῶν ἀνθρώπων θέλουσι κατὰ χάριν λέγειν τισὶν ἃ μάλιστα αὐτοὺς βλάπτουσιν.

Codd. Ca 126 Cb 77 Ce 84 Cf 89 Cg 19 Ch 94.

1 ἀπὸ Cb παρὰ Ce || τοῦ om. Cb Ce Cf || ἐρωτώμενος Cg || ὅπως Cf || **2** διετέθης nos ἐτηρήθης Ca Cg ἐτυλήθης Cb ἐτηρήθη Ch διετηρήθη Ce Cf || ἀπεκρίθη pro ἔφη Cg || ἔφη ὅτι τὸ ὕπαρ τῇ νυκτὶ ταύτῃ δεινῶς ἤλγησα. Ὁ δὲ ἔφη· « Ἀγαθόν ἐστι Ce || **3** εἶναι τοῦτο Cb Cf Cg || οὖν pro δὲ Cb || **4** ἔχει Ce || σφοδρῶς συσχεθεὶς διεταράχθην Cb || διετεινάχθην Ce Cf ἐτινάχθην Ch || **5** Ὁ δὲ ἀγαθὸν εἶναι καὶ τοῦτο φήσας εἶναι, ἐκ τρίτου ἐρωτηθεὶς παρ' αὐτοῦ πῶς διετηρύθης, ἔφη διαρύᾳ περιπεπτωκέναι Cb Ὁ δὲ ἔφη· « Καὶ τοῦτο ἀγαθόν. » Ἐκ τρίτου δὲ ἐρωτηθεὶς ἔφη· ὑδρείᾳ περιπέπτωκα Ce || εἶναι φήσας, ἐκ τρίτου ἐρωτηθεὶς παρ' αὐτοῦ πῶς ἔχεις (ἐτηρήθη Ch) ἔφη· « Ἵδρωτι (ὑδρίᾳ Ch) περιπέπτωκα. » Cg Ch || ἐκ τούτου ἐρωτηθεὶς παρ' αὐτοῦ πῶς ἐτηρήθεις, ἔφη Cf || **7** ἀγαθὸν πάλιν τὸ φήσας Cb πάλιν φήσας ἀγαθὸν εἶναι Ce Cf || τοῦτο φήσας Ch Cg || μετὰ ταῦτα τῶν οἰκείων τις ἐπερωτήσας αὐτὸν (αὐτὸν om. Cg) πῶς ἔχεις (-ει Ce), ἔφη (ἔφη om. Cf) Cb Ce Cf Cg Ch || **9** Ἀδελφοί omisso Ἐγώ Cg || ἀπὸ Cb || τοῦ ἀγαθοῦ Cg || ἀπολώλα Cb ἀπόλωμαι Ce ἀπόλλωμαι Cf ἀπώλομαι Cg || **10** Ὅτι πολλοὶ τῶν ἀνθρώπων Cb Cg Ch || ὅτι οἱ θέλοντες παρηγορεῖν ὑπέρμετρον ἢ μᾶλλον αὐτοῖς δυσχαιρένουσιν Ce ὅτι οἱ τῶν ἀνθρώπων θέλοντες κατὰ χάριν μάλλιστα αὐτοῖς δυσχεραίνουσιν Cf || **11** τισὶν om. Cg Ch || αὐτο (-τοὺς Cb) δυσχεραίνουσιν Cb Cg Ch.

Digitized by Google

Aliter.

Νοσῶν τις καὶ ὑπὸ τοῦ ἰατροῦ ἐρωτώμενος ὅπως διετέθη, πλέον εἶπε τοῦ δέοντος ἱδρωκέναι. Ὁ δὲ ἀγαθὸν ἔφη τοῦτ' εἶναι. Ἐκ δευτέρου δὲ παρ' αὐτοῦ πάλιν ἐρωτηθεὶς ὅπως ἔσχε, φρίκῃ συσχεθεὶς εἶπε σφοδρῶς διατετινάχθαι. Ὁ δὲ καὶ τοῦτ' ἀγαθὸν ἔφησεν εἶναι. Ἐκ δὲ τρίτου αὖθις ἐρωτηθεὶς ὅπως διεγένετο εἶπεν ὑδέρῳ περιπεπτωκέναι. Ὁ δὲ καὶ τοῦτο πάλιν ἀγαθὸν εἶπεν εἶναι. Εἶτα τῶν οἰκείων τινὸς αὐτὸν ἐρωτήσαντος ὅπως ἔχει, « Ἐγώ, εἶπεν, ὦ οὗτος, ὑπὸ τῶν ἀγαθῶν ἀπόλλυμαι. »

Ὁ μῦθος δηλοῖ ὅτι μάλιστα τῶν ἀνθρώπων δυσχεραίνομεν τοὺς πρὸς χάριν ἀεὶ βουλομένους λέγειν.

Codd. La 43 Lb 86 Ld 26 Le 86 Lf 43 Lh 42 Mc 75 Md 84 Mg 111 Ml 112 Mm 101 Mn 26.

1 καὶ om. Ld Le || τοῦ om. Lb Le Lh Mc Ml Mm Mn || διετέθη La Md διετίθη Ld διετηρήθη ceteri || **2** πλέον ἔφη Mm || ἀγαθὸν εἶναι τοῦτ' ἔφη Ld Mn τοῦτ' ἀγαθὸν εἶναι ἔφη Mg || **3** δὲ om. Ld || παρ' αὐτοῦ om. Le Lh || πάλιν ἐρωτηθεὶς παρ' αὐτοῦ Mc Md Mn || **4** ἔσχει Ld ἔχει Mc Md Mm Mn ἔχῃ Lb Le Lh || ἔφη Mn || **5** Ἐκ δὲ τρίτων La Lf Mg || δὲ om. Ld Lh Mc Md Ml Mn || αὐτοῦ ἐρωτήσαντος || Mm || **6** ἔχεις pro διεγένετο Le Lf M || **7** εἶπεν om. Mm || εἶναι om. Ld **10** Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Mg || Ὁ μῦθος δηλοῖ ὅτι (Μῦθος Md Μῦθος ὅτι Mn) ἐλέγχει (ἐλέγχειν δεῖ Mc) τοὺς κολακεύοντας Ld Mc Md Mn || Ld habet in margine alterum epim., idem quod La.

Aliter.

Νοσῶντι ὁ ἰατρός· « Πῶς ἔχεις; » ἔφη.
« Φρίκῃ σφοδρά με τὸν τάλανα κατέχει
καὶ τετάραγμαι ὑπ' αὐτῆς οὐ μετρίως. »
Ὁ δὲ πρὸς τοῦτον ἀγαθὸν εἶναι λέγει.
Ἐπερωτήσας δὲ πάλιν ἐκ δευτέρου
ὁ ἰατρός « Πῶς ἔχεις ; » τὸν ἀσθενοῦντα,
« Θερμῇ, ἔφησε, περιπεσὼν κακίστῃ,
κεῖμαι ⟨ὑπ' αὐτῆς⟩ δεινῶς τεταραγμένος. »
Κἀκεῖνος πάλιν ἀγαθὸν ἔφη τοῦτο.

Codex Cd 92.

1 Νοσῶν τις cod. || **2** με σφοδρὰ κατέχει με τὸν τάλα cod. || **5** Ἐπερωτήσας nos Ἐρωτηθεὶς cod. || **6** τὸν ἀσθενοῦντα nos τῷ ἀσθενοῦντι cod. || **8** ὑπ' αὐτῆς addidi || **9** ἔφη nos φήσας cod.

Digitized by Google

Καὶ τῶν οἰκείων εἶτά τις ἐρωτήσας
« Πῶς ἔχεις, ⟨ὦ⟩ ἄδελφε φίλε; ῥωννύου, »
ὁδέ· « Ἀπόλλυμαι ἐν ἀγαθοῖς » ἔφη.

Τοῦτο δηλοῖ ὅτι οὓς παραμυθέοντας ἔθος τυγχάνει ψευδεῖς τοὺς πάσχοντας παρηγορεῖν λόγοις.

11 ὦ addidi || ῥωννύου nos -ύεις cod. || 12 Ὁ δὲ ἔφησεν. « Ἀπόλυμαι, φίλε, ἐν ἀγαθοῖς cod. correxi || 13 Epi. corruptum est.

251

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια.

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια κοινωνίαν πρὸς ἀλλήλας σπεισάμεναι ἐμπορεύεσθαι διέγνωσαν. Καὶ δὴ ἡ μὲν νυκτερὶς ἀργύριον δανεισαμένη εἰς μέσον κατέθηκεν, ἡ δὲ βάτος ἐσθῆτα ἐνεβάλετο, ἡ δὲ αἴθυια χαλκὸν πριαμένη καὶ τοῦτον ἐνθεμένη ἔπλει. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νηὸς περιτραπείσης, πάντα ἀπολέσασαι αὗται ἐπὶ τὴν γῆν διεσώθησαν. Καὶ ἡ μὲν αἴθυια ἀπ' ἐκείνου τὸν χαλκὸν ζητοῦσα κατὰ τοῦ βυθοῦ δύνει, οἰομένη τὸν χαλκὸν εὑρήσειν· ἡ δὲ νυκτερὶς τοὺς δανειστὰς φοβουμένη ἡμέρας μὲν οὐ φαίνεται, νυκτὸς δὲ ἐπὶ νομὴν ἔξεισιν· ἡ δὲ βάτος τὰς

Codd. Pa 168 Pb 167 Pc 96 Pf 90 Mb 128 Me 116 Mf 98 Mj 107.

1 αἴθυα Pa ubique αἴθυαι Pf || κοινωνίας Mf || ἀλλήλας Pa -λους ceteri || πρὸς ἀλλήλους κοινωνίαν Pb || 2 σπεισάμενοι Pb στειλάμενοι Mj στειλάμεναι ceteri || ἔγνωσαν Mf || δὴ om. Pb || 3 κατέθειχεν Mf καθῆκεν Pa || 4 ἐσθῆτας Pc || ἀνεβάλετο Pb ἐνεβάλλετο Pc Mb ἐνέβαλεν (-ειν Mf) Pf Mf Mj μετ' αὐτῆς ἔλαβεν in margine correctum in ἐνέβαλεν Me || τὸ πλοῖον pro χαλκὸν Pb || πριαμένη ... ἔπλει om. Pb Mb || αἴθυια (-θυα Pf) χαλκὸν περιαψαμένη ἔπλει (ἐπώλει Me) Pf Me Mf Mj || 6 νεὼς Pc || πάντα οὖν Me Mf || ἀπολέσαντες αὐτοὶ Pb Mb Me Mf || πάντα ... διεσώθησαν om. Pa Pc pro his uerbis πᾶς ὁ γόμος εἰς βυθὸν κατηνέχθη habent Pf Me Mf Mj || 7 τὸ πλοῖον ζητοῦσα ἐπὶ τοῦ βυθοῦ ὀδύνει Pb || 8 κατὰ τοῦ βυθοῦ Schneider ἀπὸ τ- β- Pa Pc ἐπὶ τ- β- Pb ἐκ τ- β- Pf Me Mf Mj ἐπὶ Δι εἰσδύνει Mb || βυθοῦ μή που τὸν χαλκὸν ἐκβράσῃ ἡ θάλαττα Mf || οἰομένη ποτὲ εὑρήσειν omisso τὸν χαλκὸν Pb Mb || ὅτι εὑρήσει Pc τοῦτον εὑρήσειν Pf Me Mj || 9 μὲν om. Pb || 10 κρύπτεται pro οὐ φαίνεται Pf Me Mf Mj || νυκτὸς μὲν Mb || τὰς om. Mb.

Digitized by Google

ἔσθητας ἐπιζητοῦσα τῶν παριόντων ἐπιλαμβάνεται τῶν ἱματίων προσδοκῶσα τῶν ἰδίων τι ἐπιγνώσεσθαι.

Ὁ λόγος δηλοῖ ὅτι περὶ ταῦτα μᾶλλον σπουδάζομεν περὶ ἃ ἂν πρότερον πταίσωμεν.

11 τῶν ante ἱματίων om. Pb || τῶν ἱματίων ἐπιλαμβάνεται τῶν δι' αὐτῆς παριόντων Pf Me Mf Mj || τῶν ἰδίων ἱματίων προσδοκῶσά τι ἐπιγνώσεσθαι Mb || **12** τὰ ἴδια ἐπιγνώσεσθαι Pb || **13** Ὁ μῦθος δηλοῖ ὅτι Mj || Περὶ ταῦτα Pf Me Mf || περὶ ὧν ἂν πρότερον ὀλέσωμεν Pc || περὶ ἃ πρότερον εὑρεθῶμεν πταίσαντες Pf Me Mf Mj || **14** ἂν om. Pb.

Aliter.

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια πρὸς ἀλλήλας φιλίαν ποιήσασαι ἐμπορεύεσθαι ἔγνωσαν. Καὶ ἡ μὲν νυκτερὶς ἀργύριον δανεισαμένη εἰς τὸ μέσον τοῦτο κατέθηκεν· ἡ δὲ βάτος ἐσθῆτα ἐνεβάλλετο· ἡ δὲ αἴθυια χαλκόν· καὶ εὐθέως ἀπέπλευσαν. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσασαι αὗται ἐπὶ τὴν γῆν διεσώθησαν. Καὶ ἀπὸ τῶν τότε ἡ αἴθυια παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἐνεδρεύει, μήπως ἡ θάλασσα τὸν χαλκὸν ἐξαγάγῃ· ἡ δὲ νυκτερὶς τοὺς δανειστὰς φοβουμένη, ἡμέρας μὲν οὐ φαίνεται, νυκτὸς δὲ ἐπὶ νομὴν ἔξεισιν· ἡ δὲ βάτος τῶν ἐσθήτων ἐπιλαμβάνεται τῶν παριόντων, ζητοῦσα τὸ ἴδιον ἱμάτιον ἐπιγνῶναι.

Ὁ μῦθος δηλοῖ ὅτι περὶ ταῦτα μᾶλλον σπουδάζομεν ὕστερον περὶ ἃ ⟨ἂν⟩ πρότερον πταίσωμεν.

Codd. Ca 124 Cf 88 Cg 17 Ch 93.

1 ἔφυα pro αἴθυια Cf ubique || πρὸς ἀλλήλους κοινωνίαν ἐποίησαν· ἐμπορεύεσθαι δὲ Cf || πρὸς ἀλλήλους κοινωνίαν ποιήσαντες ἐμπορεύεσθαι διέγνωσαν Cg Ch || **3** εἰς μέσον καθῆκεν Cf Cg Ch || **4** ἀνελάβετο Cf ἐπεβάλλετο Cg ἐνεβάλετο Ch || χαλκοῦν Ca Cf || **5** νηὸς Cf Cg Ch || **6** ἀπολέσαντες αὐτοὶ Cf Cg Ch || αὗται Ca || **7** ἀπὸ τότε Cf Cg Ch || περὶ τὸ χεῖλος Cg || **8** ἐνεδρεύει μήπως ἡ θάλασσα om. Ch || τὸν χαλκοῦν Ca Cf || **9** ἐξάλῃ Cf ἐξάγει Ch || τῇ ἡμέρᾳ Cf || **10** νυκτὶ Cf || ἐξέρχεται Cf || βάτος ἐσθῆτος (-ας Cf) Cf Cg Ch || **11** τῶν ante παριόντων om. Cg || περιόντων Cf || τῶν ἰδίων ἱματίων τι Cf Cg Ch || **13** Epim. deest in Cg || μᾶλλον om. Ch || **14** περὶ ὧν πρότερον πταίομεν Ch || ἂν addidi || πταίσωμεν nos πέσωμεν Ca || **13-14** Ὁ μῦθος δηλοῖ ὅτι περὶ ὧν σπουδάζομεν, ὕστερον περιπίπτομεν Cf.

Digitized by Google

Aliter.

Νυκτερὶς καὶ βάτος καὶ αἴθυια ἑταιρείαν ποιησάμεναι, ἐμπορικὸν διέγνωσαν βίον ζῆν. Ἡ μὲν οὖν νυκτερὶς ἀργύριον δανεισαμένη καθῆκεν εἰς τὸ μέσον, ἡ δὲ βάτος ἐσθῆτα μετ' ἑαυτῆς ἔλαβεν, ἡ δὲ αἴθυια τρίτη χαλκόν· καὶ ἀπέπλευσαν. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς περιτραπείσης, πάντα ἀπολέσασαι αὗται ἐπὶ τὴν γῆν διεσώθησαν. Ἐξ ἐκείνου τοίνυν ἡ μὲν αἴθυια τοῖς αἰγιαλοῖς ἀεὶ παρεδρεύει, μή που τὸν χαλκὸν ἐκβάλλῃ ἡ θάλαττα· ἡ δὲ νυκτερὶς τοὺς δανειστὰς φοβουμένη, τῆς μὲν ἡμέρας οὐ φαίνεται, νύκτωρ δ' ἐπὶ νομὴν ἔξεισιν· ἡ δὲ βάτος τῆς τῶν παριόντων ἐσθῆτος ἐπιλαμβάνεται, εἴ που τὴν οἰκείαν ἐπιγνοίη ζητοῦσα.

Ὁ μῦθος δηλοῖ ὅτι περὶ ἃ σπουδάζομεν, τούτοις ἐς ὕστερον περιπίπτομεν.

Codd. La 42 Lb 85 Le 85 Lf 42 Lh 41 Ma 184 Md 83 Mg 110 Ml 111 Mm 100.

1 ἑταιρίαν Mm || ποιησάμεναι Ma Ml Mm -νοι ceteri || **3** εἰς μέσον Lb Le Lh || **4** χαλκοῦν Lb Lf Lh ubique || **6** ἀπολέσαντες αὐτοὶ libri || **8** ἀκεὶ παρεδεύει Ma || αἰγιαλὸν pro χαλκὸν Mg || ἐκβράσῃ Lb Ma Md Ml ἐκβάσσει Le ἐκβάσῃ Lf ἔκβραον Lh ἐκβράσει Mm || **9** δειλιῶσα pro φοβουμένη Mm || τῇ μὲν ἡμέρᾳ Mg || **10** τῆς δὲ νυκτὸς Ma Md Mm || τῆς om. Lh || **11** τῶν om. Le || **13** Ὁ μῦθος ὅτι Mm.

Aliter.

**Νυκτερὶς καὶ βάτος καὶ αἴθυια ἅμα
κοινωνοὶ ἐγένοντο πρὸς ἐμπορίαν.
Ἐκ δανειστοῦ γοῦν ἡ νυκτερὶς λαμβάνει
ἀργύριον διδοῦσα εἰς πραγματείαν·
ἡ βάτος δὲ εἰς μέσον ἐσθῆτα βάλλει·
ἡ αἴθυια δὲ χαλκοῦν ἐπεπληροῦτο.
Ἔπλευσαν δέ γε μετὰ νηὸς αὐτίκα.
Χειμῶνος δὲ ἐλθόντος, ἡ ναῦς ἐτράπη·
ἀλλ' αἱ τρεῖς ἐσώθησαν χωρὶς πραγμάτων.
Δειμαίνουσα γοῦν ἡ νυκτερὶς τὸ χρέος
μὴ ἀπαιτῆται, περιπολεῖται νύκτωρ·**

Cod. Cd 93.

1 βάτος καὶ αἴθυια ἅμα nos βάτος τε ἐθιώαμα cod. || **3** δανειστοῦ nos δανείου cod. || **4** διδοῦσα nos δὲ δίδωσιν cod. || **5** εἰς μέσον ἐσθῆτα nos μὴ ἔχουσα ἐσθῖτα cod. || **6** ἔθια cod. || **9** οἱ cod. || **11** ἀπαιτῆται nos ἠμακρόβεται cod.

Digitized by Google

῾Οπόταν δὲ ἡ βάτος ἐσθῆτα ἴδῃ,
δοκοῦσα ἰδίαν εἶναι, σύρει βίᾳ·
ἡ αἴθυια δὲ τὴν θάλασσαν ἐντρέχει
δοκοῦσ᾽ ὧδε κἀκεῖσε χαλκοῦν εὑρήσειν.
Πᾶς ὅπερ ἀποβάλλει, καὶ ζητεῖ τοῦτο.

12 ἐσθῖταν cod. || **14** ἔσθια cod. || **15** δοκοῦσα cod. || χαλκοῦν εὑρήσειν nos τὸν χαλκοῦν εὑρηκέναι cod. || **16** Πᾶς τις cod. τις resecui || καὶ ζητεῖ τοῦτο nos τοῦτο καὶ ζητεῖ cod.

252

Νυκτερὶς καὶ γαλαῖ.

Νυκτερὶς ἐπὶ τῆς γῆς πεσοῦσα ὑπὸ γαλῆς συνελήφθη· μέλλουσα δὲ ἀναιρεῖσθαι παρεκάλει περὶ τῆς σωτηρίας. Τῆς δὲ λεγούσης ὡς οὐ δύναται αὐτὴν ἀπολῦσαι, φύσει γὰρ πάντας πολεμεῖ πτηνούς, ἔφησεν αὐτὴν μὴ ὄρνεον εἶναι, ἀλλὰ μῦν, καὶ οὕτως ἀφείθη. Ὕστερον δὲ πεσοῦσα πάλιν καὶ συλληφθεῖσα ὑπὸ ἑτέρας γαλῆς ἐδεῖτο ὅπως μὴ θύσῃ αὐτήν. Τῆς δὲ εἰπούσης ἅπασι τοῖς μυσὶ διεχθραίνειν, ἔλεγεν ἑαυτὴν μὴ μῦν εἶναι, ἀλλὰ νυκτερίδα, καὶ πάλιν ἀπελύθη. Οὕτω τε συνέβη αὐτῇ δὶς ἐναλλαξαμένῃ τὸ ὄνομα τῆς σωτηρίας περιγενέσθαι.

᾿Ατὰρ οὖν καὶ ἡμᾶς δεῖ μὴ ἀεὶ τοῖς αὐτοῖς ἐπιμένειν

Codd. Pa 169 Pc 97 Pf 91 Pg 108 Ma 118 Mb 129 Mj 108 Ca 125.

1 ὑπὸ τὴν γῆν Pc || **2** καὶ μέλλουσα Pg Ma Mb || ὑπ᾽ αὐτῆς ἀναιρεῖσθαι Ca || τῆς ante σωτηρίας om. Pf Mj || περὶ τῆς σωτηρίας ἑαυτῆς (αὐτῆς Pg) παρεκάλει Pg Mb Ca || Τῆς δ᾽ αὖ Pf Mj || **3** δύναμαι Mb || αὐτὸ Ma || ἀπολύσειν Pg Mb || πᾶσι ... πτηνοῖς (-οῖσι Pg Mb Cb) libri excepto Pa || **4** πολεμεῖν Pc Ma || ἔφασαν Pc || αὐτὴ Pf Ma Mj αὐτὴν ceteri || μὴ αὐτὴν ὄρνεον Pg Mb || **5** οὕτω ἀφέθη Mj || πάλιν πεσοῦσα Ma Mj Ca || πάλιν om. Pg Mb || **6** ἐδέετο Pg Mb Mj Ca || ὅπως μεθῇ Pc ὅπως ἐάσῃ Pf Mj ὅπως μὴ θοινήσεται Pg Mb μὴ θῦναι Ma || **7** ἅπασι μυσὶ Pg Mb Ca || ἅπασι δὴ ἐχθρεύειν omisso τοῖς μυσὶ Pf Ma Mj || διεχθρεύειν Ca || **8** ἑαυτὴν om. Ma αὐτὴν Mj || μὴ εἶναι μῦν Pc || εἶναι om. Pa || **9** τε συνήθη δὶς ἐναλλαξαμένην Pg || αὐτὴν δὶς ἐναλλαξαμένην Mb Ca || **10** παραγενέσθαι Ca || **11** Δεῖ οὖν καὶ ἡμᾶς ... ἐπιβαίνειν λογιζομένων Ma || τοῖς om. Ca

Digitized by Google

λογιζομένους ὅτι οἱ τοῖς καιροῖς συμμετασχηματιζόμενοι πολλάκις καὶ τοὺς σφοδροὺς τῶν κινδύνων ἐκφεύγουσιν.

λογιζόμενοι ὅτι οἱ πρὸς τοὺς καιροὺς μετασχηματιζόμενοι πολλάκις καὶ τὰς σφοδρὰς τῶν κινδύνων ἐφόδους ἐκφεύγουσι Ca || μετασχηματιζόμενοι Pg Mb || 13 πολλοὺς καὶ τοὺς σφοδροὺς Pa || καὶ om. Pc || 11-13 Οὕτω (Ὁ μῦθος δηλοῖ ὅτι οὕτω Mj) πολλοὶ τῶν ἀνθρώπων πρὸς τοὺς καιροὺς μετασχη- ματιζόμενοι πολλάκις τὰς ἐφόδους τῶν κινδύνων ἐκφεύγουσι Pf Mj.

Aliter.

Νυκτερὶς ἐπὶ γῆς πεσοῦσα ὑπὸ γαλῆς συνελήφθη, καὶ μέλλουσα ἀναιρεῖσθαι περὶ σωτηρίας ἐδεῖτο. Τῆς δὲ φαμένης μὴ δύνασθαι αὐτὴν ἀπολῦσαι, φύσει γὰρ πᾶσι τοῖς πτηνοῖς πολεμεῖν, αὐτὴ ἔλεγεν οὐκ ὄρνις, ἀλλὰ μῦς εἶναι, καὶ οὕτως ἀφείθη. Ὕστερον δὲ πάλιν πεσοῦσα καὶ ὑφ' ἑτέρας συλληφθεῖσα γαλῆς μὴ βρωθῆναι ἐδεῖτο. Τῆς δὲ εἰπούσης ἅπασιν ἐχθραίνειν μυσίν, αὐτὴ μὴ μῦς, ἀλλὰ νυκτερὶς ἔλεγεν εἶναι, καὶ πάλιν ἀπελύθη. Καὶ οὕτω συνέβη δὶς αὐτὴν ἀλλαξαμένην τὸ ὄνομα σωτηρίας τυχεῖν.
Ὁ μῦθος δηλοῖ ὅτι δεῖ καὶ ἡμᾶς μὴ τοῖς αὐτοῖς ἀεὶ ἐπιμένειν, λογιζομένους ὡς οἱ τοῖς καιροῖς συμμετασχηματιζόμενοι πολλάκις τοὺς κινδύνους ἐκφεύγουσιν.

Codd. La 112 Lb 88 Le 88 Lf 113 Lh 44 Me 117 Mf 99 (Me Mf contaminati) Mg 113 Ml 113

1 τῆς γῆς Me Mf || συνελείφθη Lh || μέλλουσα δὲ ὑπ' αὐτῆς ἀναιρεῖσθαι παρεκάλει περὶ σωτηρίας Me Mf || 3 τοῖς ante πτηνοῖς om. Lh || 4 πολεμεῖ Le Lf Me Mf Ml || ἔφησεν αὐτὴ μὴ ὄρνεον εἶναι, ἀλλὰ μῦν Me Mf || 5 καὶ οὕτως ἀφείθη om. Mg || περιπεσοῦσα Le || καὶ συλληφθεῖσα ὑπὸ ἑτέρας γαλῆς ἐδέετο ὅπως ἐάσῃ αὐτὴν Me Mf || 6 γαλῆς συλληφθεῖσα Lb Le Lh || 7 ἐχθραίνει Lh || 9 ἀλλαξαμένη τοὔνομα Mg || τῆς σωτηρίας περιγενέσθαι Mf et in margine Me || 10 Ὁ μῦθος ὅτι Lb || 11 μετασχηματιζόμενοι Ml || Me addit in margine epim. quod est in Pf.

253

Ξύλα καὶ ἐλαία.

Ξύλα ποτὲ ἐπορεύθη τοῦ χειροτονῆσαι ἐφ' ἑαυτῶν βασιλέα καὶ εἶπαν τῇ ἐλαίᾳ· « Βασίλευσον ἐφ' ἡμῶν. » Καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία· « Ἀφεῖσα τὴν πιότητά μου ἣν ἐδόξασεν ἐν

Cod. Mb 133. Cf. Biblia, Judices, cap. 9, u. 8 sqq.

1 χρῦσαι pro χειροτονῆσαι cod.

Digitized by Google

ἐμοὶ ὁ θεὸς καὶ οἱ ἄνθρωποι, πορευθῶ ἄρχειν τῶν ξύλων; » Καὶ εἶπαν τὰ ξύλα τῇ συκῇ· « Δεῦρο, βασίλευσον ἐφ' ἡμῶν. » Καὶ εἶπεν αὐτῇ ἡ συκῇ· « Ἀφεῖσα τὴν γλυκύτητά μου καὶ τὸ γέννημά μου τὸ ἀγαθόν, πορευθῶ τοῦ ἄρχειν τῶν ξύλων; » Καὶ εἶπαν τὰ ξύλα πρὸς τὴν ῥάμνον· « Δεῦρο, βασίλευσον ἐφ' ἡμῶν. » Καὶ εἶπεν ἡ ῥαμνος ⟨πρὸς⟩ τὰ ξύλα· « Εἰ ἐν ἀληθείᾳ ὑμεῖς χρίετέ με εἰς βασιλέα ἐφ' ὑμῶν, δεῦτε ὑπόστητε ἐν τῇ σκέπῃ μου· καὶ εἰ μή, ἐξέλθοι πῦρ ἐκ τῆς ῥάμνου καὶ καταφάγοι τὰς κέδρους τοῦ Λιβάνου. »

7 γένημα cod. || 9 πρὸς addidi || 11 ἐξέλθοι nos ἐξέλθῃ cod.

254

Ξυλευόμενος καὶ Ἑρμῆς.

Ξυλευόμενός τις παρά τινα ποταμὸν τὸν πέλεκυν ἀπέβαλε· τοῦ δὲ ῥεύματος παρασύραντος αὐτόν, καθήμενος ἐπὶ τῆς ὄχθης ὠδύρετο, μέχρις οὗ ὁ Ἑρμῆς ἐλεήσας αὐτὸν ἧκε. Καὶ μαθὼν παρ' αὐτοῦ τὴν αἰτίαν δι' ἣν ἔκλαιε, τὸ μὲν πρῶτον καταβὰς χρυσοῦν αὐτῷ πέλεκυν ἀνήνεγκε καὶ ἐπυνθάνετο εἰ οὗτος αὐτοῦ εἴη. Τοῦ δὲ εἰπόντος μὴ τοῦτον εἶναι, ἐκ δευτέρου ἀργυροῦν ἀνήνεγκε καὶ πάλιν

Codd. Pa 171 Pb 168 Pc 99 Pf 92 Pg 109 Ma 119 Mb 132 Me 119 Mf 101 (Me Mf contaminati) Mj 109.

1 κατά Pb || παρά τινι ποταμῷ Mj || τὸν om. Ma || τὸν ἑαυτοῦ (τὸν οἰκεῖον Me Mf) ἀπέβαλε πέλεκυν (-κα Mb) Pg Mb Me Mf || ἀπέβαλλε Pc || **2** περισπῶντος Pg παρασπόντος Mb || ἀποσύροντος αὐτὸ Ma || **3** παρὰ pro ἐπὶ Me Mf || ὁ om. Pc Pg Ma || **4** μανθάνων Mj || παρ' αὐτοῦ om. Pb Ma || ἔκλαγε Pb || οἰκτείρας τὸν ἄνθρωπον τὸ μὲν πρῶτον καταβὰς εἰς τὸν ποταμὸν Me Mf || **5** καταβολὰς Pa || χρυσὸν Pf Mj || πέλεκυν αὐτῷ Pb Mb || ἀνήνεγκε πέλεκυν Me Mf || ἀνήγαγε Pc || **6** αὐτοῦ om. Pb αὐτὸς Pg Mb || εἰ pro εἴη Me || **7** τοῦτο Ma τοῦτον αὐτὸν Pg Mb || εἶναι om. Pa || αὖθις ἐκ δευτέρου καταβὰς Me Mf || δεύτερον ἀργυροῦν, omisso ἐκ et ἀνήνεγκε Pc || ἀργυρὸν Pa Pf Mj || αὐτῷ ἀνήνεγκε Pg Mb.

Digitized by Google

ἀνηρώτα εἰ τοῦτον ἀπέβαλεν. Ἀρνησαμένου δὲ αὐτοῦ, τὸ τρίτον τὴν ἰδίαν ἀξίνην ἀνεκόμισε. Τοῦ δὲ ἐπιγνόντος, ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην πάσας αὐτῷ ἐχαρίσατο. Καὶ ὃς ἐπανελόμενος, ἐπειδὴ παρεγένετο πρὸς τοὺς ἑταίρους, τὰ γεγενημένα αὐτοῖς διηγήσατο. Τῶν δέ τις ἐποφθαλμιάσας ἐβουλήθη καὶ αὐτὸς τῶν ἴσων περιγενέσθαι. Διόπερ ἀναλαβὼν πέλεκυν παρεγένετο ἐπὶ τὸν αὐτὸν ποταμὸν καὶ ξυλευόμενος ἐπίτηδες τὴν ἀξίνην εἰς τὰς δίνας ἀφῆκε καθεζόμενός τε ἔκλαιεν. Ἑρμοῦ δὲ ἐπιφανέντος καὶ πυνθανομένου τί τὸ συμβεβηκὸς εἴη, ἔλεγε τὴν τοῦ πελέκεως ἀπώλειαν. Τοῦ δὲ χρυσοῦν αὐτῷ ἀνενεγκόντος καὶ διερωτῶντος εἰ τοῦτον ἀπολώλεκεν, ὑπὸ τοῦ κέρδους ὑποφθὰς ἔφασκεν αὐτὸν εἶναι. Καὶ ὁ θεὸς αὐτῷ

8 ἠρώτα Pb Ma Mb || ἀπώλεσεν Pc || Τοῦ δὲ μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου καταβὰς τὴν ἰδίαν αὐτοῦ ἀξίνην ἐκόμισε. Τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα φαμένου, Ἑρμῆς ἀποδεξάμενος Me Mf || Ἀρνησαμένου δὲ καὶ τοῦτον (τούτου Mb) Pb Pg Mb || τὸ τρίτον om. Mb || τὸ τρίτον αὐτῷ Pb || τὸ τρίτον ἤδη αὐτῷ ἀξίνην Ma || **9** τὴν ἰδίαν αὐτοῦ πέλεκυν Pc τὴν ἰδίαν αὐτοῦ ἀξίνην Pf Mj τὴν ἰδίαν ἀξίνην αὐτῷ Pg Mb || ἀνεκόμισε Pa ἐκόμισε ceteri || **10** ὑποδεξάμενου Ma || κεχάρηται Ma || **11** ἀνελόμενος Pb || ἐπειδὴ om. Pc || **12** ἑτέρους Pa Pf Mj || καὶ τὰ γεγενημένα Pc || γενόμενα Ma || Τοῦτον δέ Pf Me Mf Mj Τούτων δέ Mb || **13** ἐπιφθονήσας Pf Me Mf Mj ἀποφθαλμιάσας Pg ἐποφθαλμήσας Ma -μίσας Mb || ἠβουλήθη Pc || **14** πέλεκα Mb || ἐπὶ τὸν ποταμὸν τὸν αὐτὸν ξυλευόμενος· ἐπιτηδείως δὲ Pg || **15** ποταμὸν ξυλευσόμενος · ἐπιτηδείως δὲ Mb || ξυλευόμενον ἐπίτηδες τὸν πέλεκυν Ma || τὰς ἀξίνας ... ἀφῆκαν Pa || **16** τὴν δίνην Pg Mb || καθιζόμενος Pb || καθεζόμενον δὲ Ma || δὲ Pg Mb || φανέντος Pb ἐπιφθάσαντος Pc || **17** εἰπόντος pro πυνθανομένου Pa || εἴη om. Pc || αὐτῷ pro εἴη Ma || **18** πελέκυος Pb -κος Ma Mb -κυ Pg || ἀπώλειαν. Καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἀνήνεγκε καὶ ἤρετο εἰ ταύτην ἀπώλεσε. Τοῦ δὲ σὺν ἡδονῇ· « Ναὶ ἀληθῶς ἥδε ἐστί » φήσαντος, μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν αὐτῷ ἀπέδωκεν. Me Mf. || Τότε χρυσοῦν αὐτῷ ἀνενέγκας καὶ διερωτῶντος Ma || χρυσὸν Pa || αὐτῷ om. Pb || ἐνεγκόντος Pc Pg Mb -καντος Pf Mj || **19** καὶ διερωτῶντος om. Pc || ἀπολώλεκεν Pa Pg Mb ἀπώλεσεν ceteri || τοῦ om. Pg Mb || **20** ὑποπτὰς Pb ὑπαχθεὶς Pf Mj ἐξαφθεὶς Pg Ma Mb || εἶναι om. Pa || Κἀκεῖνος αὐτῷ Pg Mb.

Digitized by Google

οὐ μόνον οὐκ ἐχαρίσατο, ἀλλ᾽ οὐδὲ τὸν ἴδιον πέλεκυν ἀποκατέστησεν.

Ὁ λόγος δηλοῖ ὅτι, ὅσον τοῖς δικαίοις τὸ θεῖον συναγωνίζεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

21 οὐ μόνον οὐχ Mj οὐχ ceteri || ἴδιον om. Pb || ἀπεκατέστησεν Pa Pc. || ἀποκατέστησε πέλεκυν (-κα Mb) Pg Mb τούτῳ ἀπεκατέστησεν (ἀπο- Mj) Pf Mj || **23** Ὁ μῦθος δηλοῖ ὅτι οὕτως Mj Ὅσον Pf Me Mf || τῆς ἀδίκοις Pb || τῶν θείων Pa || **24** τὸ θεῖον ἐναντιοῦται Me Mf.

Aliter.

Ξυλευόμενός τις παρά τινα ποταμὸν τὸν ἑαυτοῦ πέλεκυν ἀπεβάλετο. Τοῦ δὲ ῥεύματος παρασύραντος αὐτόν, ὑπὸ πολλῆς συσχεθεὶς θλίψεως, καθήμενος παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ ὠδύρετο. Ἑρμῆς δὲ ὁ τοῦ ποταμοῦ θεὸς ἐλεήσας αὐτὸν ἧκε μαθεῖν θέλων παρ᾽ αὐτοῦ τὴν αἰτίαν δι᾽ ἣν ἔκλαιε. Τοῦ δὲ εἰπόντος αὐτῷ, καταβὰς ὁ Ἑρμῆς χρυσοῦν πέλεκυν ἀνήνεγκεν ἐκ τοῦ ποταμοῦ, καὶ ἐπυνθάνετο εἰ τοῦτον ἀπώλεσεν. Ἀρνησαμένου δὲ αὐτοῦ, ἐκ δευτέρου καταβὰς ἀργυροῦν ἀνήνεγκεν. Ὁ δὲ πάλιν ἠρνήσατο κἀκεῖνον μὴ εἶναι αὐτοῦ. Καταβὰς δὲ ἐκ τρίτου τὴν ἰδίαν ἀξίνην ἐκόμισεν· ἐπηρώτησε δὲ τοῦτον καὶ πάλιν, εἰ ταύτην ἀπώλεσεν· ὁ δέ· « Ἀληθῶς ταύτην ἀπώλεσα, » εἶπεν. Ὁ δὲ Ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην καὶ τὸ ἀληθὲς πάσας αὐτῷ ἐχαρίσατο. Παραγενόμενος

Codd. Ca 127 Cb 78 Ce 85 Cf 96 Cg 20 Ch 95 Mc 76.

1 παρά τινος ποταμοῦ Ce Cf || **2** ἀπεβάλλετο Ca ἀνε- Cg || Τοῦ δὲ ... αὐτόν om. libri, excepto Ca || Ὑπὸ πολλῆς οὖν θλίψεως συσχεθεὶς libri, excepto Ca || **3** καὶ καθήμενος Mc καθεζόμενος Ce Cf || ἀκτὰς Ca ὄχθους Cb || τοὺς ὄχθους Cf || **4** ὁ ποταμοῦ θεὸς Mc || **5** θέλων om. libri excepto Ca || δι᾽ ἣν ἔκλαιε om. libri excepto Ca || **6** αὐτῷ om. Cb Cg Mc || **7** χρυσὸν Cb || ἤνεγκε Cg || ἐπυνθάνετο οὖν libri excepto Ca || **8** οἱ τούτω Cb εἰ τοῦτο Ce Cf || ἀπώλεσεν. Ὁ δὲ πένης (πάνυ Mc) ἔφη μὴ (μηδὲ αὐτὸν (μηδέν τι Cf) Ce Cf) εἶναι τοῦτον (τούτω Cb τοῦτο Ch om. Ce Cf).-Ἐκ δευτέρου οὖν (οὖν om. Ce) καταβὰς libri excepto Ca || **9** ἀργυροῦν om. Mc -ρον Cb Cf || ἀργυρῆν ἀνῆκεν Ce || Καὶ πάλιν libri exceptis Ca Ch || δὲ om. Ch || **10** κἀκεῖνον om. Cb Cg Mc κἀκείνην Ce -νο Ch || τούτου (-τω Cb -τον Mc) Cb Cg Mc || Καταβὰς δὲ om. Cb Mc || **11** καὶ ἐπερωτηθέντος (-τήσας Cg -τηθεὶς Ch ἐπηρώτησεν αὐτῷ (-τὸν Cf) Ce Cf) εἰ (εἰ om. Mc) τοῦτον (τούτω Cb τοῦτο Cf Ch ταύτην Cg) ἀπώλεσεν (ἀπολέσας Mc), ἔφη (ὁ δὲ ἔφη Ce Cf)· Ἀληθῶς τοῦτον (τούτω Cb ταύτην Ce Cg τοῦτο Cf Ch) ἀπώλεσα libri excepto Ca || **14** καὶ τὸ ἀληθές om. Ce Cf || τὴν ἀλήθειαν Cg.

Digitized by Google

οὖν πρὸς τοὺς ἑταίρους αὐτοῦ, διηγήσατο αὐτοῖς τὰ συμβάντα αὐτῷ. Εἷς δέ τις ἐξ αὐτῶν τοῦτον ἐπιφθονήσας ἐβουλήθη καὶ αὐτὸς τὸ ἴσον παραγενόμενος ἐκεῖσε διαπράξασθαι. Διόπερ ἀναλαβὼν πέλεκυν, παρεγένετο ἐπὶ τὸν αὐτὸν ποταμὸν ξυλευσόμενος, καὶ ἐπίτηδες τὴν ἑαυτοῦ ἀξίνην ῥίψας ἐν τῷ ποταμῷ, ἐκαθέζετο κλαίων. Αὐτίκα οὖν τοῦ Ἑρμοῦ ἐπιφανέντος καὶ τὴν αἰτίαν τῶν θρήνων πυνθανομένου, ἔφη ὅτι πέλεκυν ἀπώλεσα ἐν τῷ ποταμῷ· ὅπερ ἀκούσας ὁ Ἑρμῆς, καταβὰς χρυσοῦν πέλεκυν ἀνήγαγε. Καὶ δὴ φήσαντος αὐτοῦ εἰ τοῦτον ἀπώλεσεν, ἔφη μετὰ χαρᾶς· « Ναὶ ἀληθῶς οὗτός ἐστιν. » Ἰδὼν οὖν ἐκεῖνος τὴν ἀναίδειαν καὶ τὸ ψεῦσμα αὐτοῦ, οὐ μόνον τοῦτον οὐκ ἐδωρήσατο αὐτῷ, ἀλλ' οὐδὲ τὸν ἴδιον ἀπέδωκε πέλεκυν.

Ὁ μῦθος διδάσκει ὅτι, ὅσον τοῖς δικαίοις συναγωνίζεται τὸ θεῖον, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

15 παρὰ τοὺς αἰτέρους Mc || τοὺς ἑτέρους Cf || **16** τοῦτον ἐπιφθονήσας om. libri excepto Ca || Ἐξ αὐτῶν οὖν ἐβουλήθη τις (Εἷς δέ τις ἐξ αὐτῶν ἐβουλήθη Cf) τὸ ἴσον πρᾶξαι καὶ ἀναλαβὼν πέλεκυν (-κην Cf) πρὸς τὸν ποταμὸν παρεγένετο ξυλευόμενος Ce Cf || **17** βουληθεὶς τούτου (τοῦτο Mc) περιγενέσθαι (παρα- Mc)· διόπερ ἀνελάβετο πέλεκυν (τὸ πέλεκα Cb) καὶ (καὶ om. Cb) παρεγένετο πρὸς τὸν ποταμὸν ξυλευόμενος Cb Mc ἐβουλήθη τῶν ἴσων (τὸ ἴσον Ch) περιγενέσθαι· διόπερ ἀναλαβὼν πέλεκυν παρεγένετο πρὸς τὸν ποταμὸν ξυλευόμενος (-σόμενος Cg) Cg Ch || **19** ἐπίτηδες Cb -δείως ceteri || **20** ἐκάθητο Ce || **21** γοῦν Cb || Ἑρμοῦ Cb -μῆ Ce Cf Mc || ἐπιφανέντος (ἐπι- om. Cb), τὴν αἰτίαν τῶν θρήνων ἐπυνθάνετο καὶ μαθὼν καταβὰς χρυσοῦν πέλεκυν ἀνήνεγκε (ἀνήγαγεν Ch Mc) libri excepto Ca || **24** Καὶ φήσαντα αὐτῷ εἰ τοῦτο ἀπώλεσας, ἔφη μετὰ χαρᾶς· Ἀληθῶς (Καὶ ἀληθῶς Cf) τοῦτό ἐστιν (ἀπώλεσα pro ἐστι Cf) Ce Cf || φήσαντος εἰ τοῦτο (τούτω Cb) ἀπώλεσεν Cb Mc || τοῦτο Ch || **25** τουτό ἐστιν Cb Cg Ch Mc || Ἰδὼν δὲ libri excepto Ca || **26** ἀναίδειαν αὐτοῦ omisso καὶ τὸ ψεῦσμα Ce Cf || τὸ ψευδὲς (-δος Cg) Cb Cg Mc || ταύτην libri excepto Ca || **27** ἀπεδωρήσατο omisso οὐκ Cb Mc || αὐτὸν Mc om. Ce Cf || τὴν ἰδίαν libri excepto Ca Cg || **28** Ὅτι Cb || ἡμᾶς διδάσκει Ch δηλοῖ Cb Cg Ce Cf || **28-29** Ὁ μῦθος δηλοῖ ὅσον τοῖς δικαίοις ὃ μὴ ἀγωνίζεται τὸ θεῖον Mc.

Aliter.

Ξυλευόμενός τις παρὰ ποταμῷ τὸν οἰκεῖον ἀπέβαλε πέλεκυν. Ἀμηχανῶν τοίνυν παρὰ τὴν ὄχθην καθίσας

Codd. La 44 Lb 99 Lc 21 Le 89 Lf 44 Lg 21 Md 85 Mg 115 Mi 1 Ml 116 Mm 103.

1 τῷ ποταμῷ La Mg ποταμῷ ceteri || **2** Ἀμηχανῶν δὲ μαθὼν τοίνυν καθήσας Lc.

Digitized by Google

ὠδύρετο. Ἑρμῆς δὲ μαθὼν τὴν αἰτίαν καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν χρυσοῦν ἀνήνεγκε πέλεκυν, καὶ εἰ οὗτός ἐστιν ὃν ἀπώλεσεν ἤρετο. Τοῦ δὲ μὴ τοῦτον εἶναι φαμένου, αὖθις καταβὰς ἀργυροῦν ἀνεκόμισε. Τοῦ δὲ μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον εἰπόντος, ἐκ τρίτου καταβὰς ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα φαμένου, Ἑρμῆς ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, πάντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ παραγενόμενος πρὸς τοὺς ἑταίρους τὰ συμβάντα αὐτοῖς διεξελήλυθεν· ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα κλαίων ἐκάθητο. Ἐπιφανεὶς οὖν ὁ Ἑρμῆς κἀκείνῳ καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκε καὶ ἤρετο εἰ ταύτην ἀπέβαλε. Τοῦ δὲ σὺν ἡδονῇ· « Ναὶ ἀληθῶς ἥδ' ἐστί » φήσαντος, μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναίδειαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

Ὁ μῦθος δηλοῖ ὅτι, ὅσον τοῖς δικαίοις τὸ θεῖον συναίρεται, τοσοῦτον τοῖς ἀδίκοις ἐναντιοῦται.

4 καταδὺς εἰς τὸν ποταμὸν om. Le || **5** ὃν ἀπώλεσεν πέλεκυν Md Mi Mm || **6** εἰπόντος pro φαμένου Lg || **7** μήτε Lc μὴ pro μηδὲ Mg || φαμένου, πάλιν ἐκ τρίτου Le || **9** ἀπολέσαντα Le || **10** αὐτὸν τῆς δικαιοσύνης Le || πάσας La Le Mm || ἐχαρίσατο Md Mi || **11** παραγενόμενος πάντα τοῖς ἑταίροις τὰ συμβάντα διεξελήλυθεν (διεξ- τὰ συμ- Le) La Lc Le Md Mi Ml Mm || **12** τις om. Ml || **13** ἰδίαν ἀξίνην Le || **14** θρηνῶν καὶ αὐτὸς ἤρξατο pro κλαίων ἐκάθητο Mm κλαίων ἐκ- om Md Mi || **15** ὁ ante Ἑρμῆς om. Lc Lg || **16** ἀνήνεγκε Lb Lc Le Lf Lg Md Mi Mm || **17** ἀληθῶς ἐστι φήσαντος ἥδε Md Mi || **19** τὴν ἐκείνου κ-, ἀλλ' οὐδὲ τὴν χρυσῆν Md Mi || **21** Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Mg || τοῖς ante δικαίοις om. Lc || συναίρετον Lc Lf || ὅσα ... συνεξαίρεται Md Mi || **22** ἐναντιοῦνται Md.

Aliter.

Ξύλα τις ἄνθρωπος ἐν ποταμῷ κόπτων,
πίπτει πέλεκυς εἰς ῥεῦμα παραυτίκα.
Καθήμενος γοῦν πεπλησμένος ἐνθλίψει,
τὰς ὄχθας βλέπων ὠδύρετο μεγάλως.
Ἑρμῆς δὲ παρὼν ἐλεήσας τὸν νέον
μαθεῖν ἐζήτει τὴν αἰτίαν τῆς λύπης.
Τοῦ δὲ εἰπόντος τὸ πᾶν ἀρχῆθεν, τούτῳ

Cod. Cd 94.

1 ἐν τῷ ποταμῷ cod. || **2** εἰς ῥεῦμα nos εἰς ἄχθος cod. || **7** τοῦτον cod.

Digitized by Google

καταβὰς ἀνήγαγε χρυσοῦν πελέκη,
κεἰ οὗτός ἐστιν ἐπυνθάνετο τούτου.
Ὁ δὲ πένης ἔφησε μὴ εἶναι τοῦτον.
Αὖθις οὖν ἐλθὼν ἀργυροῦν ἐπιφέρει·
καὶ πάλιν ἠρνήσατο μὴ εἶναι τοῦτον.
Ἐκ τρίτου δ' αὖθις ἀνάγει τὸν οἰκεῖον.
Ὁ δ' εὖγε τοῦτον ἀπολέσαι ἐφώνει.
Ἀλήθειαν δὲ ὁ Ἑρμῆς ὡς ἀκούει,
χαρίζεται εὐφρανθεὶς καὶ τοὺς τρεῖς τούτῳ.
Ἐντεῦθεν οὗτος ἀπελθὼν εἰς ἑταίρους
λέγει τὰ πάντα καὶ διηγεῖται ὅλως.
Ἀλλ' εἷς ἐκ τούτων ἔρχεται παραυτίκα
πέλεκυν κρατῶν, τὸν ποταμὸν ἐμβαίνει,
καὶ τὴν ἀξίνην ῥίψας ἐπιτηδείως,
κλαίων ἐκαθέζετο παρὰ ταῖς ὄχθαις.
Ἀλλὰ ὁ Ἑρμῆς ἐκεῖσε φανεὶς πάλιν
ἐπυνθάνετο δι' ἣν θρηνεῖ αἰτίαν.
Αὖθις δὲ μαθὼν τῷ ποταμῷ ἐμβαίνει
καὶ πέλεκυν ἀνάγει χρυσοῦν ἐκ τούτου.
Ἔφη δ' Ἑρμῆς πρὸς τὸν πένητα ἐκεῖνον·
« Τοῦτόν γε, οὗτος, ἀπώλεσας ἢ ἄλλον ; »
« Ναὶ τοῦτον, ὦ δέσποτα, » ὁ πένης ἔφη.
Ἀναίδειαν οὖν ἐκπλαγεὶς τοῦ ἀνέρος
ῥίψας καὶ τοῦτον οὐδὲ διδοῖ τὸν ἄλλον.

Ὁ μῦθος δηλοῖ ὅτι, ὅσον ὁ θεὸς εὐφραίνεται ἐπὶ τῷ δικαίῳ, τοσοῦτον πάλιν ἄχθεται ἐπὶ τῷ ἀδίκῳ.

8 πελέκη nos, quae forma saepius in codicibus occurrit, πέλεκυν cod. || **9** κεἰ οὗτός nos εἰς αὐτός cod. || τούτου nos τοῦτον cod. || **14** ἀπολέσαι ἐφώνει nos ἀπωλέσθαι πεφώνει cod. || **15** δὲ nos γὰρ cod. || ἀκούει nos ἤκουσε cod. || **16** χαρίζει τούτῳ εὐφρανθεὶς καὶ τοὺς τρεῖς, correxi || **18** ὅλως nos ξένως cod. || **21** ἐπιτηδίως || **23** Ἀλλ' ὁ cod. || **27** ἔφη δ' ὁ Ἑρμῆς πρὸς τὸν πένην cod. **29** || Ναὶ τοῦτον nos Καὶ τούτου cod. || **31** διδοῖ τὸν ἄλλον nos τὸν ἄλλον δίδει cod.

255

Ὁδοιπόροι καὶ ἄρκτος.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Ἄρκτου δὲ αὐτοῖς

Codd. Pa 64 Pb 65 Pc 32 Pe 32 Pg 42 Ma 46 Mb 36.

1 τὰς αὐτὰς ὁδοὺς Pa τὴν ὁδὸν Pc || μίαν ὁδὸν βαδίζοντες Pc || Ἄρκτου δὲ ἐν τῇ ὁδῷ φανείσης Pb.

Digitized by Google

ἐπιφανείσης, ὁ μὲν ἕτερος φθάσας ἀνέβη ἐπί τι δένδρον καὶ ἐνταῦθα ἐκρύπτετο, ὁ δὲ ἕτερος μέλλων περικατάληπτος γίνεσθαι, πεσὼν κατὰ τοῦ ἐδάφους τὸν νεκρὸν προσεποιεῖτο. Τῆς δὲ ἄρκτου προσενεγκούσης αὐτῷ τὸ ῥύγχος καὶ περιοσφραινομένης τὰς ἀναπνοὰς συνεῖχε· φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῷον. Ὑποχωρησάσης δέ, ὁ ἀπὸ τοῦ δένδρου καταβὰς ἐπυνθάνετο αὐτοῦ τί ἡ ἄρκτος πρὸς τὸ οὖς εἴρηκεν. Ὁ δὲ εἶπε· « Τοῦ λοιποῦ τοιούτοις μὴ συνοδοιπορεῖν φίλοις οἳ ἐν κινδύνοις οὐ παραμένουσιν. »

Ὁ λόγος δηλοῖ ὅτι τοὺς γνησίους τῶν φίλων αἱ συμφοραὶ δοκιμάζουσιν.

2 ἐπιφανέντος Pg || ὁ μὲν εἷς Pe Ma || μὲν om. Pc || φθάσας om. Pb || ἐπί τινι δένδρῳ ἀνέβη Pe || **3** κἀκεῖ κατεκρύπτετο Pb καὶ ἐν αὐτῷ ἐκρύβετο Pe || παρακατάληπτος Mb || **4** γενέσθαι Pb Pc Pe || ἐπὶ Ma || ἐπὶ τοῦ ἐδάφους πεσὼν Pb πεσὼν ἐπὶ τὴν γῆν Pe || τὸ νεκρῶν Pa νεκρὸν ἑαυτὸν Pb ἑαυτὸν νεκρὸν Ma || τὸ τῶν νεκρῶν προσεποιήθη Pe || **5** προσεγγισάσης αὐτοῦ τὸ ῥάχος Pe || **6** ῥέγχος Pc Mb ῥάγχος Pg || αὐτὰς τὰς ἀναπνοάς, οὗτος συνεῖχεν αὐτάς Pb || ἀναπνοὰς αὐτῷ Pg Mb || τὰς ἀκοὰς αὐτοῦ, ἀπῆλθε Pe || **7** Ἀπαλλαγείσης δέ Pg Ma Mb || Ἀπαλλαγείσης δὲ τῆς ἄρκτου, καταβὰς ὁ εἰς τὸ δένδρον ὢν Pe || **8** ὁ om. Pa || καταβὰς om. Pa Pc Pg Mb || αὐτοῦ om. Pb αὐτῷ Pc παρὰ (παρὰ om. Ma) τοῦ ἑτέρου Pe Ma || τὸ τί πρὸς τὸ οὖς αὐτοῦ εἴρηκεν ἡ ἄρκτος Pe || **9** εἶπεν pro εἴρηκεν Pg Mb ἠρείκει Ma || Ὁ δὲ ἀπεκρίθη Pg Mb || Ὁ δὲ εἶπεν αὐτῷ· « Ἔφη μοι· βλέπε τοῦ λοιποῦ μὴ συνοδεύειν τοιούτοις φίλοις ... Pe || τοιούτοις τοῦ λοιποῦ Pb || τοῦ λοιποῦ om. Pg Mb || μὴ τοιούτοις Pc Pg || **10** παραμήνου Pa παρασθένουσι Pb || **11** Ma habet epim. in fabula sequenti.

Aliter.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Καὶ δὴ ἄρκτου αὐτοῖς συναντησάσης, ὁ μὲν εἷς φοβηθεὶς ἐπί τι δένδρον

Codd. Ca 57 Cb 38 Cd 35 Ce 40 Cf 44 Ch 45 Mc 37 (truncus) Md 43 Mh 38 Mi 78 Ml 152 Mm 55 Mn 17 Ld 17.

Codd. Ca Ce Cf Ml Mn Ld scriptum habent ἄρκτος, Ch Md ἄρκτος et ἄρκος, ceteri ἄρκος || **1** Φίλοι δύο Ml || τὴν ὁδὸν Ce Cf Ml μίαν ὁδὸν Cb Cd || Καὶ δὴ (δὲ Cd) ἄρκος (uel ἄρκτος) αὐτοῖς (-τῶν Ch) συναντήσασα (-τήσας Md Mh Mi Ml Mm Mn) libri, excepto Ca || **2** ἀνῆλθεν (ἀπ- Cb) ἐπί τι (τινι Cb Cd) δένδρον (-δρῳ Cd) Cb Cd Ch ἀνέβη ἐπὶ τὸ (τὸ om. Ce) δένδρον καὶ Ce Cf Ml || τι om. Md Mh Mi Mm Mn Ld τὸ pro τι Ca.

Digitized by Google

ἀναβὰς ἐκρύβη ἐν αὐτῷ· ὁ δὲ ἕτερος περιγενέσθαι αὐτῆς μὴ δυνηθεὶς μόνος, ὡς εἶδεν αὐτὸν κυριευόμενον παρὰ τῆς ἄρκτου, πεσὼν ἐπὶ τὴν γῆν προσεποιεῖτο τεθνάναι. Ἐλθούσης δὲ αὐτῆς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ὠσφραίνετο διὰ τοῦ ῥύγχους τῶν ἀκοῶν αὐτοῦ καὶ τῶν φρενῶν. Ὁ δὲ τὰς ἀναπνοὰς αὐτοῦ ἐκράτει εὐτόνως. Ἡ δὲ ἄρκτος ὑπολαβοῦσα νεκρὸν αὐτὸν ὑπάρχειν, ἀπῄει· φασὶ γὰρ ὅτι νεκροῦ ἡ ἄρκτος οὐχ ἅπτεται. Ἀπαλλαγείσης δὲ αὐτῆς, ὁ ἕτερος καταβὰς ἀπὸ τοῦ δένδρου, ἐπυνθάνετο τί [ἂν] πρὸς τὸ οὖς ἐλάλει αὐτῷ ἡ ἄρκτος. Ὁ δὲ εἶπεν ὅτι « ἔφη πρός με ἡ ἄρκτος ὥστε ἀπὸ τοῦ νῦν τοιούτοις μὴ συνοδοιπορεῖν φίλοις οἳ ἐν κινδύνοις οὐ παραμένουσιν. »

Ὁ μῦθος δηλοῖ ὅτι τοὺς γνησίους τῶν φίλων αἱ συμφοραὶ δοκιμάζουσιν. Ἤ· Ἀπέχεσθαι χρὴ φίλων οἵτινες ἐν κινδύνοις οὐ βοηθοῦσιν οὐδὲ παραμένουσι.

3 καὶ ἐκρύβη Ch || καὶ ἐκρύβη ἐν αὐτῷ om. Cb Cd || ἐν αὐτῷ om. Md Mh Mi Ml Mm Mn Ld || **4** μόνος μὴ δυνηθεὶς Cb Cd Ce Cf Ch Ml μόνος μὴ δυνάμενος Md Mh Mi Mm Mn Ld || Mc incipit a uerbo δυνάμενος || ἑαυτὸν Ch Ml σαυτὸν Cb αὐτὸν ceteri || μέλλοντα κυριευθῆναι ὑπὸ τῆς ἄρκτου (uel ἄρκου) M excepto Ml || ὑπὸ Cb Cd Ml || **5** τοῦ ἄρκου Cd || τῆς γῆς Mc || προσεποιεῖτο νεκρόν (-κρῶν Ce) Ce Cf π- ἑαυτὸν νεκρόν Ml || **6** Ἐλθοῦσα δὲ ἐπὶ Ml || δὲ τῆς ἄρκτου uel ἄρκου Ld M excepto Ml || τῆς κεφαλῆς Cb Cd Cf Mc Md Mh Mi Mm Mn Ld || ὠσφραίνετο (ὀσφρένετα Cb -αίνετα Mm ὠσφραίετο Mn) τὰς ἀκοὰς αὐτοῦ καὶ τὰς ῥίνας (φρένας Ce Cf M) libri excepto Ca || **7** Τοῦ δὲ τὰς ἀναπνοὰς αὐτοῦ κρατοῦντος εὐτόνως, ἡ ἄρκτος Ml || **8** ἀμπνοὰς Mm || κατέσχεν pro ἐκράτει Ld M excepto Ml || ἐν εὐτόνως Cd ἀτόνως Mi Mn Ld || **9** αὐτὸν om. Mm || αὐτὸν νεκρὸν Mn Ld || ὑπάρχει Cb εἶναι Ce Mc Md Mi Mm Mn Ld || ἀνεχώρησε Ld M excepto Ml || φασὶ γὰρ ὅτι (ὅτι Ce Cf Mb Ml om. ceteri) νεκροῦ (-κρὸν Mh Mi) μὴ ἅπτεσθαι τὴν (τὴν om. Mh) ἄρκτον (uel ἄρκον) libri excepto Ca || **10** Ἀπαλλαγείσης δὲ αὐτῆς om. libri excepto Ca || **11** Ὁ δὲ ἕτερος libri excepto Ca || ἐπυνθάνετο om. Ml || τὸ τί Cd || **12** αὐτοῦ (αὐτῷ Ce) ἐλάλει (ἐλάλιεν Cd) ἡ ἄρκος (uel ἄρκτος) Cb Cd Ce Ld M excepto Ml || ὅτι ante ἔφη Ca solus || **13** ὅτι pro ὥστε Ml C excepto Ca om. ceteri || τοιούτοις (τούτοις Md) φίλοις μὴ συνοδεύειν (-εύῃς Ch Mm Mn Ld -εύσῃς Md Mi -εύεις Mh) ceteris omissis libri excepto Ca || **16** Prius epim. habent soli Ca et Cb; hic autem posuit prius epim. Τοὺς γνησίους ... in loco posteriore; incipit enim ab Ὅτι ἀπέχεσθαι || Ἑρμηνεύει δ' ὁ λόγος ὅτι Cd || Ὁ μῦθος δηλοῖ (δηλοῖ om. Mn) ὅτι (ὅτι om. Mc) ἀπέχεσθαι Ce Cf Ch M Ld || φίλοις Cb Ce Cf Ld M excepto Mc τοῖς φίλοις Cd Mc || **17** ἐν καιρῷ βίας Ce || ἐν καιρῷ περιστάσεως οὐ παραμένουσι (περι- Mc) βοηθεῖν Ld M excepto Ml || **18** οὐ βοηθοῦσι φίλοις Ch || περιμένουσιν Ce Ml Ld προσμένουσι Cf.

Digitized by Google

Aliter.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐβάδιζον. Καὶ δὴ ἄρκτος αὐτοῖς συναντήσας τὸν μὲν ἕνα εἰς φυγὴν ἔτρεψεν· ὃς καὶ ἀναβὰς ἐπὶ δένδρον ἐκρύβη. Ὁ δὲ ἕτερος τοῦτο ποιῆσαι μὴ δυνηθεὶς, ὡς ἔγνω ἑαυτὸν μέλλοντα κυριευθῆναι ὑπὸ τῆς ἄρκτου, πεσὼν ἐπὶ τῆς γῆς προσεποιεῖτο τεθνάναι. Ἡ δὲ ἄρκτος ἐλθοῦσα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ὠσφραίνετο τήν τε ἀναπνοὴν αὐτοῦ καὶ τὰς φρένας καὶ τὴν ἀκοήν. Ὁ δὲ εὐτόνως κατεῖχε τὴν ἀναπνοὴν αὐτοῦ. Ἡ δὲ ἄρκτος ὑπολαβοῦσα νεκρὸν αὐτὸν εἶναι ἀνεχώρησε· φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὴν ἄρκτον. Ὁ δὲ ἕτερος καταβὰς ἀπὸ τοῦ δένδρου ἐπυνθάνετο τί πρὸς τὸ οὖς αὐτοῦ ἐλάλει ἡ ἄρκτος. Ὁ δὲ εἶπε· « Τοῦτο ἔφη· ἀπὸ τοῦ νῦν τοιούτοις μὴ συνόδευε φίλοις. »

Ὁ μῦθος δηλοῖ ἀπέχεσθαι τῶν φίλων οἵτινες ἐν καιρῷ περιστάσεως οὐ περιμένουσι βοηθῆσαι τοῖς φίλοις.

Cod. Mk 41.

2 ἔτρεψαν cod. || **15** βοηθῆσθαι cod.

256

Ὁδοιπόροι καὶ κόραξ.

Πορευομένοις τισὶν ἐπὶ πρᾶξίν τινα κόραξ ὑπήντησε τὸν ἕτερον τῶν ὀφθαλμῶν πεπηρωμένος. Ἐπιστραφέντων δὲ αὐτῶν καί τινος ὑποστρέψαι παραινοῦντος, τοῦτο γὰρ σημαίνειν τὸν οἰωνόν, ἕτερος ὑποτυχὼν εἶπε· « Καὶ πῶς οὗτος ἡμῖν δύναται τὰ μέλλοντα μαντεύεσθαι, ὃς οὐδὲ τὴν ἰδίαν πήρωσιν προεῖδεν, ἵνα φυλάξηται; »

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ ἐν τοῖς ἰδίοις ἄβουλοι καὶ εἰς τὰς τῶν πέλας συμβουλίας ἀδόκιμοί εἰσιν.

Codd. Pa 212 Pf 120 Me 155.

1 ἐπὶ πρόσταξίν Pa || **2** τῶν ὀφθαλμῶν τὸν ἕτερον **Pf** τὸν ἕτερον ὀφθαλμὸν Me || **4** ἑτέρους Pa || **5** ὃς ἄλλω οὐδὲ Pa || **6** προείδετο **Pf Me** || **7** Οὕτω καὶ οἱ ἐν τοῖς οἰκείοις πράγμασι τὸ ἄβουλον κεκτημένοι καὶ εἰς τὰς τῶν πέλας συμβουλίας ἀδόκιμοι **Pf** Me.

Digitized by Google

257

Ὁδοιπόροι καὶ πέλεκυς.

Δύο ἐν ταὐτῷ ὡδοιπόρουν. Ἑτέρου δὲ πέλεκυν εὑρόντος, ὁ ἕτερος ἔλεγεν· « Εὑρήκαμεν. » Ὁ δὲ ἕτερος παρῄνει μὴ λέγειν « Εὑρήκαμεν, » ἀλλ' « Εὕρηκας. » Μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν ἀποβεβληκότων τὸν πέλεκυν, ὁ ἔχων αὐτὸν διωκόμενος ἔλεγε πρὸς τὸν συνοδοιπόρον· « Ἀπολώλαμεν. » Ἐκεῖνος δὲ ἔφη· « ⟨Μὴ ἀπολώλαμεν εἴπῃς⟩, ἀλλ' ἀπολώλα· οὐδὲ γάρ, ὅτε τὸν πέλεκυν εὗρες, ἐμοὶ αὐτὸν ἀνεκοινώσω. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ μὴ μεταλαβόντες τῶν εὐτυχημάτων οὐδὲ ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

Codd. Pa 66 Pb 67 Pc 33 Pe 34 Pf 31 Ph 33 Mb 15 Me 46 Mf 41.

Ἀνθρώπων δύο ἐν ταὐτῷ ὁδοιπορούντων, ἕτερος πέλεκυν εὕρατο. Καὶ ὁ ἕτερος Mb || Δύο τινὲς Me Mf || ἐν τῇ αὐτῇ Pb || ὁδοιποροῦντες καὶ (καὶ om. Pe) τοῦ ἑνὸς πέλεκυν εὑρηκότος (εὑρόντος Pe) Pe Pf Ph Me Mf || Θατέρου δὲ Pb Τοῦ ἑτέρου δὲ Pc || ὁ μὴ εὑρὼν ἔλεγεν Pf Ph Me Mf || 2 Ὁ δὲ ἕτερος τῷ ἑτέρῳ τῷ μὴ εὑρόντι αὐτὸν παρῄνει Pb || Ὁ δὲ αὐτῷ παρῄνει Pc || Ὁ δὲ ἕτερος μὴ εὑρὼν παρῄνει τὸν εὑρόντα μὴ λέγειν Pe || Ὁ δὲ εὑρηκὼς παρῄνει αὐτῷ μὴ λέγειν· Εὑρήκαμεν, ἀλλ' Εὕρηκας Pf Me Mf || Ὁ δὲ εὑρὼν Ph || Ὁ δὲ αὐτὸν παρῄνει· Μὴ λέγε· Εὑρήκαμεν, ἀλλ' Εὕρηκα Mb || 3 Εὕρηκα Pa Pb Pc Pe Ph Mb || ἐπανελθόντων Pb Mb || ἀπελθόντων αὐτῶν καὶ καταλαβόντων τὸν ἀποβεβληκότα τὸν πέλεκυν, ὁ ἔχων αὐτὸν διωκόμενος παρ' αὐτῶν ἔλεγε πρὸς τὸν εὑρόντα συνοδοιπόρων Pe || 5 πρὸς τὸν ἕτερον συνοδοιπόρον Pc πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον Pf Ph Me Mf || πρὸς τὸν συνοδοιπόρον om. Pb || 6 Ἐκεῖνος δὲ ἔφη· Μὴ ἀπολώλαμεν εἴπῃς, ἀλλ' ἀπολωλα nos Ἐκεῖνος· Ἀπόλωλας· οὐδὲ γὰρ Pa || Κἀκεῖνος ὁ μὴ εὑρὼν ἔφη· Ἀλλ' ἀπόλωλας εἶπε Pb Ἐκεῖνος· Ἀλλ' ἀπόλωλα Pc Ἐκεῖνος δὲ ὁ μὴ εὑρὼν (ἔφη addit hic Pe)· Ἀλλ' ἀπόλωλα (-λας Pf) εἶπε Pe Pf Ἐκεῖνος δέ φησι· Ἀλλ' ἀπόλωλας Mb Ἐκεῖνος δὲ ὁ μὴ εὑρών· Ἀλλ' ἀπόλωλα (-λας Mf) λέγε, οὐκ ἀπολώλαμεν Me Mf || 7 οὐ γὰρ ὅτε Pb || οὐδὲν γὰρ τὸ πέλεκυ ὅτε ἔλεγες εὗρες· Εὑρήκαμεν, ἀλλ' εὕρηκα Pc || ὅτε om. Mb || καὶ γὰρ ὅτε τὸν πέλεκυν εὗρες, Εὕρηκα ἔλεγες, οὐκ εὑρήκαμεν Me Mf || εὗρες, ἐμοὶ αὐτὸν (αὐτὸν om. Pc) ἀνεκοινώσω (ἀνεικ- Pa ἐκοινώσω Mb) Pa Pc Mb || εὗρες, ἔλεγες· Εὑρήκαμεν sic desinunt Pb Pf Ph || 8 Ὁ μῦθος φάσκει ὅτι Pf Ὅτι Ph || μεταβάντες Pe || 9 ἀλλ' οὐδὲ (οὐδ' Pc) ἐν Pb Pc || εἰσι om. Pa Pc || εἰσι βέβαιοι, omisso φίλοι Pf Ph || βέβαιοι et φίλοι om. Mb.

Digitized by Google

Aliter.

Δύο τινὲς κατὰ ταὐτὸν ὡδοιπόρουν, καὶ θἀτέρου πέλεκυν εὑρόντος, ἅτερος ὁ μὴ εὑρὼν παρῄνει αὐτῷ μὴ λέγειν· « Εὕρηκα, » ἀλλ' « Εὑρήκαμεν. » Μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν διωκόμενος πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν· « Ἀπολώλαμεν. » Ὁ δὲ εἶπεν· « Ἀπόλωλα λέγε, οὐκ ἀπολώλαμεν· καὶ γὰρ καὶ ὅτε τὸν πέλεκυν εὗρες, εὕρηκα ἔλεγες, οὐχ εὑρήκαμεν. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων οὐδ' ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

Codd. La 87 Lb 39 Le 39 Lf 87 Md 140 Mg 54 Mi 114 Mj 45 Ml 50 Mm 141 Ce 39 Cf 42.

1 Ὁδοιποροῦντες ἄνδρες δύο τὴν αὐτὴν ὁδόν, καὶ Mm || κατὰ ταὐτὸν om. Md Mi καταὐτὸν Cf || **2** εὑρόντος, πρὸς τὸν ἕτερον λέγοντα· « Εὑρήκαμεν » παρῄνει αὐτῷ μὴ λέγειν ὅτι εὑρήκαμεν Md Mi || ἅτερος ὁ μὴ om. Mm¹ || παρῄνει αὐτὸν La Le Lf Mg Ml Ce || μὴ λέγειν ὅτι εὔ Mm ρηκα ἀλλ' εὑρήκαμεν om. Mm¹ addidit M² || **3** ἐπελθόντος αὐτοῖς τοῦ τὸν πέλεκυν ἀποβεβληκότος Ce Cf || ἐπανελθόντων Le || **4** τε πέλεκυν Mi || **5** διωκόμενος om. Md Mi Mm || **6** Ὁ δὲ εἶπε· Μὴ λέγε· Ἀπολώλαμεν, ἀλλὰ ἀπόλωλα Mj || **7** καὶ γὰρ ὅτε Le Md Mi Ce Cf || **8** εὕρηκας Le || **9** Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Md Mg Mi || μὴ om. Mm Ce Cf || μεταλαβόντες Lb Le M excepto Mg || **10** δεῖ καὶ ἐν pro οὐδ' ἐν Ce || εἶναι φίλοι Ce || φίλοι om. Cf.

258

Ὁδοιπόροι καὶ πλάτανος.

Ὁδοιπόροι θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος τρυχόμενοι, ὡς ἐθεάσαντο πλάτανον, ὑπὸ ταύτην καταντήσαντες καὶ ἐν τῇ σκιᾷ κατακλιθέντες ἀνεπαύοντο. Ἀνα-

Codd. Pa 173 Pb 170 Pc 101 Pf 94 Pg 111 Ph 75 Ma 121 Mb 146 Me 121 Mf 102 Mj 111 Ca 129 Lb 99 Le 99 Lh 51.

1 Ὁδοιπόροι δύο Pb Pg Ph Ma Mb L || ὥραν Ma || περὶ μεσημβρίαν om. Pc || **2** ἐνοχλούμενοι, ὡς πλατάνῳ περιέτυχον ὑπὸ τὴν αὐτῆς κατακλιθέντες (καταβληθέντες Lh) σκιὰν ἀνεπαύοντο L || πλατάνην Ma || ὑποκάτω αὐτῆς Pg Mb ὑπὸ ταύτης Ca || **3** ἐν om. Mf.

Digitized by Google

257

Ὁδοιπόροι καὶ πέλεκυς.

Δύο ἐν ταὐτῷ ὡδοιπόρουν. Ἑτέρου δὲ πέλεκυν εὑρόντος, ὁ ἕτερος ἔλεγεν· « Εὑρήκαμεν. » Ὁ δὲ ἕτερος παρῄνει μὴ λέγειν « Εὑρήκαμεν, » ἀλλ' « Εὕρηκας. » Μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν ἀποβεβληκότων τὸν πέλεκυν, ὁ ἔχων αὐτὸν διωκόμενος ἔλεγε πρὸς τὸν συνοδοιπόρον· « Ἀπολώλαμεν. » Ἐκεῖνος δὲ ἔφη· « ⟨Μὴ ἀπολώλαμεν εἴπῃς⟩, ἀλλ' ἀπόλωλα· οὐδὲ γάρ, ὅτε τὸν πέλεκυν εὗρες, ἐμοὶ αὐτὸν ἀνεκοινώσω. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ μὴ μεταλαβόντες τῶν εὐτυχημάτων οὐδὲ ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

Codd. Pa 66 Pb 67 Pc 33 Pe 34 Pf 31 Ph 33 Mb 15 Me 46 Mf 41.

Ἀνθρώπων δύο ἐν ταὐτῷ ὁδοιπορούντων, ἕτερος πέλεκυν εὕρατο. Καὶ ὁ ἕτερος Mb || Δύο τινὲς Me Mf || ἐν τῇ αὐτῇ Pb || ὁδοιποροῦντες καὶ (καὶ om. Pe) τοῦ ἑνὸς πέλεκυν εὑρηκότος (εὑρόντος Pe) Pe Pf Ph Me Mf || Θατέρου δὲ Pb Τοῦ ἑτέρου δὲ Pc || ὁ μὴ ε˙ρὼν ἔλεγεν Pf Ph Me Mf || **2** Ὁ δὲ ἕτερος τῷ ἑτέρῳ τῷ μὴ εὑρόντι αὐτὸν παρῄνει Pb || Ὁ δὲ αὐτῷ παρῄνει Pc || Ὁ δὲ ἕτερος μὴ εὑρὼν παρῄνει τὸν εὑρόντα μὴ λέγειν Pe || Ὁ δὲ εὑρηκὼς παρῄνει αὐτῷ μὴ λέγειν· Εὑρήκαμεν, ἀλλ' Εὕρηκας Pf Me Mf || Ὁ δὲ εὑρὼν Ph || Ὁ δὲ αὐτὸν παρῄνει· Μὴ λέγε· Εὑρήκαμεν, ἀλλ' Εὕρηκα Mb || **3** Εὕρηκα Pa Pb Pc Pe Ph Mb || ἐπανελθόντων Pb Mb || ἀπελθόντων αὐτῶν καὶ καταλαβόντων τὸν ἀποβεβληκότα τὸν πέλεκυν, ὁ ἔχων αὐτὸν διωκόμενος παρ' αὐτῶν ἔλεγε πρὸς τὸν εὑρόντα συνοδοιπόρων Pe || **5** πρὸς τὸν ἕτερον συνοδοιπόρον Pc πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον Pf Ph Me Mf || πρὸς τὸν συνοδοιπόρον om. Pb || **6** Ἐκεῖνος δὲ ἔφη· Μὴ ἀπολώλαμεν εἴπῃς, ἀλλ' ἀπόλωλα nos Ἐκεῖνος· Ἀπόλωλας· οὐδὲ γὰρ Pa || Κἀκεῖνος ὁ μὴ εὑρὼν ἔφη· Ἀλλ' ἀπόλωλας εἶπε Pb Ἐκεῖνος· Ἀλλ' ἀπόλωλα Pc Ἐκεῖνος δὲ ὁ μὴ εὑρὼν (ἔφη addit hic Pe)· Ἀλλ' ἀπόλωλα (-λας Pf) εἶπε Pe Pf Ἐκεῖνος δέ φησι· Ἀλλ' ἀπόλωλας Mb Ἐκεῖνος δὲ ὁ μὴ εὑρών· Ἀλλ' ἀπόλωλα (-λας Mf) λέγε, οὐκ ἀπολώλαμεν Me Mf || **7** οὐ γὰρ ὅτε Pb || οὐδὲν γὰρ τὸ πέλεκυ ὅτε ἔλεγες εὗρες· Εὑρήκαμεν, ἀλλ' εὕρηκα Pe || ὅτε om. Mb || καὶ γὰρ ὅτε τὸν πέλεκυν εὗρες, Εὕρηκα ἔλεγες, οὐκ εὑρήκαμεν Me Mf || εὗρες, ἐμοὶ αὐτὸν (αὐτὸν om. Pc) ἀνεκοινώσω (ἀνεικ- Pa ἐκοινώσω Mb) Pa Pc Mb || εὗρες, ἔλεγες· Εὑρήκαμεν sic desinunt Pb Pf Ph || **8** Ὁ μῦθος φάσκει ὅτι Pf Ὅτι Ph || μεταβάντες Pe || **9** ἀλλ' οὐδὲ (οὐδ' Pc) ἐν Pb Pc || εἰσι om. Pa Pc || εἰσι βέβαιοι, omisso φίλοι Pf Ph || βέβαιοι et φίλοι om. Mb.

Digitized by Google

Aliter.

Δύο τινὲς κατὰ ταὐτὸν ὡδοιπόρουν, καὶ θατέρου πέλεκυν εὑρόντος, ἅτερος ὁ μὴ εὑρὼν παρῄνει αὐτῷ μὴ λέγειν· « Εὕρηκα, » ἀλλ᾽ « Εὑρήκαμεν. » Μετὰ μικρὸν δὲ ἐπελθόντων αὐτοῖς τῶν τὸν πέλεκυν ἀποβεβληκότων, ὁ ἔχων αὐτὸν διωκόμενος πρὸς τὸν μὴ εὑρόντα συνοδοιπόρον ἔλεγεν· « Ἀπολώλαμεν. » Ὁ δὲ εἶπεν· « Ἀπόλωλα λέγε, οὐκ ἀπολώλαμεν· καὶ γὰρ καὶ ὅτε τὸν πέλεκυν εὗρες, εὕρηκα ἔλεγες, οὐχ εὑρήκαμεν. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ μὴ μεταλαμβάνοντες τῶν εὐτυχημάτων οὐδ᾽ ἐν ταῖς συμφοραῖς βέβαιοί εἰσι φίλοι.

Codd. La 87 Lb 39 Le 39 Lf 87 Md 140 Mg 54 Mi 114 Mj 45 Ml 50 Mm 141 Ce 39 Cf 42.

1 Ὁδοιποροῦντες ἄνδρες δύο τὴν αὐτὴν ὁδόν, καὶ Mm || κατὰ ταὐτὸν om. Md Mi καταὐτὸν Cf || **2** εὑρόντος, πρὸς τὸν ἕτερον λέγοντα· « Εὑρήκαμεν » παρῄνει αὐτῷ μὴ λέγειν ὅτι εὑρήκαμεν Md Mi || ἅτερος ὁ μὴ om. Mm[1] || παρῄνει αὐτὸν La Le Lf Mg Ml Ce || μὴ λέγειν ὅτι εὖ Mm ρηκα ἀλλ᾽ εὑρήκαμεν om. Mm[1] addidit M[2] || **3** ἐπελθόντος αὐτοῖς τοῦ τὸν πέλεκυν ἀποβεβληκότος Ce Cf || ἐπανελθόντων Le || **4** τε πέλεκυν Mi || **5** διωκόμενος om. Md Mi Mm || **6** Ὁ δὲ εἶπε· Μὴ λέγε· Ἀπολώλαμεν, ἀλλὰ ἀπόλωλα Mj || **7** καὶ γὰρ ὅτε Le Md Mi Ce Cf || **8** εὕρηκας Le || **9** Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Md Mg Mi || μὴ om. Mm Ce Cf || μεταλαβόντες Lb Le M excepto Mg || **10** δεῖ καὶ ἐν pro οὐδ᾽ ἐν Ce || εἶναι φίλοι Ce || φίλοι om. Cf.

258

Ὁδοιπόροι καὶ πλάτανος.

Ὁδοιπόροι θέρους ὥρᾳ περὶ μεσημβρίαν ὑπὸ καύματος τρυχόμενοι, ὡς ἐθεάσαντο πλάτανον, ὑπὸ ταύτην καταντήσαντες καὶ ἐν τῇ σκιᾷ κατακλιθέντες ἀνεπαύοντο. Ἀνα-

Codd. Pa 173 Pb 170 Pc 101 Pf 94 Pg 111 Ph 75 Ma 121 Mb 146 Me 121 Mf 102 Mj 111 Ca 129 Lb 99 Le 99 Lh 51.

1 Ὁδοιπόροι δύο Pb Pg Ph Ma Mb L || ὥραν Ma || περὶ μεσημβρίαν om. Pc || **2** ἐνοχλούμενοι, ὡς πλατάνῳ περιέτυχον ὑπὸ τὴν αὐτῆς κατακλιθέντες (καταβληθέντες Lh) σκιὰν ἀνεπαύοντο L || πλατάνην Ma || ὑποκάτω αὐτῆς Pg Mb ὑπὸ ταύτης Ca || **3** ἐν om. Mf.

Digitized by Google

βλέψαντες δὲ εἰς τὴν πλάτανον ἔλεγον πρὸς ἀλλήλους ὡς ἀνωφελές ἐστιν ἀνθρώποις τοῦτο ἄκαρπον τὸ δένδρον. Ἡ δὲ ὑποτυχοῦσα ἔφη· «Ὦ ἀχάριστοι, ἔτι τῆς ἐξ ἐμοῦ εὐεργεσίας ἀπολαύοντες, ἀχρείαν με καὶ ἄκαρπον ἀποκαλεῖτε.»

Οὕτω καὶ τῶν ἀνθρώπων τινὲς ἀτυχεῖς εἰσιν ὡς καὶ εὐεργετοῦντες τοὺς πέλας ἐπὶ τῇ χρηστότητι ἀπιστεῖσθαι.

4 πρὸς τὴν πλάτανον πρὸς ἀλλήλους ἔλεγον L || ὡς ἀνωφελές ἐστιν ἀνθρώποις τοῦτο ἄκαρπον τὸ δένδρον nos ex Pa qui habet ὡς ἀνωφελές τι τοῦτο ἄκαρπον ἀνθρώποις τὸ δένδρον et Pc qui habet ὡς ἀνωφελές ἐστι τοῦτο καὶ ἄκαρπον ἀνθρώποις τὸ δένδρον || ὡς ἀνωφελὲς τοῦτο καὶ ἄκαρπον ἀνθρώποις ἐστὶ τὸ δένδρον Pb ὡς ἀνωφελές ἐστι καὶ ἄκαρπον τοῦτο ἀνθρώποις τὸ δένδρον (τοῖς ἀνθρώποις δένδρον Me Mf) Pf Ph Me Mf Mj || ὡς (ὡς om. Pg) ἀνωφελόν τι τοῦτο τοῖς ἀνθρώποις καὶ (καὶ om. Pg) ὡς (ὡς om. Ca) ἄκαρπόν ἐστι τὸ δένδρον Pg Ca ὡς ἄκαρπον καὶ ἀνωφελὲς τοῦτο τὸ δένδρον ἐστὶ τοῖς ἀνθρώποις Mb ὡς ἀνωφελὲς καὶ ἄκαρπον ἔσται τὸ δένδρον τοῦτο Ma ἄκαρπον εἶναι καὶ ἀνόνητόν τι τοῦτο τοῖς ἀνθρώποις τὸ δένδρον Lb Lh ἄκαρπόν τε καὶ ἀνώνητον εἶναι τοῖς ἀνθρώποις τοῦτο τὸ δένδρον Le || **6** ἀποτυχοῦσα Ca ὑπολαβοῦσα Pg Mb || φησι L || ἔφη (εἶπε Ma) πρὸς αὐτούς Pf Pg Ph M Ca || ἐπὶ pro ἔτι Ma ὅτι Pf Ph Me Mf Mj || **7** ἀπολαβόντες Ma Mf || καὶ ἀχάριστον Pc || ἄκαρπον (με addit Ca) καὶ ἀχρείαν Pg Mb Ca || ἄκαρπον καὶ ἃ οὐ χρὴ ἀποκαλεῖται Ma ἄχρηστόν με ἀποκαλεῖτε καὶ ἄκαρπον L || **8** Ὁ μῦθος δηλοῖ ὅτι Mj Ὁ μῦθος ὅτι Lh || ἔνιοι pro τινὲς Pg Ma Mb Ca || οὕτω ἀτυχεῖς Pb L || εἰσιν om. Pa Pc || οἱ pro ὡς Ca || ὡς εὐεργετοῦντας κατὰ Ma || **9** εὐεργετούμενοι Pa || τοὺς πέλας, ἐξ αὐτῶν μᾶλλον ἀχαριστοῦνται Ca || τῇ om. Pg Le || ἀπαιτεῖσθαι Pc || **8-9** Οὕτω (Ὁ μῦθος δηλοῖ ὅτι οὕτω Mj) πολλοὶ ἀτυχεῖς εἰσι καὶ εὐεργετοῦντες τοὺς πέλας (πέλεκας Pf) ἐξ αὐτῶν μᾶλλον ἀχαριστοῦνται Pf Me Mf Mj Οὕτω πολλοὶ hic desinit Ph.

259

Ὁδοιπόροι καὶ φρύγανα.

Ὁδοιπόροι κατά τινα αἰγιαλὸν ὁδεύοντες, ὡς ἦλθον ἐπί τινα σκοπιάν, ἐνθένδε θεασάμενοι φρύγανα πόρρωθεν

Codd. Pa 175 Pb 172 Pc 103 Pf 95 Ma 123 Mb 147 Me 122 Mf 103 Mj 112.

2 τὴν σκοπιάν Pb Ma || ἔνθεν Pb Me Mf || θεασάμενοι ... ἐπιπλέοντα om. Pb Mj || πόρρω μὲν Ma Mb.

ἐπιπλέοντα, φήθησαν ναῦν εἶναι μεγάλην. Διὸ προσέμενον ὡς μέλλουσαν προσορμίζεσθαι. Ἐπεὶ δὲ ὑπὸ ἀνέμου φερόμενα τὰ φρύγανα μικρὸν προσεπέλαζον, ἀπεκαραδόκουν ὑπολαμβάνοντες πλοῖον εἶναι οὐκέτι μέγα ὡς τὸ πρότερον. Ἐγγὺς δὲ παντελῶς ἐξενεχθέντα αὐτὰ ἰδόντες φρύγανα ὄντα, ἔφασαν πρὸς ἀλλήλους· « Τὸ μηδὲν ὂν ἡμεῖς μάτην προσεδεχόμεθα. »

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς διάπειραν ἔλθωσιν, εὑρίσκονται οὐδενὸς ἄξιοι.

3 ἐπὶ πλέον ὄντα Pa || ἐνόμισαν Me Mf || αὖ pro ναῦν Ma || εἶναι om. Pa || Διόπερ Ma Mb || προσεμέθοον μέλουσαν Ma || **4** Ἐπειδὴ δὲ Ma || **5** μικροῦ Pf Me Mf Mj || προσήγγιζον Pb || προσδοκῶντες pro προσεπέλαζον Pc || ἐπεκαραδόκουν Pb Ma περιεκαραδόκουν Mb || **6** ὑπολαμβάνοντες om. Pb || εἶναι om. Pa || τὸ πρότερον ἐφαίνετο Pf Me Mf Mj || **7** ἐξενεχθέντος Pa || Ἐξενεχθέντων δ' αὐτῶν καὶ ἰδόντων αὐτὰ φρύγανα ὄντα Pb Ἐγγὺς δὲ παντελῶς ἐξενεχθέντων (ἐναχ- Ma) αὐτῶν (αὐτῶν om. Mb) ἰδόντες φρύγανα ὄντα (ὄντα om. Ma εἶναι Mb) Pc Pf M || **8** Post ἰδόντες Pa iterum scripsit φερόμενα φρύγανα μικρὸν προσεπέλαζον ..... ἰδόντες || ἔφησαν Ma Me Mf || ἔφησαν μηδὲν εἶναι· ἡμεῖς δὲ Mb || Μηδὲν ἦν· ἡμεῖς δὲ Pc || Τὸ μηδὲν εἶναι (εἰ καὶ pro εἶναι Pf) Pf Me Mf Mj || Ὃ μηδὲν ἦν ἡμεῖς μάτην προσεδοκῶμεν Ma || **9** προσδεχόμεθα Pa Pb || **10** Ὁ μῦθος δηλοῖ ὅτι Mj || ἐξ ἀπροσεξίας Ma || **11** φαινόμενοι pro φοβεροὶ Pc || εἶναι om. Pa || **12** οὐδὲν Ma || οὐδενὸς λόγου Mb || **10-12** Οὕτω (Ὁ μῦθος δηλοῖ ὅτι οὕτω Mj) πολλοὶ τῶν ἀνθρώπων ἀγνοούμενοι δοκοῦσι φοβεροὶ εἶναι· ὅταν δὲ διὰ πείρας ἔλθωσιν, εὑρίσκονται οὐδενὸς ἄξιοι Pf Me Mf Mj.

Aliter.

Ὁδοιπόροι κατά τινα αἰγιαλὸν ὁδεύοντες ἦλθον ἐπί τινα σκοπιάν. Κἀκεῖθεν θεασάμενοι φρύγανα πόρρωθεν ἐπιπλέοντα, ναῦν εἶναι μεγάλην φήθησαν. Διὸ δὴ προσέμενον, ὡς μελλούσης αὐτῆς προσορμίζεσθαι. Ἐπεὶ δὲ ὑπὸ ἀνέμου φερόμενα τὰ φρύγανα ἐγγυτέρω ἐγένετο, οὐκέτι ναῦν, ἀλλὰ πλοῖον ἐδόκουν βλέπειν. Ἐξενεχθέντα δὲ αὐτὰ φρύγανα ὄντα ἰδόντες, πρὸς ἀλλήλους ἔφασαν ὡς ἄρα μάτην ἡμεῖς τὸ μηδὲν ὂν προσεδεχόμεθα.

Codd. La 114 Lb 100 Le 100 Lf 114 Lh 52 Mg 123 Ml 134.

2 ἐπιπόρρωθεν Le || **3** καὶ προσέμενον Le || **4** αὐτῷ pro αὐτῆς Mg || **5** ἐγγύτερ Mg || ἐγένοντο Ml || **7** εἰδότες pro ἰδόντες Lh.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι τῶν ἀνθρώπων ἔνιοι ἐξ ἀπροόπτου δοκοῦντες φοβεροὶ εἶναι, ὅταν εἰς πεῖραν ἔλθωσιν, οὐδενὸς εὑρίσκονται ἄξιοι.

9 Ὁ μῦθος ὅτι οὕτω καὶ τῶν Le Lh || Ὅτι Mg || οὕτω καὶ τῶν Lf Ml || ἀπροκόπτου Lf.

260

Ὁδοιπόρος καὶ Ἀλήθεια.

Ὁδοιπορῶν τις ἐν ἐρήμῳ εὗρε γυναῖκα μόνην κατηφῆ ἑστῶσαν, καί φησιν αὐτῇ· « Τίς εἶ; » Ἡ δὲ ἔφη· « Ἀλήθεια. — Καὶ διὰ ποίαν αἰτίαν τὴν πόλιν ἀφεῖσα τὴν ἐρημίαν οἰκεῖς; » Ἡ δὲ εἶπεν· « Ὅτι τοῖς πάλαι καιροῖς παρ' ὀλίγοις ἦν τὸ ψεῦδος· νῦν δὲ εἰς πάντας ἀνθρώπους ἐστίν, ἐάν τι ἀκούειν καὶ λέγειν θέλῃς. »

Ὅτι κάκιστος βίος καὶ πονηρὸς τοῖς ἀνθρώποις ἐστίν, ὅτε τὸ ψεῦδος προκρίνεται τῆς ἀληθείας.

Cod. Ba 98.
6 θέλεις cod. || 7 ἐστὶν nos ἔσται cod. || 8 προσκρίνεται cod.

261

Ὁδοιπόρος καὶ Ἑρμῆς.

Ὁδοιπόρος πολλὴν ὁδὸν ἀνύων ηὔξατο, ἐὰν εὕρῃ τι, τούτου τὸ ἥμισυ τῷ Ἑρμῇ ἀναθήσειν. Περιτυχὼν δὲ πήρᾳ, ἐν ᾗ ἀμύγδαλά τε ἦν καὶ φοίνικες, ταῦτα ἀνείλατο οἰόμενος ἀργύριον εἶναι. Ἐκτινάξας δέ, ὡς εὗρε τὰ ἐνόντα, ταῦτα

Codd. Pa 176 Pb 173 Pc 104 Pf 96 Pg 113 Mb 148 Me 123.
1 διανύων Pc || ὧν ἂν εὕρῃ Pa Pb Me ἂν ἄρα εὕροι Pg Mb || τι post τούτου transposuit Pb om. Pc Pf Me || 2 τούτου om. Pg Mb || τὸ ἥμισυ τούτου Me || ἀναθεῖναι Pb || δὲ om. Pf Me τε Pa || πήραν Pc || 3 ἀμύγδαλοι Pb || τε ἦν om. Pg Mb || ἦσαν Pb || ταύτην ἀνείλετο (-λατο Pb) Pb Pg Mb Me || ἀνείλετο Pc || οἰόμενος ταύτην ἀργυρίων πεπληρωμένην εἶναι Pc || 4 εἶναι om. Pa || Ἐκτείνας δέ, ὡς εὑρὼν ταῦτα κατέφαγε (καταφαγὼν Pg), λαβὼν Pg Mb || ὡς om. Pf Me || τὰ ἐνόντα αὐτῇ Pc || ταῦτα καταφαγὼν om. Pb || ταῦτα om. Pc.

Digitized by Google

καταφαγὼν καὶ λαβὼν τῶν τε ἀμυγδάλων τὰ κελύφη καὶ τῶν φοινίκων τὰ ὀστᾶ, ταῦτα ἐπί τινος βωμοῦ ἔθηκεν, εἰπών· « Ἀπέχεις, ὦ Ἑρμῆ, τὴν εὐχήν· καὶ γὰρ τὰ ἐντὸς ὧν εὗρον καὶ τὰ ἐκτὸς πρὸς σὲ διανενέμημαι. »

Πρὸς ἄνδρα φιλάργυρον διὰ πλεονεξίαν καὶ θεοὺς κατασοφιζόμενον ὁ λόγος εὔκαιρος.

5 τε om. Pg Mb || τζέφλια Pa καλύφα Mb || **6** τὰ ὀστᾶ τῶν φοινίκων Pf Mc || ταῦτα om. Pa || **7** τὰ ἐκτὸς ... καὶ τὰ ἐντὸς Pb || τὰ ἐκτὸς ὧν εὗρον ἔφαγον Pc || **8** ὧν εὗρον καὶ τὰ ἐκτὸς om. Pf || ὡς εὗρον Pa || διανενέμηται Pa διανενόμηκα Pb || **9** τὸ θεῖον καταφρονοῦντα Pf τοῦ θεοῦ καταφρονοῦντος Mc || **10** εὔκαιρος om. Pa.

Aliter.

Ὁδοιπόρος πολλὴν ἀνύων ὁδὸν ηὔξατο λέγων ὅτι, « ὦ Ἑρμῆ, ἐὰν εὕρω τι, σοὶ τὸ ἥμισυ ἀναθήσω. » Περιτυχὼν δὲ πήρᾳ, ἐν ᾗ ἀμύγδαλα ἦσαν καὶ φοίνικες, ταύτην ἀνείλετο, οἰόμενος ἀργύριον εἶναι. Ἐκτινάξας δὲ εὗρε τὰ ἐνόντα. Καταφαγὼν δὲ ταῦτα καὶ λαβὼν τῶν ἀμυγδάλων τὰ λέπη καὶ τῶν φοινίκων τὰ ὀστᾶ, ἐπί τινος βωμοῦ ἔθηκεν εἰπών· « Ἀπέχεις, ὦ Ἑρμῆ, τὴν εὐχήν· καὶ γὰρ τὰ ἐντὸς ὧν εὗρον καὶ τὰ ἐκτὸς πρὸς σὲ ἀνέθηκα. »

Ὁ λόγος πρὸς ἄνδρα φιλάργυρον, τὸν καὶ θεοὺς διὰ πλεονεξίαν κατασοφιζόμενον.

Codd. Ca 156 Cb 86 Ce 88 Cf 93 Cg 31 Ch 106.

1 ὁδὸν ἀνύων libri excepto Ca || ηὔξατο, ἂν ἄρα (ἄρα om. Ce) εὕρῃ (-ροι Cg Ch -ρήσῃ Ce -ρήσει Cf) τι, τὸ ἥμισυ (τὸ ἡ- om. Ce Cf) τῷ Ἑρμῇ (-μῖ Cb -μεῖ Cf) ἀναθήσῃ (-σει Cg Ch -θῆναι Ce Cf) libri excepto Ca || **2** δὴ Cb || **3** πήραν Cb Ch σπύραν Ce περ πεῖραν Cf || ἐν ῇ θάσια (θυσία Cf θανάσια Cg) ἦν Cb Cf Cg Ch || ἀνείλατο Ce Cf Ch || ἀνείλατο ἰώμενος omisso ἀργύριον εἶναι Cb || **4** Ἐκτινάξας... ἐνοντα Ca in margine, om. ceteri || **5** Ὁ δὲ φαγὼν ταῦτα libri excepto Ca || καλύφα Cb Cf Ch κελέφα Cg κάφυλα Ce || **6** ἔθηκεν αὐτὰ Ce Cf || **7** ὧν εὗρον om. Ca || τὰ ἐκτὸς εὗρον καὶ τὰ ἔξωθεν πρὸς σὲ διάνειμα Cb || τῶν μὲν γὰρ τὰ ἔσωθεν, τῶν δὲ τὰ ἔξωθεν πρὸς σὲ διανέμω Ce || τὰ ἐντὸς ἐγὼ ἔφαγον καὶ τὰ ἔξωθεν πρὸς σὲ διανέμω Cf || **8** καὶ τὰ ἔξωθεν πρὸς σὲ (σὲ om. Cg) διανέμημαι Cg Ch || **9** Ὁ μῦθος δηλοῖ πρὸς Ce || ἄνδρας φιλαργύρους τοὺς (καὶ addit Ce) θεοὺς διὰ πλεονεξίαν κατασοφιζομένους Cb Ce Cg || Ὁ μῦθος δηλοῖ οἷον ὁ λόγος πρὸς ἄνδρα ..... κατασοφιζόμενος Cf.

Digitized by Google

Aliter.

Ὁδοιπόρος πολλὴν ἀνύσας ὁδὸν ηὔξατο, εἰ ἄρα εὑρήσει τι, τὸ ἥμισυ τούτου τῷ Ἑρμῇ ἀναθήσειν. Περιτυχὼν δὲ πήρᾳ μεστῇ φοινίκων καὶ ἀμυγδάλων, καὶ ταύτην ἀνελόμενος, ἐκείνους μὲν ἔφαγε, τὰ δὲ τῶν φοινίκων ὀστᾶ καὶ τὰ τῶν ἀμυγδάλων κελύφη ἐπί τινος ἀνέθηκε βωμοῦ, φήσας· « Ἀπέχεις, ὦ Ἑρμῆ, τὴν εὐχήν· τοῦ γὰρ εὑρεθέντος τὰ ἐκτὸς καὶ ἐντὸς πρὸς σὲ διανενέμημαι. »

Ὁ μῦθος πρὸς ἄνδρα φιλάργυρον καὶ τοὺς θεοὺς διὰ πλεονεξίαν κατασοφιζόμενον.

Codd. La 47 Lb 93 Ld 29 Le 93 Lf 47 Mc 86 Md 96 Mg 118 Mi 12 Ml 119 Mm 114 Mn 29.

2 τῷ Ἑρμεῖ La Lf τῷ Διὶ Ld Mc Md Mm Mn || ἀναθήσει Md Mi Mm Mn ἀναθεῖναι Lb ἀναθῆναι Le || **3** πήραν μεστὴν Ld || ἀνελάμενος Mn || **4** ἐκεῖνος Mn || ἐκεῖνος μὲν ἔφαγεν τοὺς καρποὺς Ld || **5** τὰ ante τῶν ἀμυγδάλων om. Mm || κελύφη om. Mc || βωμοῦ ἀνέθηκε Ml || θήσας pro φήσας Md Mm || **6** τὰ μὲν ἐκτὸς Lb τὰ (μὲν addit Le) ἐντὸς καὶ (τὰ addunt Ld Mc) ἐκτὸς Ld Le Mc Md Mi Mm || **7** καὶ ἐντὸς om. Mn καὶ τὰ ἐντός Mg || διανενέμηται Ml διανένημαι Mn || **8** δηλοῖ πρὸς Mc Ml || δηλοῖ ἄνδρα Le Lf Md Mi Mm || πρὸς om. Mn || ἐχθροὺς pro θεοὺς Mg || **9** κατασοφιζόμενος Md Mi Mn.

Aliter.

Ὁδὸν ἀπιὼν ὁδοιπόρος γε πάλαι
εὑρεῖν αἰτεῖ τῷ Διὶ καθ' ὁδὸν δῶρον,
καί, εἰ εὕροι ἕν, ἀναθήσειν τὸ πλέον
βωμῷ τῷ τούτου πρὸς καθαρὰν θυσίαν.
Ὁ δὲ πήραν εὕρηκε μεστὴν φοινίκων
καὶ ἀμυγδάλων ὅλην πεπληρωμένην.
Λαβὼν δὲ ταύτην χρυσοῦν ἐδόκει ἔχειν·
ὡς δὲ ἐθεάσατο καρποὺς φοινίκων,
τὰ μὲν ἐντὸς ἤγαγε Διὶ θυσίαν,
καὶ τἀκτὸς προσήγαγε τῶν ἀμυγδάλων,
τὰ δ' ἄλλα κατέφαγε πεινῶν ὁ τάλας.
Λοιπὸν τὴν ὑπόσχεσιν Διὶ ἐπλήρου,
τὰ ἐντὸς καὶ ἔξωθεν τῷ βωμῷ θύων.

Τοῦτο δ' ὁ λόγος λέγει ὅτι φιλάργυροι σοφίζονται τὸ θεῖον χάριν φιλαργυρίας, δευτέρας λύσσης, διὰ πλεονεξίαν.

Cod. Cd 100.

6 ὅλην τε cod. τε deleui || **12** Διὶ ἐπλήρου nos πληροῖ τῷ Δία cod.

Digitized by Google

262

Ὁδοιπόρος καὶ Τύχη.

Ὁδοιπόρος πολλὴν ὁδὸν διανύσας, ἐπειδὴ κόπῳ συνείχετο, πεσὼν παρά τι φρέαρ ἐκοιμᾶτο. Μέλλοντος δὲ αὐτοῦ ὅσον οὔπω καταπίπτειν, ἡ Τύχη ἐπιστᾶσα καὶ διεγείρασα αὐτὸν εἶπεν· « Ὦ οὗτος, εἴγε ἐπεπτώκεις, οὐκ ἂν τὴν σεαυτοῦ ἀβουλίαν, ἀλλ' ἐμὲ ᾐτιῶ. »

Οὕτω πολλοὶ τῶν ἀνθρώπων δι' ἑαυτοὺς δυστυχήσαντες τοὺς θεοὺς αἰτιῶνται.

Codd. Pa 172 Pb 169 Pc 100 Pg 110 Ma 120 Mb 145.

1 ἀνύσας Pb || κόσῳ Ma || **2** τὸ φρέαρ Pb || ὅσον οὐδέπω Pg Mb || καταπίπτειν ὅσον οὔπω Pc || **4** τῆς ἑαυτοῦ ἀβουλίας Ma || ἑαυτοῦ Pc || **6** πολλοῖς Ma || δι' ἑαυτῶν Pg Mb || δυστυχήσαντος Ma || **7** τὸν θεὸν Pc τὸ θεῖον Pg Mb || Epim. om. Pb.

Aliter.

Παῖς καὶ Τύχη.

Ἐγγὺς φρέατος παῖς τις ἐκοιμᾶτο. Ἐπιστᾶσα δὲ αὐτῷ ἡ Τύχη ἐβόα· « Ἀνάστα καὶ ἄπελθε ἐντεῦθεν, μή πως κάτωθεν τοῦ φρέατος πέσῃς, καὶ ἐμὲ τὴν Τύχην καταμέμψωνται πάντες. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις σφαλλόμενοι καὶ πράττοντες κακῶς περιπίπτομεν κινδύνοις καὶ μεμφόμεθα τὴν τύχην.

Codd. Ca 62 Cb 43 Cd 40 Ce 45 Cf 49 Ch 50 Ma 165 Mc 42 Md 48 Mg 59 Mh 43 Mi 83 Mk 46 Ml 68 Mm 61.

1 τοῦ φρέατος Cd || **2** ἐνταῦθα Cd || **3** κάτωθεν φρέατος Mc ἐν τῷ φρέατι Ce || ἐμὲ δὲ Cb || πεσών, ἐμὲ τὴν Τύχην καταμέμψονται πάντες Cd Ce Cf Ch Mc Mh Ml πεσών, πάντες ἐμὲ καταμέμψονται τὴν Τύχην Ma Md Mh Mi Mm πεσών, ἐμὲ τὴν Τύχην ἀκρατῶς καταμέμφῃ Mk || καταμέμψονται Cb || **5** Ὁ λόγος Cd Ὅτι Cb || πολλοὶ πολλάκις σφαλόμενοι Cd || σφαλλόμενοι πράττοντες Ca || πολλοὶ πράττοντες κακῶς περιπίπτουσιν κινδύνοις καὶ μέμφονται τὴν τύχην Ce || πράττοντες κακῶς καὶ σφαλλόμενοι Ma Md Mh Mi Mm || πολλοὶ ..... περιπίπτουσι καὶ τὴν τύχην μέμφονται Cf Ml || σφαλλόμενοι καὶ κινδύνοις ἀπροσέκτως περιπίπτοντες τὴν τύχην μέμφομεθα Mk || **6** τὴν ante τύχην om. Cb Ch.

Digitized by Google

Aliter.

Παῖς ⟨τίς⟩ ποτε ἐγγὺς φρέατος ἐφύπνει.
Ἐπιστᾶσα δ' ἡ Τύχη αὐτῷ ἐβόα·
« Ἀνάστα, ὦ παῖ, καὶ ἄπελθε ἐντεῦθεν,
μήπως, σοῦ τῷ φρέατι προσπεπτωκότος,
ἐμὲ τὴν Τύχην καταμέμψωνται πάντες. »

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις σφαλλόμενοι πράττοντες κακῶς περιπίπτομεν κινδύνοις καὶ μέμφομεθα τύχην.

Cod. Mb 178.

1 τίς addidi || 5 καταμέμφοιντο cod.

Aliter.

Ἄνθρωπος καὶ Τύχη.

Ἐγγὺς φρέατός τις ἐκοιμᾶτο. Ἡ δὲ Τύχη ἐπιστᾶσα αὐτῷ εἶπεν· « Ἔγειραι καὶ ἀλλαχοῦ κοιμήθητι μή πως, ἐν τῷ φρέατι σοῦ πεσόντος, ἐμὲ τὴν Τύχην ἅπαντες καταμέμψωνται. »

Ὅτι πολλάκις σφαλλόμενοι καὶ κακῶς πράσσοντες κινδύνοις περιπεσόντες εἱμαρμένην καὶ τύχην καταμεμφόμεθα.

Codd. Ba 33 Bb 22 Mg 59.

3 κατα‚έμψονται Ba.

Aliter.

Ἐν φρέατι τινὶ κοιμωμένου τινός, ἡ Τύχη ἐπιστᾶσα αὐτῷ εἴρηκεν· « Ἔγειραι, κοιμήθητι ἀλλαχόσε, μή πως, σοῦ κρημνισθέντος, οἱ σοῦ προσγενεῖς ἐμοὶ τὴν μέμψιν ἐπάξωσιν. »

Ὅτι πολλάκις οἱ ἄνθρωποι σφαλλόμενοι οὐχ ἑαυτοῖς, ἀλλὰ μᾶλλον τῇ Τύχῃ τὸν μῶμον προσάγουσιν.

Cod. Bc 26.

2 εἰρήκει cod.

Aliter.

Φρέατος ἔγγιστα καὶ παρὰ τὸ χεῖλος αὐτοῦ τις ἄνθρωπος πεσὼν ὕπνωσεν. Ἡ δὲ Τύχη ἐπιστᾶσα ἔφη αὐτῷ· « Ἐγέρθητι καὶ ἀλλαχοῦ κοιμήθητι, ἄνθρωπε, μή πως,

Digitized by Google

πεσόντος σοῦ ἐν τῷ φρέατι καὶ ἀποπνιγέντος, ἐμοὶ τῇ Τύχῃ οἱ ἄνθρωποι μέμψωνται. »

Cod. Bd 16.

5 μέμψονται cod.

263

Ὄνοι πρὸς τὸν Δία.

Ὄνοι ποτὲ ἀχθόμενοι ἐπὶ τῷ συνεχῶς ἀχθοφορεῖν καὶ ταλαιπωρεῖν πρέσβεις ἔπεμψαν πρὸς τὸν Δία, λύσιν τινὰ αἰτούμενοι τῶν πόνων. Ὁ δὲ αὐτοῖς ἐπιδεῖξαι βουλόμενος ὅτι τοῦτο ἀδύνατόν ἐστιν, ἔφη τότε αὐτοὺς ἀπαλλαγήσεσθαι τῆς κακοπαθείας, ὅταν οὐροῦντες ποταμὸν ποιήσωσι. Κἀκεῖνοι αὐτὸν ἀληθεύειν ὑπολαβόντες ἀπ᾽ ἐκείνου καὶ μέχρι νῦν ἔνθα ἂν ἀλλήλων οὖρον ἴδωσιν, ἐνταῦθα καὶ αὐτοὶ περιιστάμενοι οὐροῦσιν.

Ὁ λόγος δηλοῖ ὅτι τὸ ἑκάστῳ πεπρωμένον ἀθεράπευτόν ἐστι.

Codd. Pa 184 Pb 181 Pd 38 Mb 158 Ca 138 La 116 Lb 102 Le 102 Lf 116 Me 131 Mf 109 Mg 125 Mj 123 Ml 128.

1 ἀχθόμενοι om. La Mg || ἐπὶ τὸ Pd || **2** τὸ διάλυσιν Pa || λύσιν et τῶν πόνων om. Pd || τινὰ om. Me Mf || **3** τῶν πόνων αἰτούμενοι Ca L Mb Me Mf Mg || αὐτοῖς om. Pd Mb Ca || **4** τούτω (αὐτοῖς Mg) ἀδύνατόν Mb Mg || ἐστιν om. Pa || τότε εἶπεν αὐτοῖς ἀπώσασθαι τὴν κακοπάθειαν Pd τότε αὐτοὺς ἔφη τῆς κακοπαθείας ἀπαλλαγήσεσθαι Mb || τότε αὐτοὶ ἀπαλλαγήσεσθε Ca || ἀπαλλάξονται Mj || **5** οὐρῶντες Ca || ποιήσωσι ποταμόν L M excepto Mb || **6** αὐτὸν om. Pd || ἀληθεύειν αὐτὸν Mb Ca || καὶ om. Pd || **7** τοῦ νῦν Pd L M excepto Mb || ἔνθα ... ἴδωσιν om. Pa || ἔνθεν Ca || ἔνθα (ἂν addunt Lf Me) οὖρον ἑτέρων ἴδωσιν ὄνων Me Mf Mg Mi L || ἴδωσιν ἢ ἕτερον (-ρου Ca) ὑγρὸν Mb Ca || ἐνταῦθα om. Pd Ca || **8** περιηστάντες Mb παραστάντες Ca || **9** Ὁ μῦθος Me L Ὅτι Mg || δηλοῖ om. Le || Ὅλως δηλοῖ Ca || ἑκάστῳ τὸ πεπρωμένον Ca L Mg || πεπραμένον Pa || **10** ἐστι om. Pa Mb Ca || **9-10** Ὅτι ἕκαστα καιρὸν περιμένων πεπρωμένον ἀθεράπευτον Pd Ὁ λόγος δηλοῖ ὅτι ἑκάστῳ τῶν αἱρουμένων πεπραγμένον ἀθεράπευτον Mb.

Digitized by Google

264

Ὄνον ἀγοράζων.

Ὄνον τις ἀγοράσαι μέλλων ἐπὶ πείρᾳ αὐτὸν ἔλαβε· καὶ εἰσαγαγὼν εἰς τοὺς ἰδίους ἐπὶ τῆς φάτνης αὐτὸν ἔστησεν. Ὁ δὲ καταλιπὼν τοὺς ἄλλους παρὰ τῷ ἀργοτάτῳ καὶ ἀδηφάγῳ ἔστη. Καὶ ὡς οὐδὲν ἐποίει, δήσας καὶ ἀπαγαγὼν τῷ δεσπότῃ αὐτὸν ἀπέδωκε. Τοῦ δὲ διερωτῶντος εἰ οὕτως ἀξίαν αὐτοῦ τὴν δοκιμασίαν ἐποιήσατο, ὑποτυχὼν εἶπεν· « Ἀλλ' ἔγωγε οὐδὲν ἐπιδέομαι πείρας· οἶδα γὰρ ὅτι τοιοῦτός ἐστιν ὁποῖον ἐξ ἁπάντων τὸν συνήθη ἐπελέξατο. »

Ὁ λόγος δηλοῖ ὅτι τοιοῦτος εἶναί τις ὑπολαμβάνεται ὁποίοις ἂν ἥδηται τοῖς ἑταίροις.

Codd. Pa 188 Pf 101 Mb 162 Me 128.

1 ἀγοράζων, omisso μέλλων Mb || ἀγοράζειν Pf Me || ἐπὶ πεῖραν Pa Mb ἐπὶ δοκιμασίᾳ καὶ πείρᾳ Pf Me || ἔλαβεν αὐτόν Mb || **2** εἰσαγαγὼν αὐτὸν ἐπὶ τῆς φάτνης μετὰ τῶν ἰδίων αὐτοῦ ὄνων τοῦτον ἔστησεν Pf Me || ἐπὶ τοὺς Mb || αὐτῶι ἔδησεν Pa || **3** ἐπὶ ταλαιμαργότατα καὶ ἀδήφαγα Mb || ἐπὶ τῷ Pf Me || **4** Καὶ ὃς οὐδὲν ἐποίει· δήσας οὖν καὶ ἀπαγαγὼν τῷ ἰδίῳ δεσπότῃ τοῦτον ἀπέδωκεν Pf Me || καὶ post δήσας om. Pa Mb || ἀπάγων Mb || **5** οὕτω ταχεῖαν Pf Me || **6** τὴν δοκιμασίαν ἀξίαν ἐποιήσατο, ὑπολαβὼν ἔφη Mb || **7** οὐδὲ Pf || ὅτι οὗτός ἐστιν Me || **8** ὁποῖος Pf Me || τὰ συνήθη Mb || **10** εἶναί τις Mb om. Pa || **11** ὁποῖος ἂν εἴδεται (ἥδεται Mb) τοῖς ἑτέροις Pa Mb correxit Sternbach || **10-11** Ὅτι τοιοῦτος ἕκαστος ὑπολαμβάνεται εἶναι ὁποίοις ἑταίροις (ἑτέροις Pf) συναναστρέφεται Pf Me.

265

Ὄνος ⟨ἄγριος καὶ ὄνος ἥμερος⟩.

Ὄνος ἄγριος ὄνον ἥμερον θεασάμενος ἔν τινι εὐηλίῳ

Codd. Pa 182 Pb 179 Pf 99 Pg 117 Mb 155 Me 126 Mf 106 Ca 136 La 115 Lb 101 Le 101 Lf 115 Lh 53 Mg 124 Mj 122 Ml 126.

1 ὄνον ἰδὼν ἥμερον L Mg Mj Ml || ἰδὼν Pb || εὐηλίῳ om. Pf.

Digitized by Google

τόπῳ προσελθὼν ἐμακάριζεν αὐτὸν ἐπὶ τῇ εὐεξίᾳ τοῦ σώματος καὶ τῇ τῆς τροφῆς ἀπολαύσει. Ὕστερον δὲ ἰδὼν αὐτὸν ἀχθοφοροῦντα καὶ τὸν ὀνηλάτην ὀπίσω ἑπόμενον καὶ ῥοπάλῳ παίοντα εἶπεν· « Ἀλλ' ἔγωγε οὐκέτι σε εὐδαιμονίζω· ὁρῶ γὰρ ὅτι οὐκ ἄνευ κακῶν μεγάλων τὴν ἀφθονίαν ἔχεις. »

Οὕτως οὐκ ἔστι ζηλωτὰ τὰ μετὰ κινδύνων καὶ ταλαιπωριῶν περιγινόμενα κέρδη.

2 αὐτὸν ἐμακάριζεν ἐπί τε τῇ L Mg Mj Ml || ἐπί τε ἐξουσίᾳ Ca || **3** σώματος, ὡς τῆς τροφῆς ἀπολαύοντος Pf Me Mf || τῆς ante τροφῆς om. Mb Lh || τρύφης Pb || **4** ἀχθοφοροῦντα καὶ τὸν om. Pf || ὀπίσω Pa ὄπισθεν ceteri || ἑπόμενον ὄπισθεν Lb Le Lh Mj || ἐρχόμενον Ca || **5** ῥοπάλοις αὐτὸν Pb Pg ῥοπάλοις Mb Ca || ἔφη Pb || 'Ἀλλ' ἔγωγε om. Pg Mb Ca || σε om. Pf Le Lf Lh Mj Ml || εὐδαιμονίσω Ca || **6** ὡς pro ὅτι L Mg Mj Ml || μεγάλων om. Pf Mf || ἀφωνίαν Pa εὐδαιμονίαν Pb Pg || **7** ἔχει Le Lh || **8** Ὁ μῦθος δηλοῖ (δηλοῖ om. Le) ὅτι L Mj Ml Ὅτι Mg || οὐκ εὐζήλωτα μετὰ μυρίων κινδύνων Pa || ζηλοῦν Pf Me Mf || ζηλωτὸν τὰ μετὰ τῶν κινδύνων Ca || κινδύνου Pf Me Mf || ταλαιπωρῶν Lh || **9** προσγινόμενα Pb γινόμενα Ca om. L Mg Mj Ml || **8-9** Οὕτως οἱ παρὰ φύσιν ἐπιθυμοῦντες πρὸς τὸ μὴ ἐπιτυχεῖν ὧν ἐφίενται καὶ τὰ μέγιστα δυστυχοῦσιν Pg quod epim. non conuenit fabulae.

266

Ὄνος ἅλας βαστάζων.

Ὄνος ἅλας ἔχων ποταμὸν διέβαινεν. Ὀλισθήσας δέ, ὡς κατέπεσεν εἰς τὸ ὕδωρ, ἐκτακέντος τοῦ ἅλατος, κουφότερος ἐξανέστη. Ἡσθεὶς δὲ ἐπὶ τούτῳ, ἐπειδὴ ὕστερόν ποτε σπόγγους ἐμπεφορτισμένος κατά τινα ποταμὸν

Codd. Pa 179 Pb 176 Pg 115 Ma 124 Mb 152.

1 ἄλλας Ma || γέμων Pg Ma φέρων Mb || βαστάζων ποταμὸν διήρχετο Pb || Ὀλισθὼν Ma || **2** ἅλος libri excepto Pa Ma || κουφότερον Pb Ma || **3** Εὐφρανθεὶς Pb || ἐπὶ τοῦτο Pg || **4** ποτε om. Pg Mb || ἦν πεφορτωμένος (-ισμένος Ma) ... ᾠήθη δὲ Pg Ma Mb || ἐμπεφορτισμένος ποταμὸν διέβαινειν, ᾠήθη δεῖν Pb.

Digitized by Google

ἐγένετο, φήθη ὅτι, ἐὰν πάλιν πέσῃ, ἐλαφρότερος διεγερθήσεται, καὶ δὴ ἑκὼν ὤλισθε. Συνέβη δὲ αὐτῷ, τῶν σπόγγων ἀνασπασάντων τὸ ὕδωρ, μὴ δυνάμενον ἐξαναστῆναι ἐνταῦθα ἀποπνιγῆναι.

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι διὰ τὰς ἰδίας ἐπινοίας λανθάνουσιν εἰς συμφορὰς ἐνσειόμενοι.

5 ἐγερθήσεται Mb || 6 ὠλίσθησε libri excepto Pa || αὐτὸν Pg Mb || τὸν σπόγγον Pg || 7 ἀνασπάσασθαι Pa || δυνάμενος Pa Ma || δυναμένῳ ἐξαναστήσεσθαι Pb || ἐξανίστασθαι Pg Ma Mb || ἐν τούτῳ Mb || ἐνταῦθα om. Pg || 8 ἀποπνιγῆναι ὑπὸ τὸ ὕδωρ omisso ἐνταῦθα Pa || 9 διὰ om. Pa Pb || διὰ τῆς Ma Mb || 10 λανθάνουσι συμφορῶν αἰτίας ἔχοντες Pb || συμφοραῖς ἐνόμενοι Ma εἰς συμφορὰς ἑαυτοὺς ἐμβάλλοντες Pg Mb.

Aliter.

Μικρέμπορος καὶ ὀνάριον.

Μικρέμπορός τις ὀνάριον κατέχων
αὐτὸς ὠνεῖτο ἁλάτιον εἰς πλῆθος.
Καὶ δὴ φορτώσας σφοδρῶς αὐτοῦ τὸν ὄνον,
ὑποζύγιον ἤλαυνε λεωφόρῳ·
ὃς ὀλισθήσας εἰς ὕδωρ ἐπεπτώκει.
Καὶ δὴ λυθέντων τῶν ἁλῶν παραυτίκα,
εὐθὺς ἠγέρθη ἀκόπως βηματίζων.
Ὁ δ᾽ ὑποστρέψας καὶ πάλιν λαβὼν ἅλας,
κατεπεπτώκει εἰς ποτάμια ῥεῖθρα,
καὶ ἐκλυθέντων πάλιν τῶν ἁλατίων,
ἐξανέστησεν ἑαυτὸν παραυτίκα.
Ὁ δὲ λυπηθεὶς, ὁ κύριος τοῦ ὄνου,
ἐπενόησεν αὐτοῦ τὰς ἐπινοίας·
ὃς ἐπελθὼν εἰς ἕνα τῶν μυρεψούντων
ἐξωνήσατο σπόγγους πολλοὺς εἰς κόρον,
οὕσπερ ἐπιθεὶς πεφόρτωκε τὸν ὄνον.
Ὁ δὲ ἀπιὼν κατέπεσεν εἰς ὕδωρ·
καὶ παραυτίκα κεκλυσμένων τῶν σπόγγων,
ἤγετο ὄνος διπλοῦν βάρος βαστάζων.

Ὁ μῦθος δηλοῖ ὅτι πολλάκις ἐν ᾧ τις εὐτύχησεν, ἐν αὐτῷ καὶ πίπτει.

Cod. Ca 122.

3 αὐτοῦ cod. || 4 ὑποζυγίῳ cod. || 14 ὅστις cod. || 18 κεκλυσμένων nos κυλισθέντων cod. || 19 ὁ ὄνος cod. || 21 ἐν ἑαυτῷ cod.

Digitized by Google

Aliter.

Μικρέμπορός τις ὄνον ἔχων εὐώνους ἅλας ἠγόρασε καὶ σφοδρῶς τὸν ὄνον ἐφόρτωσεν. Ὁ δὲ ὄνος ἄκων ὀλισθήσας εἰς ὕδωρ ἔπεσε, καί, λυθέντων τῶν ἁλῶν, ἠλαφρύνθη, εὐκόλως δὲ ἠγέρθη καὶ περιεπάτει ἀκόπως. Ὁ δὲ ἔμπορος πάλιν ἑτέρους ἦλθεν ἀγοράσων καὶ πλεῖον ἢ πρότερον τὸν ὄνον φορτώσας ἦγεν. Ὁ δὲ πάλιν ἑκὼν εἰς τὸ ῥεῖθρον πεσὼν ἠλαφρύνθη. Ὁ δὲ ἔμπορος τέχνην ἑτέραν νοήσας σπόγγους ὠνησάμενος πεφορτώκεν τὸν ὄνον. Ὁ δὲ ὄνος, ὡς προσῆλθε τῷ ῥείθρῳ, ἑκὼν κατέπεσε· τῶν δὲ σπόγγων διαβραχέντων, βάρος διπλοῦν ἦγε βαστάζων.

Ὅτι πολλάκις ἐν ᾧ τις εὐτύχησεν, ἐν αὐτῷ καὶ πίπτει.

Codd. Ba 92 Bb 59.

1 εὐώνον Ba εὐθήνους Bb || **2** Ὁ δὲ ἄκων omisso ὄνος Ba || **3** ἐνέπεσεν Bb || λυθέντος τοῦ ἅλατος Bb || ἐλαφρύνθη hic et infra codd. || **4** ἀσκόπως Bb || **5** ἑτέρους ἀγοράσας Bb || πλείονας Ba || **8** πεφορτώκει libri || **9** τὸ ῥεῖθρον Bb.

267

Ὄνος βαστάζων ἄγαλμα.

Ὄνῳ τις ἐπιθεὶς ἄγαλμα ἤλαυνεν εἰς ἄστυ. Τῶν δὲ συναντώντων προσκυνούντων τὸ ἄγαλμα, ὁ ὄνος ὑπολαβὼν ὅτι αὐτὸν προσκυνοῦσιν, ἀναπτερωθεὶς ὠγκᾶτό τε καὶ οὐκέτι περαιτέρω προϊέναι ἐβούλετο. Καὶ ὁ ὀνηλάτης αἰσθόμενος τὸ γεγονὸς τῷ ῥοπάλῳ αὐτὸν παίων ἔφη· « Ὦ κακὴ κεφαλή, ἔτι καὶ τοῦτο λοιπὸν ἦν ὄνον ὑπ' ἀνθρώπων προσκυνεῖσθαι. »

Codd. Pa 181 Pb 178 Pg 116 Mb 154 Ca 135.

1 ἦγεν Pb || πόλιν Pg Mb Ca || Πάντων δὲ τῶν συναντώντων (-τούντων Pg) Pg Mb Ca || **2** καὶ προσκυνούντων Pa || τῷ ἀγάλματι Pg Mb || ὑπολαβὼν ὁ ὄνος ὅτι αὐτῷ Pg Mb Ca || **3** τε om. Pg Mb Ca || **4** προσιέναι Pa προβαίνειν Pg Mb Ca || **6** ἔστι καὶ τοῦτο λοιπὸν ὄνον Pg Mb || λοιπὸν ἠγνόουν σε ὑπὲρ ἀνθρώπων Pa || αἴτει καὶ τοῦτο λοιπόν, ἐὰν ὄνους ὑπὸ ἀνθρώπων προσκυνεῖσθαι ζητῇ Ca || **7** Post προσκυνεῖσθαι addit Mb : Ὄνος σὺ τυγχάνεις· μὴ σκίρτα, μηδὲ νόμιζε σαυτὸν θεὸν ὑπάρχειν.

Digitized by Google

Ὁ λόγος δηλοῖ ὅτι οἱ τοῖς ἀλλοτρίοις ἀγαθοῖς ἐπαλαζονευόμενοι παρὰ τοῖς εἰδόσιν αὐτοὺς γέλωτα ὀφλισκάνουσιν.

8 Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ οἱ Ca || οἱ om. Pa || ἀλαζονευόμενοι Pg Mb || 9 εἰδόσιν αὐτοῖς Pa.

Aliter.

Ὄνῳ τις ἐπιθεὶς ξόανον ἦγε· πολλοὶ δὲ προσεκύνουν τῶν συναντώντων. Ὁ δὲ ὄνος τυφωθείς, νομίζων αὐτὸν προσκυνεῖν τοὺς ἀγροίκους, σκιρτῶν ἤμελλε τὸν θεὸν ῥίψειν. Ἀλλὰ τοῦτον ξύλοις παίων ὁ δεσπότης εἶπεν· « Ὄνος εἶ θεὸν φέρων, ἀλλ' οὐ θεοῖς ὑπάρχεις ὁμότιμος. »

[Ὅτι] κτηνώδεις ἄνδρας, τοὺς τυφωμένους ἐπ' ἀλλοτρίαις δόξαις ὁ μῦθος ἐλέγχει.

Cod. Ba 109 Bb 65.

1 Ὄνος τις codd. || 2 συναντούντων Bb || 4 ῥίψαι Bb || 5 ἀλλ' et ὑπάρχεις om. Ba || 7 ὁ λόγος Bb.

268

Ὄνος ⟨ἐνδυσάμενος λεοντῆν⟩ καὶ ἀλώπηξ.

Ὄνος ἐνδυσάμενος λέοντος δορὰν περιῄει ἐκφοβῶν τὰ ἄλογα ζῷα. Καὶ δὴ θεασάμενος ἀλώπεκα ἐπειρᾶτο καὶ ταύτην δεδίττεσθαι. Ἡ δὲ (ἐτύγχανε γὰρ αὐτοῦ φθεγξαμένου προακηκουῖα) ἔφη πρὸς τὸν ὄνον· « Ἀλλ' εὖ ἴσθι ὡς καὶ ἐγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ὀγκωμένου ἤκουσα. »

Codd. Pa 187 Pb 184 Ma 126 Mb 161 Me 132 Mf 110 Ca 141 La 117 Lb 103 Lc 30 Le 103 Lf 117 Lg 30 Lh 54 Mg 126 Mj 124 Ml 125.

1 λέοντος δέρμα Pb λεοντῆν L Me Mf Mg Mj Ml || τἄλλα (τὰ ἄλλα Lh Me Mf Mj) τῶν ζώων ἐκφοβῶν L Me Mf Mg Mj Ml || 3 δεδείττεσθαι Me Mf Mg || ὡς ἔτυχεν ἀκούσασα αὐτοῦ φθεγξαμένου, ἔφη· Ἀλλ' Ca || γὰρ om. Ma || προακηκοέναι φθεγξαμένου Pa || 4 προσακήκοα Ma προακούσασα Mb προακήκοα Lg || πρὸς αὐτόν Pb Ma || πρὸς αὐτὸν ἔφη L Me Mf Mg Mj Ml || εὖ ὢν ἴσθι, ὄνε, κἀγώ σε ἂν Ma || 5 κἀγὼ Mb Ca || μὴ ὀγκούμενον ἄν σε ἤκουσα Ca.

Digitized by Google

Οὕτως ἔνιοι τῶν ἀπαιδεύτων τοῖς ἔξωθεν τύφοις δοκοῦντές τινες εἶναι ὑπὸ τῆς ἰδίας γλωσσαλγίας ἐλέγχονται.

6 Ὁ μῦθος δηλοῖ ὅτι ἔνιοι La Lb Lf Lg || Ὁ μῦθος δηλοῖ (δηλοῖ om. Le Lh) ὅτι οὕτως Lc Lh Mb Me Mf Mj Ὅτι Mg || ἀνθρώπων pro ἀπαιδεύτων Ma Mb Ca || τοῖς ἔξω δοκοῦντες L Me Mf || τυφλοῖς Pa Pb Ma || 7 τινες om. Ma || εἶναι om. Pa || γλώττης ἢ γλωσσαλγίας Mf.

269

Ὄνος ἵππον μακαρίζων.

Ὄνος δέ ποτε ἐμακάριζεν ἵππον
διὰ τὴν τροφὴν αὐτοῦ καὶ θεραπείαν,
αὐτοῦ δὲ τύχην ὄνος κατεμυκτήρει,
ὡς ἀχθοφόρου καὶ πολλὰ κοπιῶντος,
οὐδὲ ἄχυρον λαμβάνοντος εἰς κόρον.
Ὅτε δ' ἐπέστη ὁ καιρὸς τοῦ πολέμου,
ὁ στρατιώτης σὺν τοῖς ὅπλοις ἐπέβη
ὧδε κἀκεῖσε τὸν ἵππον ἐγκεντρίζων.
Ὁ δὲ εἰς μέσον ἐμβὰς τῶν πολεμίων

Codd. Cg 24 Ch 99 Ca 151 Ce 90 Cf 95 Mb 150 Mc 79.

1 δὲ om. Ca || δέ ποτε om. Ce Cf Mb || ἐμακάριζε πάνυ Mb || 2 διὰ τροφὴν καὶ θεραπείαν Ce Cf || τὴν θεραπείαν Ca Mb || 3 αὐτοῦ libri excepto Ca || ὁ ὄνος Mb || τὴν δὲ ἑαυτοῦ τύχην ἐμυκτήριζεν Ca τὴν δὲ τύχην αὐτὸς κατεμυκτήριζεν Ce Cf || 4 ὡς ἀχθοφοροῦντος πολλὰ καὶ κοπιῶντος Ca ὡς ἀχθοφοροῦσα καὶ οὐδὲ ἄχυρον χοραίνοντα (4 et 5) Ce Cf ὡς ἀχθοφορῶν (-ρον Mb) καὶ πολλὰ κοπιῶν (-οντα Mb κοπιῶν τι Mc) Ch Mb Mc || 5 καὶ οὐδὲ ἄχυρον εἰς χόρον λαμβάνοντος Ca || ἐλάμβανεν Ch Mc || uersum 5 om. Mb || 6 Ἐπεὶ δὲ ἐπέστη καιρὸς πολέμου Ca || Ὅτε δὲ Mb Ὡς δὲ Mc || Καιρὸς δὲ ἐπέστη πολέμου Ce Cf || ἐπέστη καιρὸς ὁ τοῦ πολέμου Ch Mb || 7 καὶ ὁ Ca || ἐπέβη ἐπὶ τὸν ἵππον Ca || καὶ ὁ στρατιώτης ἐπέβη (ἐπέστη Ce) μεθ' ὅπλων τὸν ἵππον ἐκβιάζων ξιφήρης (ξιφέρης Cf). Ὡς οὖν ἑώρα Ce Cf || 8 καὶ ὧδε κἀκεῖσε τοῦτον ἤλαυνεν Ca ὅδε κἀκεῖσε τὸν ἵππον περιστρέφων Mc || ἐγκεντρίζων nos κατεγκράζων Cg Ch Mb || 9 ὡς εἰς μέσον ἔδη τῶν πολεμούντων Ca || Ὡς δὲ Mc.

Digitized by Google

ξιφήρης εὐθὺς ἔκειτο ἐπ' ἐδάφους.
Ὡς οὖν ἑώρα τοῦτον εὐθὺς ὁ ὄνος,
μετεβάλλετο καὶ τὸν ἵππον ἠλέει.

Ὅτι τοὺς πλουσίους καὶ ἄρχοντας οὐ δεῖ ζηλοῦν, ἀλλὰ τὸν κατ' ἐκείνων φθόνον καὶ κίνδυνον ἀναλογιζομένους ἀγαπᾶν χρὴ τὴν πενίαν, ἡσυχίας μητέρα.

10 αὖθις Ch Mb Mc ὁ ἵππος pro εὐθὺς Ca || **11** Ὃς οὖν Mb || ὁ ὄνος εὐθὺς Ca || **12** κατηλέει καὶ πρὸς αὐτὸν ἔφη· Μηδὲ ἄχυρον χορτένω, μόνον ἐνταῦθα ἀνετὸς ὑπάρξω (-άρχω Cf) Ce Cf || **13** Ὁ μῦθος δηλοῖ ὅτι καὶ τοὺς .. Ca || ἀλλὰ κατ' ἐκεῖνον τὸν φθόνον Mc || **14** τῶν κατ' ἐκείνων φθόνων καὶ κινδύνων Cg || ἀναλογιζόμενος Ca -μενοι Mc || **15** χρὴ om. Ca || παιδείαν omisso τὴν Cg πενίαν omisso τὴν Mc || τὴν μητέρα τῆς ἡσυχίας Ca || μητέραν Mc || **13-15** Ὁ μῦθος δηλοῖ ὅτι τοὺς ζηλοῦντας πλουσίοις καὶ ἄρχουσι· ἐκεῖνοι γὰρ φθόνον καὶ κινδύνων εἰσὶν ἔνοχοι· χρὴ οὖν μᾶλλον πενίαν ἀσπάζεσθαι καὶ ἡσυχίαν ὡς ἀσφάλειαν καὶ ὑγείας μητέρα Ce Ὁ μῦθος δηλοῖ ὅτι ζηλοῦν τοὺς πλουσίους καὶ ἄρχοντας ὡς τοῦ φθόνου καὶ τῶν κινδύνων ἐνόχους, ἀλλὰ χρὴ πενείαν ἀσπάζεσθαι καὶ ἡσυχίαν ὡς ἀσφαλίαν καὶ ὑγίας μητέραν Cf.

Aliter.

Ὄνος ἵππον ἐμακάριζεν, ὡς ἀφθόνως τρεφόμενον καὶ ἐπιμελῶς, αὐτὸς μηδ' ἀχύρων ἅλις ἔχων, καὶ ταῦτα πλεῖστα ταλαιπωρῶν. Ἐπεὶ δὲ καιρὸς ἐπέστη πολέμου, καὶ ὁ στρατιώτης ἔνοπλος ἀνέβη τὸν ἵππον, πανταχόσε τοῦτον ἐλαύνων, καὶ δὴ καὶ μέσον τῶν πολεμίων εἰσήλασε, καὶ ὁ ἵππος πληγεὶς ἔκειτο. Ταῦτα ἑωρακὼς ὁ ὄνος τὸν ἵππον μεταβαλλόμενος ἐταλάνιζεν.

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ τοὺς ἄρχοντας καὶ πλουσίους ζηλοῦν, ἀλλὰ τὸν κατ' ἐκείνων φθόνον καὶ τὸν κίνδυνον ἀναλογιζομένους τὴν πενίαν ἀγαπᾶν.

Codd. La 58 Lb 96 Lc 38 Le 96 Lf 58 Lg 38 Lh 48 Md 116 Me 135 Mf 113 Mg 120 Mi 32 Mj 119 Ml 133 Mm 115.

2 ἅλις om. Le Lh || **3** πολεμεῖν Lb Le Lh τοῦ πολέμου Lg || **4** ἔνοπλον La Lf Me Mf Mg || ἀνέβη εἰς Lc || τὸν ἵππον om. Mm || πανταχόθεν Ml || **5** καὶ δὴ μέσον Lg || **6** Ταῦτα πάντα Lb Lh Mi Ml Mm || **7** μεταβαλόμενος Ml || ἐταλάνιζον Lc || **8** Ὁ μῦθος ὅτι Le Mm Ὅτι Mg || **9** τὸν post ἀλλὰ om. Lc || κατ' ἐκεῖνον Mm.

Digitized by Google

Aliter.

Ὄνος τὸν ἵππον ἐμακάριζε διὰ τὴν τροφὴν καὶ τὴν θεραπείαν· ἑαυτὸν δὲ ἐταλάνιζε καὶ τὴν ἑαυτοῦ τύχην, ὅτι ἀχθοφορεῖ καὶ ὀλίγη αὐτῷ ἐστιν ἡ τροφή, ὁ δὲ ἵππος κεκοσμημένος τῷ χαλινῷ καὶ προμετωπιδίοις, καὶ κοῦφος αὐτῷ ὁ δρόμος. Ταῦτα τοῦ ὄνου λογιζομένου, ἐπέστη πολέμου καιρός· καὶ ὁ στρατιώτης μετὰ τῶν ὅπλων ἐπέβη τοῦ ἵππου, καὶ μέσον τῶν πολεμίων εἰσίει· καὶ ὁ ἵππος μέσος τοῖς ξίφεσιν ἔκειτο τραυματίας καὶ ψυχορραγῶν. Μετεβάλλετο δὲ τὴν γνώμην ὁ ὄνος καὶ τὸν ἵππον ἠλέησεν.

Ὅτι τοὺς πλουσίους καὶ τοὺς ἐν ταῖς ἀρχαῖς οὐ δεῖ ζηλοῦν, ἀλλὰ τὸν κατ᾽ ἐκείνους φθόνον καὶ κίνδυνον λογισαμένους ἀγαπᾶν πενίαν, ἡσυχίας μητέρα.

Cod. Ba 103.

270

Ὄνος καὶ ἀλεκτρυὼν καὶ λέων.

Ἔν τινι ἐπαύλει ὄνος καὶ ἀλεκτρυὼν ἦσαν. Λέων δὲ λιμώττων, ὡς ἐθεάσατο τὸν ὄνον, οἷός τε ἦν εἰσελθὼν καταθοινήσασθαι. Παρὰ δὲ τὸν ψόφον τοῦ ἀλεκτρυόνος φθεγξαμένου καταπτήξας (φασὶ γὰρ πτύρεσθαι τοὺς λέοντας πρὸς τὰς τῶν ἀλεκτρυόνων φωνάς) εἰς φύγην ἐτράπη. Καὶ ὁ ὄνος ἀναπτερωθεὶς κατ᾽ αὐτοῦ, εἴγε ἀλεκτρυόνα ἐφοβήθη, ἐξῆλθεν ὡς ἀποδιώξων αὐτόν. Ὁ δέ, ὡς μακρὰν ἐγένετο, κατέφαγεν αὐτόν.

Codd. Pa 79 Pb 83 Pf 41 Pg 53 Ph 43 Ma 62 Mb 48 Me 61 Mf 55 Ca 70.

1 ἐπαύλη Ca || Ὁ λέων δὲ Pa || δὲ om. Pg || **2** ὡς οἷός τε ἦν, εἰσῆλθε τοῦ αὐτὸν καταθοινήσασθαι. Ἀλλὰ τὸν ψόφον τοῦ ἀλεκτρυόνος φθεγξαμένου καταπτήξας ἐξῆλθε (ἐξ -om. Ph) Pf Ph Me Mf || οἷός τε ἦν εἰσελθὼν ἤμελλε Ca || **3** τοῦτον καταθοινήσασθαι Pb || Καὶ τοῦ ἀλεκτρυόνος omisso Παρὰ δὲ τὸν ψόφον et καταπτήξας Ma || Παρὰ δὲ τοῦ ψόφου Pa || Περὶ δὲ τὸν ψόφον ἀλεκτρυόνος Pb Ca || **4** φασὶ δὲ Pb || γὰρ om. Ca || τοὺς λέοντας πτύρεσθαι (πτήσσεσθαι Pb πτήρεσθαι Mb) Pb Pg Mb Ca || τὸν λέοντα πτύρεσθαι Pf Ph Me Mf || τοὺς λέοντας τὰς τῶν ἀλεκτρυόνων φωνὰς πτύρεσθαι Ma || **5** εἰς φυγὴν ἐτράπη om. Pf Me Mf ἀνθυπέστρεφε Ph || **7** τοῦ ἀποδιῶξαι αὐτὸν Pf Ph Me Mf || ἀποδιώκων Ma || **8** ἐπιστραφεὶς τοῦτον κατέφαγεν (κατέφαγεν αὐτόν Ma) Pf Ph Ma Me Mf.

Digitized by Google

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι ταπεινουμένους τοὺς αὐτῶν ἐχθροὺς ὁρῶντες καὶ διὰ τοῦτο καταθρασυνόμενοι λανθάνουσιν ὑπ' αὐτῶν ἀναλισκόμενοι.

9 ἔνιοι ὁρῶντές τινας ταπεινουμένους τοὺς ἑαυτῶν ἐχθροὺς κἀντεῦθεν κατ' αὐτῶν θρασυνόμενοι λανθάνουσιν ὑπ' αὐτῶν ἁλισκόμενοι (ἀναλισ- Ph) Pf Ph Me Mf || ταπεινουμένους (ταπεινοὺς Ca) μὲν τοὺς αὐτῶν (ἑαυτῶν Ca) Pa Mb Ca || **10** αὐτῶν om. Ma || θρασυνόμενοι λανθάνουσιν εἰς τοὺς ὑπ' αὐτῶν ἀναλισκόμενοι Ma || **11** ἀναλισκόμενοι ὑπ' αὐτῶν λανθάνουσιν Pg || ἁλισκόμενοι Mb || Epim. habet Ma in fabula sequente.

Aliter.

Ἔν τινι ἐπαύλει ὄνος καὶ ἀλέκτωρ ἦσαν. Λέων δὲ λιμώττων, ὡς ἐθεάσατο τὸν ὄνον, οἷός τε ἦν εἰσελθὼν καταθοινήσασθαι. Καὶ τοῦ ἀλέκτορος φθεγξαμένου πρὸς τὸν λέοντα, ὅτι τὰς φωνὰς τῶν ἀλεκτρυόνων τοὺς λέοντας ἀκούοντάς φασι πτύρεσθαι, τοῦ δὲ λέοντος προσποιουμένου εἰς φυγὴν τραπῆναι, ὁ ὄνος καταπηδήσας κατὰ τοῦ λέοντος ἐξῆλθεν ὡς ἀποδιώξων αὐτόν. Ὡς δὲ μακρὰν ἐγένετο ὀπίσω αὐτοῦ, ἐπιστραφεὶς ὁ λέων κατέφαγεν αὐτόν.

Οὕτως καὶ οἱ τῶν ἀνθρώπων παῖδες τεταπεινωμένους τοὺς ἐχθροὺς ὁρῶντες καὶ αὐτοὶ θρασυνόμενοι λανθάνονται ὑπ' αὐτῶν ἁλισκόμενοι.

Cod. Pe 47.

4 τοὺς λέοντας ἀκούοντάς φασι πτύρεσθαι nos τοὺς ἀκούοντας λέοντας ἀκρουωμένων πτεροῦσθαι cod. || **6** τραπῆναι nos τράπης cod. || ὁ ὄνος nos καὶ ὄνος cod. || **7** ἐγένετο nos γενόμενος cod.

Aliter.

Ὄνῳ ποτὲ ἀλεκτρυὼν συνεβόσκετο. Λέοντος δ' ἐπελθόντος τῷ ὄνῳ, ὁ ἀλεκτρυὼν ἐφώνησε· καὶ ὁ μὲν λέων (φασὶ γὰρ τοῦτον τὴν τοῦ ἀλεκτρυόνος φωνὴν φοβεῖσθαι) ἔφυγεν. Ὁ δ' ὄνος, νομίσας δι' αὐτὸν πεφευγέναι, ἐπέδραμεν εὐθὺς τῷ λέοντι. Ὡς δὲ πόρρω τοῦτον ἐδίωξεν, ἔνθα μηκέτι ἡ τοῦ ἀλεκτρυόνος ἐφικνεῖτο φωνή, στραφεὶς ὁ λέων τοῦτον κατεθοινήσατο. Ὁ δὲ θνήσκων ἐβόα·

Codd. La 66 Lb 97 Lc 47 Le 97 Lf 66 Lg 47 Lh 49 Md 120 Me 134 Mf 112 Mg 121 Mi 94 Mj 120 Ml 135 Mm 116.

3 αὐτὸν Le || τοῦ ante ἀλεκτρυόνος om. La Le Lf M excepto Ml || τὴν ἀλεκτρυόνων Mm || φοβεῖσθαι φωνὴν Ml || **5** εὐθὺς La Mg εὐθέως ceteri || **6** ἡ post μηκέτι om. Lb Le Lf Lh Me Mf Mj || τῆς ἀλεκτρυόνος Md Mi || ἀφικνεῖτο Lc Lg ἐφίκνει Md Mi || **7** τοῦτον om. La Mg Mj || θνήσκων ... γονέων om. Mj.

Digitized by Google

« Ἄθλιος ἐγὼ καὶ ἀνόητος· πολεμιστῶν γὰρ μὴ ὢν γονέων, τίνος χάριν εἰς πόλεμον ἐξωρμήθην; »

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ τῶν ἀνθρώπων ταπεινουμένοις ἐπίτηδες τοῖς ἐχθροῖς ἐπιτίθενται, καὶ οὕτως ὑπ' ἐκείνων ἀπόλλυνται.

8 γονέων μὴ ὢν Mm || 9 εἰς πολεμιστῶν Lc || ἐξωρμίσθην Me || 10 Ὁ μῦθος ὅτι Le Mm Ὅτι Md Mg Mi || ταπεινούμενοι Lf -νομένοις Lg || 11 τοὺς ἐχθροὺς Lg.

271

Ὄνος καὶ ἀλώπηξ καὶ λέων.

Ὄνος καὶ ἀλώπηξ κοινωνίαν συνθέμενοι πρὸς ἀλλήλους ἐξῆλθον ἐπὶ ἄγραν. Λέοντος δὲ περιτυχόντος αὐτοῖς, ἡ ἀλώπηξ ὁρῶσα τὸν ἐπηρτημένον κίνδυνον, προσελθοῦσα τῷ λέοντι, ὑπέσχετο παραδώσειν αὐτῷ τὸν ὄνον, ἐὰν αὐτῇ τὸ ἀκίνδυνον ἐπαγγείληται. Τοῦ δὲ αὐτὴν ἀπολύσειν φήσαντος, προσαγαγοῦσα τὸν ὄνον εἴς τινα πάγην ἐμπεσεῖν παρεσκεύασε. Καὶ ὁ λέων ὁρῶν ἐκεῖνον φεύγειν μὴ δυνάμενον, πρῶτον τὴν ἀλώπεκα συνέλαβεν, εἶθ' οὕτως ἐπὶ τὸν ὄνον ἐτράπη.

Οὕτως οἱ τοῖς κοινωνοῖς ἐπιβουλεύοντες λανθάνουσι πολλάκις καὶ ἑαυτοὺς συναπολλύντες.

Codd. Pa 191 Pb 187 Pc 105 Pf 103 Pg 120 Mb 166 Me 130 Ca 144 La 120 Lb 106 Le 106 Lf 120 Lh 57 Mg 129 Mj 127 Ml 130.

1 εἰς ἀλλήλους Pf Me || 2 εἰς ἄγραν Pb L πρὸς ἄγραν Mj ἐπὶ τὴν ἄγραν Pg || αὐτοῖς περιτυχόντος (παρα- Ca) libri exceptis Pa Pf || 3 ἐπηρτισμένον Pa τὸν ἐπηρτημένον ὁρῶσα κίνδυνον (κ- ὁρ- Mg) L Mg Mj Ml || 4 παραδώσειν αὐτῷ τὸν ὄνον ὑπέσχετο L Mg Mj Ml || αὐτῷ om. Pg Mb || ἐάν τι τῶν ἀκινδύνων Pa || 5 ἐπαγγέλληται Pb Pc Me -γέληται Pg ἀπαγγέλληται Ca -γήληται Mb || ἀπολύσειν αὐτὴν (-τὸν Le) Pb L || ἀπολύειν Pf Mb Me Ca || 6 φαμένου Le || ἐκείνη παραγαγοῦσα L Mg Mj Ml || παραγαγοῦσα Pb προσάγουσα Pf Me || τινα (τὴν Ca) παγίδα Pf Me Ca || πεσεῖν Ca || 7 Ὁ δὲ λέων Pc || ὁρῶν om. Mb || φυγεῖν Pg Mb Ca || 8 πρώτην Mb Ca L excepto Lh Mj || σύνεσχεν Pb L Mg Mj Ml || καὶ εἶθ' Pf Me || ἐτράπη ἐπὶ τὸν ὄνον Mb || 10 Ὁ μῦθος δηλοῖ ὅτι La Ὁ μῦθος ὅτι Le Ὅτι Mg || Οὕτως om. Pf || κοινοῖς Pa || 11 ἑαυτοῖς Pc || συναπολύντες Pa Me ἀπολλύντες Pb ἐναπολύντες Pf προσαπολοῦντες La Lf προσαπολλοῦντες Mg παραπολύντες Mj.

Digitized by Google

272

Ὄνος καὶ βάτραχοι.

Ὄνος ξύλων γόμον φέρων λίμνην διέβαινεν· ὀλισθὼν δέ, ὡς κατέπεσεν, ἐξαναστῆναι μὴ δυνάμενος ὠδύρετό τε καὶ ἔστενεν. Οἱ δὲ ἐν τῇ λίμνῃ βάτραχοι ἀκούσαντες αὐτοῦ τῶν στεναγμῶν ἔφασαν· « Ὦ οὗτος, καὶ τί ἂν ἐποίησας, εἰ τοσοῦτον ἐνταῦθα χρόνον διέτριβες ὅσον ἡμεῖς, ὅτε πρὸς ὀλίγον πεσὼν οὕτως ὀδύρῃ ; »

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα ῥᾴθυμον ἐπ' ἐλαχίστοις πόνοις δυσφοροῦντα, αὐτὸς τοὺς πλείονας ῥᾳδίως ὑφιστάμενος.

Codd. Pa 189 Pb 185 Pg 119 Mb 163 Ca 142 La 118 Lb 104 Le 104 Lf 118 Lh 55 Me 133 Mf 111 Mg 127 Mj 125 Ml 127.

1 Ὄνος ξύλα βαστάζων διέβαινέ τινα λίμνην· ὀλισθήσας δέ Pb L M excepto Mb || ὡς δὲ ὀλισθήσας κατέπεσεν Pg Mb Ca || **2** τε om. Mb Ca || **4** τὸν στεναγμὸν Pa Mb || τῶν στεναγμῶν τούτου ἀκούσαντες (ἀκούοντες Mf) L M excepto Mb || ἔφησαν Pg Mb Ca || Ὦ οὗτος, ἔφασαν L M excepto Mb || καὶ om. Pg || **5** ἐνταῦθα om. Pg Lh || χρόνον ἐνταῦθα Ml || διέτριβες ἐνταῦθα Mb Ca || ὅτι Pg Mb Ca || || **6** οὕτως om. Ca || **7** Ὁ μῦθος δηλοῖ ὅτι τούτῳ Me Mf Mj || **8** τοὺς om. Pg Mb || πλείους La Lf.

273

Ὄνος καὶ ἡμίονος ⟨ἐξ ἴσου ἐμπεφορτισμένοι⟩.

Ὄνος καὶ ἡμίονος ἐν ταὐτῷ ἐβάδιζον. Καὶ δὴ ὁ ὄνος ὁρῶν τοὺς ἀμφοῖν γόμους ἴσους ὄντας ἠγανάκτει καὶ ἐσχετλίαζεν, εἴγε διπλασίονος τροφῆς ἠξιωμένη ἡ ἡμίονος οὐδὲν περιττότερον βαστάζει. Μικρὸν δὲ αὐτῶν τῆς ὁδοῦ προϊόντων, ὁ ὀνηλάτης ὁρῶν τὸν ὄνον ἀντέχειν μὴ δυνά-

Codd. Pa 192 Mb 167.

1 Καὶ δὴ ὄνος Pa || **4** βαδίζει pro βαστάζει Mb || **5** ὁρῶν om. Mb.

μενον, ἀφελόμενος αὐτοῦ τὸ φορτίον τῇ ἡμιόνῳ ἐπέθηκεν. Ἔτι δὲ αὐτῶν πόρρω προβαινόντων, ὁρῶν ἔτι μᾶλλον ἀποκάμνοντα, πάλιν ἀπὸ τοῦ γόμου μετετίθει, μέχρι τὰ πάντα λαβὼν καὶ ἀφελόμενος ἀπ' αὐτοῦ τῇ ἡμιόνῳ ἐπέθηκε. Καὶ τότε ἐκείνη ἀποβλέψασα εἰς τὸν ὄνον εἶπεν· « Ὦ οὗτος, ἆρά σοι οὐ δοκῶ δικαίως τῆς διπλῆς τροφῆς ἀξιωθῆναι ; »

Ἀτὰρ οὖν καὶ ἡμᾶς προσήκει μὴ ἀπὸ τῆς ἀρχῆς, ἀλλ' ἀπὸ τοῦ τέλους τὴν ἑκάστου δοκιμάζειν διάθεσιν.

7 Ἔτι δὲ αὐτῶν ... ἐπέθηκε om. Mb || **8** μετετέθη Pa || **10** ἐκεῖνος ἀποβλέψας εἰς αὐτὸν ἔφη Pa || Ὦ οὗτος om. Mb || **11** ἄρά σο δίκαιος δοκῶ ... ἠξιωμένη ; Pa || **12** ἀπὸ δὲ τοῦ τέλους Pa.

274

Ὄνος καὶ κηπουρός.

Ὄνος κηπουρῷ δουλεύων, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πολλὰ δὲ ἐκακοπάθει, ηὔξατο τῷ Διὶ ὅπως τοῦ κηπουροῦ αὐτὸν ἀπαλλάξας ἑτέρῳ δεσπότῃ ἐγχειρίσῃ. Ὁ δὲ Ἑρμῆν πέμψας ἐκέλευσε κεραμεῖ αὐτὸν πωλῆσαι. Πάλιν δὲ αὐτοῦ δυσφοροῦντος, ἐπειδὴ καὶ πολλῷ πλείονα ἀχθοφορεῖν ἠναγκάζετο, καὶ τὸν Δία ἐπικαλουμένου, τὸ τελευταῖον ὁ Ζεὺς παρεσκεύασεν αὐτὸν βυρσοδέψῃ πραθῆναι. Καὶ ὁ ὄνος ἰδὼν τὰ

Codd. Pa 178 Pb 175 Pd 37 Pf 98 Pg 114 Mb 151 Me 125 Mf 105.

Formam κηπουρός habent Pa Pf κηπωρός ceteri || **1** πλεῖστα δ' ἐμόχθει Me Mf || **2** ὅπως τῷ κηπωρῷ ἀπαλλαγεὶς ἑτέρῳ ἐγχειρισθείη δεσπότῃ Pd || **3** ἐγχειρίσοι Pg || Ὁ δὲ (δὲ om. Pd) Ζεὺς πέμψας ἐκέλευσε κεραμεῖ πωλῆσαι Pd Pg Mb || **4** ἐκέλευε Pb || κεράμια Pa || **5** ἐπειδὴ πολλῷ πλέον Pg Mb || πλεῖον Pb Pd || ἠναγκάζετο τόν τε πηλὸν καὶ τοὺς κεράμους μετακομίζων Me Mf || **6** ἐπικαλούμενος Pb -νον Pd || ἐπεκαλεῖτο Pf Mb || ἐπεκαλεῖτο τὸ τελευταῖον ἀμεῖψαι αὐτοῦ τὸν δεσπότην Me Mf || Ὁ Ζεὺς δὲ (Ὁ δὲ Ζ- Mf) Pf Me Mf || αὐτὸν παρεσκεύασεν Pg || **7** αὐτὸν om. Pd Pf Mb Me Mf || βυρσοδέψει Pa -δεῦσι Pb || πωληθῆναι Pb Pd || πραθῆναι. Εἰς χείρονα τοίνυν τῶν προτέρων δεσπότην ἐμπεσὼν ὁ ὄνος, καὶ τὰ παρ' αὐτοῦ πραττόμενα θεασάμενος, μετὰ στεναγμῶν ἔφη Me Mf || εἰδὼς pro ἰδὼν Pa Pf.

Digitized by Google

ὑπὸ τοῦ δεσπότου πραττόμενα, ἔφη· « Ἀλλ' ἔμοιγε αἱρετώτερον ἦν παρὰ τοῖς προτέροις δεσπόταις ἀχθοφοροῦντα λιμώττειν ἢ ἐνταῦθα παραγενέσθαι, ὅπου, ἐὰν ἀποθάνω, οὐδὲ ταφῆς ἀξιωθήσομαι. »

Ὁ λόγος δηλοῖ ὅτι τότε μάλιστα τοὺς πρώτους δεσπότας οἱ οἰκέται ποθοῦσιν, ὅταν καὶ ἑτέρων πεῖραν λάβωσιν.

9 περὶ Pg || πρώην pro προτέροις Pd || ἀχθοφοροῦντι Pb Pd Pf Me Mf || δεσπόταις συνεῖναι (συνεῖναι om. Pg Mb). Τούτῳ (-του Pg) γάρ, ὡς ὁρῶ, καὶ τὸ δέρμα μέλλω προσδοῦναι (προδοῦναι Pd) Pd Pg Mb || **10** ὅπου ἀλλ' ἐὰν Pa || ὅπου, οὐδὲ ἂν ἀποθάνω ταφῆς τεύξομαι Pb Pf Me Mf || Post τεύξομαι addunt Me Mf : οὗτος γάρ, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου κατεργάσεται || **12** Ὁ λ- δ- ὅτι om. Pf || τοὺς πρώτους Pa Pb τοὺς προτέρους ceteri || **13** ποθοῦσιν (π- om. Pg) οἱ οἰκέται, ὅταν ἑτέρων πεῖραν λάβωσι (λαλῶσι Pb λάβωσι κακῶν Pf) Pb Pf Pg Mb || ὅταν τῶν δευτέρων λάβωσι πεῖραν Me Mf || **12-13** Ὅτι πολλάκις ἔχοντές τινες μεμετρημένους δεσπότας καὶ ἀγανακτοῦντες αὐτοῖς, χειροτέροις ἐμπίπτουσι Pd.

Aliter.

Ὄνος κηπωρῷ δουλεύων, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πολλὰ δὲ ἐκακοπάθει, ηὔξατο τῷ Διὶ ὅπως τοῦ κηπωροῦ αὐτὸν ἀπαλλάξει, καὶ ἑτέρῳ δεσπότῃ αὐτὸν ἐκδώσει. Ὁ δὲ Ζεὺς ἐκέλευσεν εἰς κεραμέα πωλῆσαι. Πάλιν δὲ αὐτοῦ δυσφοροῦντος, ἐπειδὴ πολὺ πλέον ἀχθοφορεῖν ἠναγκάζετο ἐν τῷ πηλῷ καὶ τῇ πλινθείᾳ, πάλιν τὸν Δία παρεκάλει. Ὁ δὲ Ζεὺς παρεσκεύασε πραθῆναι αὐτὸν εἰς βυρσοδέψην. Ὁ δὲ

Codd. Ca 132 Cb 79 Ce 86 Cf 91 Cg 21 Ch 96 Mc 77.

Formam κηπωρός habent Ca Cb κηπουρός ceteri || **1** κηπωρὸν (κηπουρὸν Mc) Cb Mc || ἐπειδὴ μὲν πολλὰ ἤσθιεν, ὀλίγα δὲ ἐκακοπάθει Cb Mc || ἐπειδὴ μὲν ὀλίγα Cf Ch || ἐπιδὴ ὀλίγα ἐσθίων πολλὰ ἐκακοπάθη Ce || **3** ἀλλάξῃ (ἀπαλ- Ca Mc) Ca Cg Ch Mc || αὐτὸς αὐτὸν Cb || αὐτὸν om. Ce || ἐκδοῦναι Cb Mc || Ζεὺς μέμψας Ca Ζεὺς ceteri || Ἐκέλευσεν οὖν ὁ Ζεὺς Ce || **4** κεραμαίαν Cb Mc || πωληθῆναι Ce Cf || Πάλιν δὲ μετ' (μὲν Cg) ὀλίγον δυσφορήσας ἐπειδὴ πολλῷ (π- om. Ch) πλέον (πλείω Ch πλέον πολλῷ Mc) ἀχθοφορῶν ἦν (ἦν ἀχ- Cg) τῷ πηλῷ καὶ τῇ πλινθείᾳ (πληνθύι Mc) Cb Cg Ch Mc Καὶ πάλιν (Πάλιν δὲ Cf) μετ' ὀλίγον δυσφορήσας, ἐπειδὴ πλέον ἀχθηφόρει (-ρεῖν Cf) ἐν τῷ πηλῷ καὶ τῇ πλινθίᾳ (-θυίᾳ Cf) Ce Cf || **6** τὸν Δία ἐκ δευτέρου παρεκάλει Ce || **7** αὐτὸν πραθῆναι βυρσοδεύσῃ Mc || Ὁ δὲ ὄνος ἴδει ὅτι εἰς χείρονα δεσποτίαν (-τείαν Mc) ἀνέπεσε (ἀναπεσὼν Mc) Cb Mc.

Digitized by Google

ὄνος εἰς χείρονα δεσπότην ἐμπεσὼν καὶ ὁρῶν τὰ παρ' αὐτοῦ πραττόμενα ἔφη μετὰ στεναγμοῦ· « Οὐαί μοι τῷ τάλανι· αἱρετώτερον ἦν μοι παρ' ἐκείνοις τοῖς δεσπόταις εἶναι, ἐπεὶ οὗτος, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου μέλλει ἀνελεῖν. »

Ὁ μῦθος δηλοῖ ὅτι μάλιστα τοὺς πρώτους δεσπότας τότε ποθοῦσιν οἱ οἰκέται, ὅταν πεῖραν λάβωσιν ἑτέρων.

8 ἔτι εἰς χείρονα Cg Ch. || τὰ πραττόμενα παρ' αὐτοῦ Cg || **9** τῷ (τῇ Ce) τάλα Cb Ce Cf Ch Mc || **10** χρεῖττον ἦν (εἴμην Cb) Cb Ce Cf Cg Ch Mc || **11** ὡς ὁρῶ, οὗτος Ce || ὡς om. Cg || **13** Ὅτι Cb || ὅτι τότε οἱ πρῶτοι δεσπόται μνημονεύονται, ὅταν ... Ce || τότε μάλιστα Cb Cf Cg Ch Mc || τοὺς πρώτους οὐ ποθοῦσιν ... Cf || **14** ἱχέται Cb || τῶν ἑτέρων libri excepto Ca.

Aliter.

Ὄνος ὑπηρετούμενος κηπωρῷ, ἐπειδὴ ὀλίγα μὲν ἤσθιε, πλεῖστα δ' ἐμόχθει, ηὔξατο τῷ Διὶ ὥστε τοῦ κηπωροῦ ἀπαλλαγεὶς ἑτέρῳ ἀπεμποληθῆναι δεσπότῃ. Τοῦ δὲ Διὸς ἐπακούσαντος καὶ κελεύσαντος αὐτὸν κεραμεῖ πραθῆναι, πάλιν ἐδυσφόρει, πλέον ἢ πρότερον ἀχθοφορῶν καὶ τόν τε πηλὸν καὶ τ ὺς κεράμους κομίζων. Πάλιν οὖν ἀμεῖψαι τὸν δεσπότην ἱκέτευε, καὶ βυρσοδέψῃ ἀπεμπολεῖται. Εἰς χείρονα τοίνυν τῶν προτέρων δεσπότην ἐμπεσὼν καὶ ὁρῶν τὰ παρ' αὐτοῦ πραττόμενα, μετὰ στεναγμῶν ἔφη· « Οἴμοι τῷ ταλαιπωρῷ, βέλτιον ἦν μοι παρὰ τοῖς προτέροις δεσπόταις μένειν· οὗτ ς γάρ, ὡς ὁρῶ, καὶ τὸ δέρμα μου κατεργάσεται. »

Ὁ μῦθος δηλοῖ ὅτι τότε μάλιστα τοὺς προτέρους δεσπότας οἱ οἰκέται ποθοῦσιν, ὅταν τῶν δευτέρων λάβωσι πεῖραν.

Codd. La 45 Lb 91 Lc 46 Le 91 Lf 45 Lg 46 Lh 46 Md 94 Mg 116 Mi 10 Mj 115 Ml 121 Mm 112.

Formam κηπουρός habent Lc Lg Md Mi Mm, κηπωρός ceteri || **1** κηπουρὸν Md || **2** τῷ Διὶ om. Lc Lg Md Mm || **3** ἀπαλλαγέντα Le || **5** ἀχθηφορῶν Lc Md Mi Mm || **6** τὰς κεράμους La Lc Lh Mi || μετακομίζων Lb Le Lh Mj Ml Mm || **7** ἱκέτευσε Le || βυρσοδέψει Lc Md Mi || ἀπεμπολῆται (-ωλῆται Lc) Lc Md Mm || **9** παρ' αὐτῷ Mj || **10** βέλτιος ἤμην Mm || ἦν om. Le || παρὰ τοὺς προτέρους δεσπότας Lg || τοῖς πρότερον Mj || **11** ἐμμένειν Lh || τοῦτον γάρ Le || ὡς ὁρῶ om. Lc Lg || τὸ σπέρμα Lc Md Mm || κατεργάζεται Lc Lg Md || **13** Ὁ μῦθος ὅτι Mm || προτέρους τοὺς δεσπότας Md || **14** οἱ om. Mg Mm || τῶν προτέρων Lg Ml τῶν πρότερον Lc.

Aliter.

Ὄνος, ὡς ἔθος κηπωρῷ γε δουλεύειν,
εὐχὴν ἐποιεῖτο Διὶ καθ᾽ ἑκάστην,
ὅπως ἀπαλλάξει τοῦ κηπωροῦ τοῦτον
καὶ δεσπότην εὑρήσει ἕτερον τούτου.
Ζεὺς δὲ ἐκέλευε κεραμεῖ πωλῆσαι.
Ὁ ὄνος πάλιν δυσφορῶν μετ᾽ ὀλίγον,
καὶ γὰρ ἦν ἀχθηφορῶν πηλὸν καὶ ξύλα,
εἰς ἄλλον πάλιν πραθῆναι παρεκάλει.
Ὠνεῖται τοῦτον ὁ τὰς βύρσας ἐργάζων,
ἐκδέρων τοὺς βόας, ὁρῶντος τοῦ ὄνου,
καὶ πάντα ἄλλα, ὡς ἔθος δή, τὰ ζῷα,
καὶ σὺν ἀσβέστῳ καὶ στίψει ξέων τούτους.
« Οὐαί μοι, ἔφη ἐν στεναγμῷ μεγάλῳ·
κρεῖττον ἦν ἐκείνοις τοῖς ἄλλοις δουλεύειν·
ὁρῶ γὰρ τοῦτον δεψήσειν μου τὸ δέρμα. »
Ποθοῦσι δεσπότας [οἱ] οἰκέται τοὺς πρώτους,
ὅταν πεῖραν [καὶ δοκιμὴν] λάβωσι τῶν μετὰ ταῦτα.

Cod. Cd 95 (uersus restitui).

3 ἀπαλλάξει τοῦ κηπωροῦ τοῦτον nos ἀπαλλάξειε τοῦ κηπωροῦ γε τούτου cod. || **4** εὑρήσει ἕτερον τούτου nos εὕροιεν ἄλλον ἂν τούτου cod. || **5** δὲ ἐκέλευε κεραμεῖ πωλῆσαι nos δ᾽ ἐκέλευε τοῦτον πωλῆσαι κεραμέα cod. || **10** ἐκδέρων τοὺς βόας, ὁρῶντος τοῦ ὄνου nos ἐκδέρων γοῦν τοὺς βόας ὁρῶν ὄνος cod. || **11** καὶ πάντα ἄλλα, ὡς ἔθος δή, τὰ ζῷα nos καὶ πᾶσιν ἄλλοις ὡς ἔθος δὲ τοῖς ζώοις cod. || **12** nescio quid sit στίψει; fortasse ξύστρῳ legendum est || **14** κρεῖττον ἦν ἐκείνοις τοῖς ἄλλοις δουλεύειν nos κρεῖττόν μοι ἦν ἐκείνοις εἶναι τοῖς ἄλλοις δοῦλον cod. || **15** δεψήσειν nos ἀνελεῖν cod. || **16** delendum est οἱ || **17** καὶ δοκιμὴν resecandum est.

275

Ὄνος καὶ κόραξ καὶ λύκος.

Ὄνος ἡλκωμένος τὸν νῶτον ἔν τινι λειμῶνι ἐνέμετο. Κόρακος δὲ ἐπικαθίσαντος αὐτῷ καὶ τὸ ἕλκος κρούοντος, ὁ

Codd. Pa 190 Pb 186 Pf 102 Mb 164 Me 129 Mf 108 Ca 143 La 119 Lb 105 Le 105 Lf 119 Lh 56 Mg 128 Mj 126 Ml 129.

1 εἱλκωμένος Pa || χειμῶνι La Lf || ἐτρέφετο Ca || **2** αὐτὸν Mb || ξαίνοντος L Mg Mj Ml κρούοντός τε καὶ ξαίνοντος Me Mf.

Digitized by Google

ὄνος ἀλγῶν ὠγκᾶτό τε καὶ ἐσκίρτα. Τοῦ δὲ ὀνηλάτου πόρρωθεν ἑστῶτος καὶ γελῶντος, λύκος παριὼν ἐθεάσατο καὶ πρὸς ἑαυτὸν ἔφη· « Ἄθλιοι ἡμεῖς, οἵ, κἂν αὐτὸ μόνον ὀφθῶμεν, διωκόμεθα, τούτους δὲ καὶ προσιόντας προσγελῶσιν. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων [καὶ ἐξ αὐτῶν τῶν προσώπων] καὶ ἐξ ἀπροόπτου δῆλοί εἰσιν.

3 ἀλγῶν om. Pa Pf L Mg ἀγανακτήσας Mj || τε om. Pb Mb Ca || ὠγκᾶτο καὶ ἥλλετο (ἥλλατο Lf, ἥλατο La Lh Mg Ml) L Mg Mj Ml || **4** στάντος pro ἑστῶτος Pb ἱσταμένου L Mg Mj Ml || παριὼν αὐτὸν εἶδε καὶ ἔφη· « Ἄθλιοι ἡμεῖς, κἂν μόνον ὀφθῶμεν αὐτῷ, διωκόμεθα. » L Mg Mj Ml || **5** πρὸς ἑαυτὸν Pf Mb πρὸς αὐτὸν celeri || αὐτῷ μόνον (μόνῳ Ca) P Mb Me Mf Ca || **6** τούτους δὲ καὶ προσιόντας προσγελῶσιν Ca καὶ ἰόντες γελῶσιν Pa οὗτοι δὲ καὶ προσγελῶσι Pb κόραξι δὲ καὶ προσγελῶσι Pf Me Mf τούτοις δὲ καὶ προσιοῦσι προσγελῶσι Mb τούτῳ δὲ (οὗτοι δὲ Le Lh Mj) καὶ προσεγγελῶσι (προσγελῶσι Mg προγγελῶσι Ml) L Mg Mj Ml || **8** Ὅλως δηλοῖ Ca || καὶ ἐξ αὐτῶν τῶν προσώπων Pa solus || **9** δηλοποιοῦνται Pf Me Mf || **8-9** Ὁ μῦθος δηλοῖ (δ- om. Le) ὅτι οἱ κακοῦργοι τῶν ἀνθρώπων καὶ μόνον φανέντες δῆλοί εἰσιν L Mg Mj Ml.

276

Ὄνος καὶ κυνίδιον
siue Κύων καὶ δεσπότης.

Ἔχων τις κύνα Μελιταῖον καὶ ὄνον διετέλει ἀεὶ τῷ κυνὶ προσπαίζων· καὶ δή, εἴ ποτε ἔξω ἐδείπνει, διεκόμιζέ τι αὐτῷ, καὶ προσιόντι καὶ σαίνοντι παρέβαλλεν. Ὁ δὲ ὄνος φθονήσας προσέδραμε καὶ σκιρτῶν ἐλάκτιζεν αὐτόν. Καὶ ὃς

Codd. Pa 87 Pb 92 Pc 47 Pe 54 Ma 67.

1 ἀεὶ om. Pe Ma || **2** καὶ δέ Pb || καὶ δή ποτε ἔξω δειπνήσας Pe || δειπνοίη Pb δεῖπνον εἶχεν Ma || ἐκόμιζε Pb Pc Pe Ma || **3** καὶ προσιόντι ... παρέβαλλεν om. Pe || καὶ σαίνοντι om. Ma || παρέβαλεν Pa Pb Pc || **4** φθονεύσας Pa || ζηλώσας προσέδραμεν αὐτὸς Ma || ἐλάκτισεν Pb || ἐλάκτησε τὸν δεσπότην Ma || Καὶ ὡς Pa Καὶ ὁ δεσπότης Pb Καὶ οὗτος Ma.

Digitized by Google

ἀγανακτήσας ἐκέλευσε παίοντας αὐτὸν ἀπαγαγεῖν καὶ τῇ φάτνῃ προσδῆσαι.

Ὁ λόγος δηλοῖ ὅτι οὐ πάντες πρὸς πάντα πεφύκασιν.

5 παίοντα αὐτὸν ἀπαγαγεῖν πρὸς τὸν πυλῶνα καὶ τοῦτον δῆσαι Ma || ἀγαγεῖν Pb Pc || Haec est extrema pars in Pe : (3-6) αὐτῷ. Ἰδὼν δὲ ὄνος καὶ ζηλοτυπήσας προσέδραμε καὶ αὐτὸς σκιρτῶν, ἐλάκτισε δὲ τὸν αὐτοῦ δεσπότην. Καὶ ἀγανακτήσας ἐκέλευσε παίοντες αὐτὸν ἀγαγεῖν ἐν τῇ φάτνῃ καὶ δῆσαι || 7 πρὸς ταὐτὰ Pb || ὅτι πάντες πρὸς πάντας πεφύκασι Ma || Ὁ λόγος δηλοῖ πρὸς ἄνδρα ἄσωτον δι' ἡδυπάθειαν ἀπολωλότα εὐκαίρως Ma (quod est epim. fabulae praecedentis Κίχλα).

Aliter.

Ὄνος καὶ κύων.

Ὄνον τις ἔτρεφε καὶ κύνα ὡραῖον.
Ὁ μὲν ἐν αὐλῇ παρὰ φάτναις δεσμώτης
ἔτρωγε κριθάς, χόρτον, ὥσπερ εἰώθει·
κύων δὲ χαρίεις ὤν, εὐρύθμως παίζων
τὸν δεσπότην περιέσκαιρε ποικίλως·
ἐκεῖνος δ' αὐτὸν κατεῖχε ἐν τοῖς κόλποις.
Ὁ δέ γε ὄνος τὴν μὲν νύκτα ἀλήθων
πυρὸν φίλης Δήμητρος, ἡμέρας δ' ὕλην
ἦγεν ἀφ' ὕψους, ἐξ ἀγροῦ δ' ὅσον χρεία.
Δηχθεὶς δὲ θυμῷ καὶ περισσὸν οἰμώξας
σκύμνον θεωρῶν ἐν ἁβρότητι πάσῃ,
φάτνης ὀνείης δεσμὰ καὶ καλοὺς ῥήξας
ἐς μέσον αὐλῆς ἦλθ' ἄμετρα λακτίζων·
σαίνων δὲ οὐρᾷ καὶ θέλων περισκαίρειν,
τὴν μὲν τράπεζαν ἐς μέσον βαλὼν θλάσεν,
ἅπαντα δ' εὐθὺς ἠλόησε τά σκεύη,
δειπνοῦντα δ' εὐθὺς ἦλθε δεσπότην κύσων
νώτοις ἐπεμβάς. Ἐσχάτου δὲ κινδύνου

Cod. Mb 138 (uersus restitui).

1 καὶ κυνίδιον πάνυ ὡραῖον cod. κύνα scripsi et πάνυ resecui || 2 Καὶ ἦν cod. Ὁ μὲν scripsi || 4 Κυνίδιον δὲ χαρίεν ὂν εὐρύθμως παῖζον : correxi || 5 τὸν δεσπότην τε ποικίλως περισκαῖρον cod. τε deleui et περιέσκραιρε ποικίλως scripsi || 6 αὐτὸ κατέχων cod. αὐτὸν κατεῖχε scripsi || 7 ἀλατρεύων cod. ἀλήθων Furia || 9 ἐφ' ὕψους cod. corr. Furia || 10 Δαχθεὶς cod. || 13 ἦλθε cod. || 14 δ' ὁποῖα cod. δὲ οὐρᾷ scripsi || 17 χρούσων cod. κύσων scripsi.

Digitized by Google

θεράποντες ἐν μέσῳ ὡς εἶδον, ἦξαν,
κρανείαις δὲ ἄλλος ἄλλοθεν προσκρούων
ἔθεινον, ὥστε καὐτὸς ὕστατ᾽ ἐκπνέων
ἔφη· « Οἷα χρή με δυσδαίμονα ⟨τλῆναι⟩·
τί γὰρ παρ᾽ οὐρηέσι οὐκ ἐπολεύμην,
βαιῷ δ᾽ ὁ μέλεος κυνὶ παρισούμην; »

Ὅτι οὐ πάντες πρὸς πάντα ἴσοι πεφύκασι, κἂν φθόνῳ ἀλαζονεύωνται.

19 ἐν μέσοισιν ὡς εἶδον, ἐσάωσαν cod. ἐν μέσῳ .. ἦξαν scripsi || **20** κρανάης δὲ κορύναις ... κρούων cod. κρανείαις δὲ ... προσκρούων deleto κορύναις scripsi || **21** Ὡς δὲ καὶ αὐτὸς cod. ὥστε καὐτὸς scripsi || **22** ἔτλην, ἔλεξεν cod. ἔφη scripsi || δυσδαίμονα τλῆναι nos δυσδαίμων cod. || **24** κυνιδίῳ cod. correxi.

277

Ὄνος καὶ κύων συνοδοιποροῦντες.

Ὄνος καὶ κύων ἐν ταὐτῷ ὡδοιπόρουν. Εὑρόντες δὲ ἐπὶ γῆς ἐσφραγισμένον γραμμάτιον, ὁ ὄνος λαβὼν καὶ ἀναρρήξας τὴν σφραγῖδα καὶ ἀναπτύξας, διεξῄει εἰς ἐπήκοον τοῦ κυνός. Περὶ βοσκημάτων δὲ ἐτύγχανε τὰ γράμματα χόρτου τε, φημί, καὶ κριθῆς καὶ ἀχύρου. Ἀηδῶς οὖν ὁ κύων, τοῦ ὄνου ταῦτα διεξιόντος, διέκειτο· ἔνθεν δὴ καὶ ἔφησε τῷ ὄνῳ· « Ὑπόβαθι, φίλτατε, μικρόν, μή τι καὶ περὶ κρεῶν καὶ ὀστέων εὕρῃς διαλαμβάνων. » Ὁ δὲ ὄνος ἅπαν τὸ γραμμάτιον διεξελθὼν καὶ μηδὲν εὑρηκὼς ὧν ὁ κύων ἐζήτει, ἀντέφησεν αὖθις ὁ κύων· « Βάλε κατὰ γῆς, ὡς ἀδόκιμον πάντη, φίλε, τυγχάνον. »

Cod. Mb 173. Sine dubio uersibus erat scripta haec fabula.

3 ἐπηκοῦον cod. || **6** ἔνθεν τι cod.

Digitized by Google

278

Ὄνος καὶ ὀνηλάτης.

Ὄνος ὑπὸ ὀνηλάτου ἀγόμενος, ὡς μικρὸν τῆς ὁδοῦ προῆλθεν, ἀφεὶς τὴν λείαν ἀτραπὸν διὰ κρημνῶν ἐφέρετο. Μέλλοντος δὲ αὐτοῦ κατακρημνίζεσθαι, ὁ ὀνηλάτης ἐπιλαβόμενος τῆς οὐρᾶς, ἐπειρᾶτο μεταπεριάγειν αὐτόν. Τοῦ δὲ εὐτόνως ἀντιπίπτοντος, ἀφεὶς αὐτὸν ἔφη· « Νίκα· κακὴν γὰρ νίκην νικᾷς. »

Πρὸς ἄνδρα φιλόνεικον ὁ λόγος εὔκαιρος.

Codd. Pa 185 Pb 182 Mb 159 Ca 139.

1 μικρὸν ἀπὸ τῆς Mb Ca || 2 τὴν λείαν εἰς κρημνὸν Pb || τὴν λείαν ἀτὰρ Ca || διὰ κρημνὸν Mb || 3 κρημνίζεσθαι Mb || 4 περιάγειν Pb μετάγειν Mb Ca || 5 Ὦ ὄνε, νίκα Ca || 7 Ὁ λόγος (Ὅλως Ca) πρὸς ἄνδρα φιλόνεικον Mb Ca.

Aliter.

Ὄνος πλατείας ὁδοῦ ἐκτραπεὶς ἐπὶ κρημνὸν ἐφέρετο. Τοῦ δὲ ὀνηλάτου ἐπιβοῶντος· « Ἄθλιε, ποῦ φέρει; » καὶ τῆς οὐρᾶς ἐπιλαβομένου καὶ ἕλκοντος πρὸς ἑαυτόν, τῆς εἰς τὰ πρόσω φορᾶς ὁ ὄνος οὐχ ἵστατο. Ὁ δὲ ἔτι μᾶλλον ὠθήσας αὐτὸν ἔφη· « Ὕπαγε, νίκα τὴν κακὴν νίκην ἐν τῷ ἀναθέματι. »

[Ὅτι] τοὺς ἀπολλυμένους οἰκείᾳ ἀφροσύνῃ ὁ μῦθος ἐλέγχει.

Cod. Ba 107.

279

Ὄνος καὶ τέττιγες.

Ὄνος ἀκούσας τεττίγων ᾀδόντων [ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ] καὶ ζηλώσας αὐτῶν τὴν εὐφωνίαν ἐπυνθάνετο τί σιτού-

Codd. Pa 183 Pf 100 Ma 125 Mb 157 Me 127 Mf 107 Ca 137.

1 τεττίγων ἀκούσας ᾀδόντων Me Mf || ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ om. Pf Me Mf || 2 τὴν ἡδύτητα εἶπε Ma Mb Ca.

Digitized by Google

μενοι τοιαύτην φωνὴν ἀφιᾶσι. Τῶν δὲ εἰπόντων· « Δρόσον, » ὁ ὄνος προσμένων δρόσον λιμῷ διεφθάρη.

Οὕτω καὶ οἱ τῶν παρὰ φύσιν ἐπιθυμοῦντες πρὸς τῷ μὴ ἐφικνεῖσθαι καὶ τὰ μέγιστα δυστυχοῦσιν.

3 ἀφίετε Ca || **4** προσπαραμένων (παρα- Ma) τῇ δρόσῳ Pf Ma Me Mf Ca || τῇ δρόσῳ Mb || **5** Οὕτως (Οὕτω Ma) οἱ τῶν (τὸ Mb) Pf Ma Mb Ca Οὕτως ἔνιοι τῶν Me Mf || πρὸς (παρὰ Ca) τῷ (τὸ Mb Ca) μὴ ἐπιτυχεῖν ὧν ἐφίενται Mb Ca πρὸς τὸ μὴ ἐπὶ τύχῃ ἐφικνεῖσθαι Ma πρὸς τῷ μὴ ἐπιτυχεῖν Pf Me Mf.

Aliter.

Ὄνος ἀκούσας τεττίγων ᾀδόντων ἥσθη ἐπὶ τῇ εὐφωνίᾳ καὶ ζηλώσας αὐτῶν τὴν φωνὴν ἐπελάθετο καὶ τῆς οἰκείας φωνῆς.

Οὕτως οἱ τῶν παρὰ φύσιν ἐπιθυμοῦντες καὶ ἃ ἔχουσι δυστυχοῦσι.

Cod. Pb 180.

2 ἐπέλαθε cod. cor. Schneider.

280

Ὄνος ⟨νομιζόμενος λέων εἶναι⟩.

Ὄνος δορὰν λέοντος ἐπενδυθεὶς λέων ἐνομίζετο πᾶσιν, καὶ φυγὴ μὲν ἦν ἀνθρώπων, φυγὴ δὲ ποιμνίων. Ὡς δὲ ἀνέμου πνεύσαντος ἡ δορὰ περιῃρέθη καὶ γυμνὸς ὁ ὄνος ἦν, τότε δὴ πάντες ἐπιδραμόντες ξύλοις καὶ ῥοπάλοις αὐτὸν ἔπαιον.

Codd. Ba 99 Bb 61 Md 87 Mh 79 Mi 3 Mm 105 Lc 31 Lg 31.

2 ἀνθρώπων ἦν Mh || δὲ καὶ ποιμνίων Mh Mm Lg || **3** τὴν δορὰν ἀφῃρέθη καὶ γυμνὸς γέγονε τῆς ἐκ (τῆς ἐκ om. Lg) τῆς ταύτης σκέπης (εὑρέθης μέσον ποίμνης pro τῆς ἐκ .... σκέπης Mh) τότε πάντες ἔπαιον ῥοπάλοις τε καὶ ξύλοις libri exceptis Ba Bb || **4** δὴ om. Bb || **5** ἔτενον pro ἔπαιον Bb.

"Οτι πένης καὶ ἰδιώτης ὢν μὴ μιμοῦ τὰ τῶν πλουσίων, μή ποτε καταγελασθῇς καὶ κινδυνεύσῃς· τὸ γὰρ ξένον ἀνοίκειον.

6 Ὁ μῦθος δηλοῖ ὅτι libri exceptis Ba Bb || καὶ ἰδιώτης soli Ba Bb || τὰ πλουσίων libri exceptis Ba Bb || 7 μή πως γελασθῇς (-θεὶς Mm) καὶ κινδυνεύσῃς πλέον libri exceptis Ba Bb || τὸ γὰρ ξένον ἀνοίκειον solus Bb.

Aliter.

Ὄνος ἐπεθύμει λέων εἶναι δοκεῖν. Καὶ μεταθεῖναι τὴν φύσιν οὐκ ἔχων ἐπὶ τοῦ σχήματος ἀνεπλήρου τὸν πόθον, καὶ λεοντῆν περικείμενος, οἷα λέων τοὺς τῶν γεωργῶν ἐλυμαίνετο πόνους. Καὶ πνεύσας βιαιότερος ἄνεμος γυμνοῖ μὲν αὐτὸν τοῦ προκαλύμματος, φανέντα δὲ ὄνον ῥοπάλοις ἀνῄρουν ὧν τοὺς πόνους κατήσθιεν.

Κόσμος ἐπείσακτος τοῖς χρωμένοις γίνεται κίνδυνος.

Cod. Mb 172. Haec est Aphthonii fabula decima.

4 πόνους nos κόπους cod. || 6 πόνους nos κόπους cod.

281

Ὄνος ⟨παλιούρους ἐσθίων⟩ καὶ ἀλώπηξ.

Ὄνος ἀκανθώδεις παλιούρους ἤσθιε. Τοῦτον δὲ ἰδοῦσα ἀλώπηξ εἶπεν· « Πῶς οὕτω τῇ ἁπαλῇ γλώσσῃ τὸ σκληρὸν καὶ ἀκανθῶδες προσφάγιον ἐσθίεις ; »

"Οτι οὐ δεῖ φλυάρων ἀνδρῶν κατηγορίας ἀκούειν· εἰς κίνδυνον γὰρ ἄγουσι τὸν ἀκούοντα.

Codd. Ba 108 Bb 66.

1 παλιούρας Ba || Τοῦτον ἰδοῦσα ἡ Bb.

Digitized by Google

Aliter.

Ονος παλιούρων ἤσθιεν ὀξείην χαίτην.
Τὸν δ' εἶδεν ἀλώπηξ, κερτομοῦσα δ' εἰρήκει·
« Πῶς οὕτως ἁπαλῇ καὶ ἀνειμένῃ γλώσσῃ
σκληρὸν μαλάσσεις προσφάγημα καὶ τρώγεις; »

Ὁ μῦθος πρὸς τοὺς σκληροὺς καὶ ἐπικινδύνους προφέροντας διὰ γλώσσης λόγους.

Cod. Mb 143. Forsitan habeas hic fabulam Babrii.

1 παλλιούρων cod. || 2 κερτομοῦσα nos ἁρπάσασα cod. || 4 μαλάσσεις nos μαλάσσει cod.

282

Ὄνος ⟨χωλαίνειν προσποιούμενος⟩ καὶ λύκος.

Ὄνος ἔν τινι λειμῶνι νεμόμενος, ὡς ἐθεάσατο λύκον ἐπ' αὐτὸν ὁρμώμενον, χωλαίνειν προσεποιεῖτο. Τοῦ δὲ προσελθόντος αὐτῷ καὶ τὴν αἰτίαν πυνθανομένου δι' ἣν χωλαίνει, ἔλεγεν ὡς φραγμὸν διαβαίνων σκόλοπα ἐπάτησα καὶ παρῄνει αὐτῷ πρῶτον ἐξελεῖν τὸν σκόλοπα, εἶθ' οὕτως αὐτὸν καταθοινήσασθαι, ἵνα μὴ ἐσθίων περιπαρῇ. Τοῦ δὲ πεισθέντος καὶ τὸν πόδα αὐτοῦ ἐπάραντος ὅλον τε τὸν νοῦν πρὸς τῇ ὁπλῇ ἔχοντος, ὁ ὄνος λὰξ εἰς τὸ στόμα τοὺς ὀδόντας αὐτοῦ ἐτίναξε. Καὶ ὃς κακῶς διατεθεὶς ἔφη· « Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γάρ, τοῦ πατρός με

Codd. Pa 186 Pb 183 Pg 118 Mb 160 Ca 140.

1 τὸν λύκον Pg Mb || 2 χωλεύειν Pg || 3 πυθομένου Pg || χωλεύει Pg Mb || 4 φραγμῷ Pa || διέβαινον καὶ (καὶ om. Ca) Pg Mb Ca || ἐπάτησε Pb || παρῄνει αὐτὸν Pg Mb Ca || 5 ἐξελθεῖν Pa || 7 ἐμπεισθέντος Ca || τε om. Ca || τὸν οὖν Mb || 8 πρὸς τὴν ὁπλὴν Mb Pg || πρὸς τὸν σκόλοπα ὡς δῆθεν ἔχοντος Ca || εἰς τὸ στόμα αὐτοῦ Mb εἰς τὸ στόμα αὐτοῦ ἀφεὶς Pg Ca || 9 ἐξετίναξε libri excepto Pa || καὶ ὡς Pa Ca || κακὸς Mb || διατεθεὶς κακῶς Pb || 10 με μάγειρον διδάξαντος Pg Mb Ca.

Digitized by Google

μαγειρικὴν τέχνην διδάξαντος, αὐτὸς ἰατρικῆς ἐπελαβόμην ; »

Οὕτω καὶ τῶν ἀνθρώπων οἱ μηδὲν προσήκουσιν ἐπιχειροῦντες εἰκότως δυστυχοῦσιν.

11 μαγηρικὰς τέχνας Pa || ἰατρικὰς Pa || τὴν (τὴν om. Pg) ἰατρικὴν τέχνην ὑπεβαλλόμην (ὑπελαβόμην Ca) Pg Mb Ca || **13** ὁ τῶν ἀνθρώπων Mb || τοῖς μηδὲν Pg Mb μή τι Ca || προσῆκον Pb.

Aliter.

Ὄνος δέ ποτε τὸν σκόλοπα πατήσας
ἔστη χωλὸς μὴ δυνάμενος ὁδεῦσαι.
Λύκον δὲ ἰδὼν καὶ τοῦτον δειλιάσας,
μήπως, ὡς τρίπους, αὐτῷ γένηται βρῶμα,
ἀνεβόησε καὶ πρὸς αὐτὸν ἐλάλει·
« Λύκε μέγιστε, νυνὶ θνῄσκω ἐκ πόνου·
καλόν μοι ἔσται τὸ γενέσθαι σοι δεῖπνον
ἤπερ τῶν γυπῶν, ὀρνέων καὶ κοράκων.
Χάριν δὲ μίαν ἄρτι νῦν ἐξαιτῶ σε,
ὅπως ἐκβάλλῃς ἄκανθαν ἐκ ποδός μου,
μὴ μετὰ πόνου ἐγὼ ὁ τάλας θνήξω. »
Εὐθὺς δ' ὁ λύκος τῶν ὀδόντων τοῖς ἄκροις
σκόλοπα δάκνων ἐξεῖλε παραυτίκα.
Λυθεὶς δὲ πόνου, καὶ χάσκοντος τοῦ λύκου,

Codd. Cg 26 Ch 101 Ca 134 Cb 81 Ce 91 Cf 96 Mc 80.

1 Ὄνω σκώλωπ Cf || δέ ποτε om. Ce || δέ et τὸν om. Ca Ce || **2** ἔστη nos ἵστατο libri || δυνηθεὶς Cb Cf Mc || δυνηθεὶς πατῆσαι Ch || μὴ .. ὁδεῦσαι om. Ce || **3-5** Λύκος δὲ ἰδὼν τοῦτον ἠβουλήθη φαγεῖν. Ὁ δὲ ὄνος ἀνεβόησε πρὸς αὐτόν· Λύκε Ce || **4** μὴ δέσπους αὐτοῦ γένηται Cb || αὐτοῦ Mc || hunc uersum om. Cf || **5** ἐβόα pro ἐλάλει Cg || **7** ἐστι Ch Ca Cb || τοῦ γενέσθαι σοι δεῖπνον Cg || τὸ (τοῦ Ch Cb Mc) σοῦ (σὸν Ch σὸς Cb) δεῖπνος (-νον Ch -νου Mc) γενέσθαι Ch Ca Cb Mc || ἔσται γενέσθαι σοι τοῦ δε'πνου Cf || ἔσται ὑπὲρ λειπῶν ὀρνέων καὶ χοράκων τοῦ γενέσθαι σοι δεῖπνος Ce || **8** ὑπὲρ τῶν τῶν Cg || ἢ τῶν γυπῶν καὶ χοράκων Ca || ὑπὲρ τῶν λοιπῶν ὀρνέων καὶ χοράκων Cb Cf Mc || **9** μίαν νῦν ἐξαιτῶ σε, πάτερ Ca || ἐξαιτῶ σε ἄρτι Ce || σοῦ, πάτερ Cb σοι Cf || **10** ἐκβάλῃς Ch Ca Cb ἐκβάλεις Ce Mc ἐκβάλλεις Cf || ποδῶν Cg Ch τοῦ ποδὸς Ca Cb || ἐκ τοῦ ποδός μου τὴν ἄκανθαν Ce || **11** ἵνα μὴ θνήξω μετὰ πόνου Ce || **13** τὸν σκόλοπα Ca || δακὼν Ch κακὸν Cb Cf Mc || ἐξῆλε τὸν σκόλοπα omisso δάκνων et παραυτίκα Ce || **14** τοῦ πόνου, χάσκοντος Ca || πόνου ὁ ὄνος καὶ τοῦ λύκου χάσκοντος Ce.

Digitized by Google

τοῦτον λακτίσας καὶ τοὺς ὀδόντας θλάσας,
χείλη, μέτωπον, κάραν καὶ τὰς ὀσφρήσεις,
ἀπεπήδησε καὶ οἴκαδε ἀπῄει.
Εὐθὺς δ' ὁ λύκος ἔφη· « Δίκαια πάσχω·
μεμαθηκὼς γὰρ πρῶτον μάγειρος εἶναι
ἵππων ἰατρὸς ἵνα τί ἐγενόμην ; »

Ὅτι πολλοὶ τοὺς ἐχθροὺς αὐτῶν ὠφελεῖν πειρώμενοι ἀντὶ ἀμοιβῆς κακὰ αὐτοῖς παρέχουσιν.

15 λακτίσας om. Ca || θλάσας τοὺς ὀδόντας Ch || τοὺς om. Cf || λακτήσας ὁ ὄνος τῷ λύκῳ ὀδόντας, χείλη, μέτωπον, κάραν συνέθλασε καὶ αὐτὸς ἀπεπήδησε ... Ce || **16** καρδίαν καὶ ὀσφρήσεις Mc || **17** ἀπεδήμησε Cg || καὶ om. Cb || ἀποίει Cb ἀπείη Cf Mc || **18** Αὖθις Mc || Καὶ ὁ λύκος Ch Ca || ἔφη om. Cb || δίκαια (-αίως Ce) πάσχω, ἔφη Ch Ce Cf Mc || **19** μὴ μεμαθηκὼς Cb Cf || πρῶτο Cg πρώην Ch Ca Cb Cf || **19 et 20** πρώην γὰρ μάγειρος ὢν οὐκ ἠρετισάμην τοῦ εἶναι, ἀλλ' ἰατρὸς ἠβουλήθην γενέσθαι Ce || **20** ἵνα τί (ἵνα τί om. Cf) ὄνου ἰατρὸς ἐγινόμην (ἐγενόμην Cf) Ca Cf ἐπεὶ ἰατρὸς ἵνα τί ἐγενόμην Cb || ἱπποίατρος Ch ὑποίατρος Mc || **21** Ὁ μῦθος δηλοῖ ὅτι Ch Ca Ce || ὠφελεῖν nos φιλεῖν libri, om. Cg || πειρώμενοι κακοῖς ἀνταμείβαισιν αὐτοὺς παρέχουσιν Ce || **22** αὐτοῖς om. Cf.

Aliter.

Ὄνος ⟨πατήσας σκόλοπα⟩ καὶ λύκος.

Ὄνος πατήσας σκόλοπα χωλὸς εἱστήκει. Λύκον δὲ ἰδὼν καὶ φοβηθεὶς εἶπεν· « Ὦ λύκε, ἀποθνῄσκω ἐκ πόνου· καλὸν δέ μοί ἐστι σοῦ δεῖπνον γενέσθαι ἢ γυπῶν καὶ κοράκων. Χάριν δὲ μίαν αἰτῶ σε, ἐξελεῖν τοῦ ποδός μου πρῶτον τὸν σκόλοπα, ὅπως μὴ μετὰ πόνου θνήξωμαι. » Ὁ δὲ λύκος ἄκροις ὀδοῦσι τὸν σκόλοπα δακὼν ἐξεῖλεν. Ὁ δὲ λυθεὶς

Codd. Ba 106 Bb 64 Ma 186 Md 89 Mh 81 Mi 5 Mm 107 Mn 27 Ld 27.

1 γυμνὸς pro χωλὸς Mh || ἰδὼν ἔφη αὐτῷ· Ὦ λύκε, ἰδοῦ ἐκ M Ld || **2** καὶ δεῖ με σοῦ γενέσθαι δεῖπνον M Ld || **3** ἢ κοράκων M Ld || **4** αἰτῶ σοι Ba Bb || ἐξελεῖν (ἔξειν Ld) πρῶτον τὸν σκόλοπα (hic desinit Ma) ἐκ τοῦ ποδός μου Ld M excepto Mh ἐκ τοῦ ποδός μου τὸν σκόλοπα ἐξελέσθαι σε πρῶτον Mh || **5** τεθνήξωμαι M Ld || ὅπως μὴ .. τὸν σκόλοπα om. Ba || **6** δακὼν τὸν σκόλοπα M Ld || Ὁ (Ὁ om. Mm) ὄνος δὲ M Ld.

τοῦ πόνου, τὸν λύκον ἔτι χάσκοντα λακτίσας φεύγει, ῥῖνα καὶ μέτωπον καὶ ὀδόντας συγκλάσας. Ὁ δὲ λύκος ἔφη· « Οἴμοι, δίκαια πάσχω, ὅτι μάγειρος εἶναι μαθὼν πρῶτον, νῦν ἱπποίατρος ἐγενόμην. »

Ὅτι τινὲς διπλοῖς κινδύνοις περιπεσόντες καὶ τοῖς ἐχθροῖς ὠφελεῖν πειρωμένοις δολίως ἀνταμοιβὴν κακὴν παρέσχον.

7 ἔτι τὸν λύκον χάσκοντα Ba Bb ἔτι transposuit Knöll ἐπὶ τὸν λύκον χάσκοντα M Ld || βλέποντα pro χάσκοντα Mm || ῥῖνας M Ld || **8** καὶ ante μέτωπον om. Mh Mi Mm Mn Ld || συνθλάσας M Ld || **9** δικαίως Mn Ld || εἶναι om. Ba Bb || τὸ πρῶτον M Ld || **10** ἱππίατρος (ἱπποί- Mm) ἠθέλησα γενέσθαι M Ld || **13** παρέχει Ba || **11-13** Ὁ μῦθος δηλοῖ ὅτι οἱ τὰ οἰκεῖα ἐῶντες ἐπιτηδεύματα καὶ μεταχειριζόμενοι τὰ τούτοις μὴ ἀνήκοντα καὶ (καὶ om. Mh) καταγελῶνται καὶ κινδυνεύουσιν M Ld.

Aliter.

Ὄναγρος ⟨πατήσας σκόλοπα⟩ καὶ λύκος.

Χωλὸς ὄναγρος ὑπὸ σκόλοπος ἐγκεκεντρισμένος ὀδυνηρῶς ἔφερε τὸν πόδα ἀλγῶν καὶ διαβῆναι τὸν ποταμὸν μὴ δυνάμενος. Λύκος δὲ αὐτῷ βριαρὸς συναντήσας ἔμελλε κατεσθίειν, ἕτοιμον εὑρὼν θήραμα. Ὁ ὄναγρος δὲ αὐτοῦ ἐδέετο λέγων· « Παῦσόν με πρῶτον τοῦ πόνου τὸν σκόλοπα ἐκ τοῦ ποδὸς ἑλκύσας. » Τοῦ δὲ λύκου τοῖς ὀδοῦσι τὸν σκόλοπα ἑλκύσαντος, ὁ ὄναγρος κουφισθεὶς τῆς τοῦ ποδὸς ἀλγηδόνος, λακτίσας τοῖς ποσὶ τοῦ λύκου τὸ στόμα, νεκρὸν ἀφῆκε, καὶ εἰς ὄρος δραμὼν διεσώθη.

Codd. Pb 227 Pg 148 Mb 232 Cf 129. Haec fabula uersibus scripta fuisse uidetur.

1 ἐγκεντρισμένος Pb Pg Mb ἐκκεντριζόμενος Cf || **2** ἐλθὼν pro ἀλγῶν Pb || τὸν ante ποταμὸν om. Pg Mb || μήπω δυνάμενος (-νον Pg) Pg Mb || **3** οὖν pro δὲ Cf || δὲ αὐτῷ βριαρὸς om. Pb βριδαρὰς αὐτὸν Pg αὐτὸν βριαρὸς Mb || ἀπαντήσας Pb || **4** ἕτοιμον θήραμα ὢν Cf || εὑρὼν εἰς θήραν Pb || Ὁ om. Mb || Ὁ δὲ ὄναγρος Cf || αὐτοῦ om. Cf || **5** λέγων om. Mb || πρῶτον om. Pb πρότερον Mb || τοῦ πόνου Pb solus || **6** ἐκ τοῦ (τοῦ om. Pg) ποδὸς τὸν σκόλοπα Pg Cf || ἐκ τοῦ ποδὸς ... σκόλοπα om. Mb || Τοῦ δὲ λύκου ἑλκύσαντος τὸ βέλος, καὶ κουφισθέντος αὐτοῦ ἐκ τῆς ἀλγηδόνος, λακτήσαντος τοῦ λύκου τὸ μῆκος νεκρὸν ἀφῆκε καὶ δραμὼν εἰς ὄρος ἐσώθη Cf || **7** ἐξελκύσαντος Pg Mb || ὁ ὄνος Pb Pg || **8** λακτίσας αὐτὸν τοῖς ποσὶ νεκρὸν ἀφῆκε Pg Mb || **9** ὁ ὄνος pro εἰς ὄρος Pb Pg || ἐσώθη Mb.

Digitized by Google

Ὁ λόγος δηλοῖ ὅτι καλὸν κακοῖς ποιήσας οὐχ ἕξεις εὐχαριστίαν, μᾶλλον δὲ λοιδορίαν.

10 Διδάσκει ἡμᾶς ὁ μῦθος ὅτι κακῷ (κακὰ Mb) καλὸν ποιήσας οὐκ ... Pg Mb Ὁ μῦθος δηλοῖ ὅτι κακὸν εὐεργέτην οὐχ .. Cf || **11** ἀλλὰ μᾶλλον λοιδορίαν (λοιδ- μ- Mb) Pg Mb Cf.

283

Ὀρνιθοθήρας καὶ ἄγριαι καὶ ἥμεραι περιστεραί.

Ὀρνιθοθήρας πετάσας τὰ λῖνα ἐκ τῶν ἡμέρων περιστερῶν προσέδησεν· εἶτα ἀποστὰς αὐτὸς πόρρωθεν ἀπεκαραδόκει τὸ μέλλον. Ἀγρίων δὲ ταύταις προσελθουσῶν καὶ τοῖς βρόχοις ἐμπλακεισῶν, προσδραμὼν συλλαμβάνειν αὐτὰς ἐπειρᾶτο. Τῶν δὲ αἰτιωμένων τὰς ἡμέρους, εἴγε ὁμόφυλοι οὖσαι αὐταῖς τὸν δόλον οὐ προεμήνυσαν, ἐκεῖναι ὑποτυχοῦσαι ἔφασαν· « Ἀλλ' ἡμῖν γε ἄμεινον δεσπότας φυλάττεσθαι ἢ τῇ ἡμετέρᾳ συγγενείᾳ χαρίζεσθαι. »

Οὕτω καὶ τῶν οἰκετῶν οὐ μεμπτέοι εἰσὶν ὅσοι δι' ἀγάπην τῶν οἰκείων δεσποτῶν παραπίπτουσι τῆς τῶν οἰκείων συγγενῶν φιλίας.

Codd. Pf 105 Me 137.

4 συμπλακεισῶν Me.

284

Ὀρνιθοθήρας καὶ κορύδαλος.

Ὀρνιθοθήρας πτηνοῖς πάγην ἵστη. Κορύδαλος δὲ αὐτὸν θεασάμενος ἤρετο τί ποιεῖ. Τοῦ δὲ εἰπόντος πόλιν κτίζειν καὶ μικρὸν ὑποχωρήσαντος, πεισθεὶς τοῖς λόγοις προσῆλθε,

Codd. Pa 195 Pb 189 Pc 107 Pf 104 Mb 141 Me 136 (ex P et L contaminatus).

1 ἵστα Pb Pc Pf Me ἐφίστα Mb || κόρυδος δὲ Pb || αὐτὸν πόρρωθεν ἰδὼν ἐπυνθάνετο τί ποτ' ἐργάζοιτο Me || **2** ἠρώτα Pb Mb || **3** ὑποχωρήσαντος καὶ κρυβέντος, ὁ κορύδαλος τοῖς τοῦ ἀνδρὸς δολεροῖς πεισθεὶς λόγοις Me || αὐτοῦ τοῖς λόγοις Mb || δόλοις pro λόγοις Pa Pb Pc Pf || προσῆλθεν· ἐσθίων δὲ τὸ δέλεαρ Pb.

Digitized by Google

καὶ τὸ δέλεαρ ἐσθίων ἔλαθεν ἐμπεσὼν εἰς τοὺς βρόχους. Τοῦ δὲ ὀρνιθοθήρα προσδραμόντος καὶ συλλαβόντος αὐτόν, ἔφη· « Ὦ οὗτος, ἐὰν τοιαύτας πόλεις κτίζῃς, οὐ πολλοὺς τοὺς ἐνοικοῦντας εὑρήσεις. »

Ὁ λόγος δηλοῖ ὅτι τότε μάλιστα οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεποὶ ὦσιν.

4 ἐμπεσεῖν Pa || 5 ὀρνιθοθήρου Pb || αὐτὸν om. Pf Me || 6 ὁ κόρυδος ἔφη Pb || Ὦ οὗτος om. Pb Mb || κτίζεις Me || οὐ πολλοὺς Pb πολλοὺς ceteri || 7 εὕρῃς Pc || 8 καὶ οἶκοι Pb Pc Mb || 9 χαλεπὰ ποιῶσι Pb || 8-9 Δηλοῖ (Ὁ μῦθος δ- Me) ὅτι ἡ πανουργία τῶν πονηρῶν ἀνθρώπων ἐν τοῖς ἀποτελέσμασι γνωρίζεται Pf Me.

Aliter.

Ὀρνιθοθήρας πτηνοῖς παγίδας ἵστη. Κορύδαλος δὲ τοῦτον θεασάμενος ἠρώτα, μακρόθεν ἑστώς· « Τί ἐργάζῃ; » Τοῦ δὲ εἰπόντος· « Πόλιν κτίζω, » καὶ μικρὸν ὑποχωρήσαντος καὶ κρυβέντος, ὁ κορύδαλος πεισθεὶς τοῖς λόγοις τοῦ ἀνδρὸς προσῆλθε τῷ τόπῳ, καὶ τὸ δέλεαρ ἐσθίων ἔλαθεν ἐμπεσὼν εἰς τοὺς βρόχους. Ὁ δὲ ὀρνιθοθήρας δραμὼν ἀνελάβετο αὐτόν. Καὶ ὁ κορύδαλος· « Ὦ οὗτος, ἔφη, ἐὰν τοιαύτας πόλεις κτίζῃς, ⟨οὐ⟩ πολλοὺς τοὺς ἐνοικοῦντας εὑρήσεις. »

Ὁ λόγος δηλοῖ ὅτι τότε μάλιστα καὶ οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεποὶ ὦσιν.

Codd. Ca 146 Ce 87 Cf 92 Cg 22 Ch 97.

1 παγίδα ἵστη πτηνοῖς Ce || ἵστα Ca ἧσθι Cf || Κορκόδηλος (sic ubique) δὲ τοῦτο Cf || 2 Τί ἄρα Ce Cf || 3 ὑποχωρήσας (-σασα Ce) ἐκρύβη. Ὁ δὲ κορύδαλος libri excepto Ca || 5 ἐσθίων, ἠγρεύθη εἰς τοὺς βρόχους Ce Cf || 6 ἔλαθε καὶ εἰς τοὺς βρόχους ἐπεπτώκει Cg Ch || ἐμπεσεῖν Ca || 7 ἀνέλαβεν Ce Cf || Ὁ δὲ κορύδαλος ἔφη αὐτῷ (αὐτῷ om. Ce Cf) libri excepto Ca || 8 τοιαύτην πόλιν Ce Cf τὰς πόλεις Cg || κτίζεις Cf || οὐ om. libri || τοὺς om. Ca Ce Cf || 10 Ὅλως δηλοῖ Ca Ὁ μῦθος δ- Ce Cf Ὅτι Cg || μάλιστα om. Cg || καὶ ante οἶκοι om. Ce Cf || οἶκος Cf || 11 παρεστῶτες Cf || χαλεπαίνωσι Ch -νουσι Cf ἐνεδρεύουσιν Ce.

Digitized by Google

Aliter.

Ὀρνιθορήρας ὄρνισιν ἵστη παγίδας. Κορύδαλος δὲ τοῦτον πόρρωθεν ἰδὼν ἐπυνθάνετο τί ποτ' ἐργάζοιτο. Τοῦ δὲ πόλιν κτίζειν φαμένου, εἶτα δὲ πορρωτέρω ἀποχωρήσαντος καὶ κρυβέντος, ὁ κορύδαλος τοῖς τοῦ ἀνδρὸς λόγοις πιστεύσας, προσελθὼν εἰς τὸν βρόχον ἑάλω. Τοῦ δὲ ὀρνιθοθήρα ἐπιδραμόντος, ἐκεῖνος εἶπεν· « Ὦ οὗτος, εἰ τοιαύτην πόλιν κτίζεις, οὐ πολλοὺς εὑρήσεις τοὺς ἐνοικοῦντας. »
Ὁ μῦθος δηλοῖ ὅτι τότε μάλιστα οἶκοι καὶ πόλεις ἐρημοῦνται, ὅταν οἱ προεστῶτες χαλεπαίνωσιν.

Codd. La 46 Lb 92 Ld 28 Le 92 Lf 46 Mc 85 Md 95 Mg 117 Mi 11 Mj 116 Ml 118 Mm 113 Mn 28.

1 ἵστα πάγας (correctum in παγίδας) Mj || τούτων Mi || 2 πόρρω Mj || 3 κτίζει Mn || δὲ om. Mm || 4 κρυβηθέντος Mc || τοῦ ante ἀνδρὸς om. Le || 6 ὀρνιθοθήρου Ld || 7 οὐ ante πολλοὺς om. Le Lf Mc Md Mj Ml Mm Mn, additum in Lb οὐ πολλοὺς in margine Ld || 9 Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Mi || τότε om. Lb Le Mj || μάλιστα τότε Ml || οἱ οἶκοι Mj || 10 χαλεπαίνουσιν Lf Mg Mj -νονται Ld Mc Mn.

Aliter.

Ὄρνιθας θηρῶν ἵστησί τις παγίδας.
Κορύδαλος δ' ἠρώτα τοῦτον μακρόθεν
ἱστάμενός γε καὶ παραβλέπων τοῦτον.
Τοῦ δέ· « Καλλίστην πόλιν, » φήσαντος, « κτίζω, »
ὑπεχώρησεν καὶ μικρὸν ὑπεκρύβη.
Ὁ δὲ προσῆλθε πιστεύσας τῷ ἀνθρώπῳ,
καὶ δάκνων τὸ δέλεαρ, παγίς που πίπτει.
Δραμὼν δ' ὀρνιθοθήρας λαμβάνει τοῦτον.
Ἔφη δ' ὁ κορύδαλος τῷ καταράτῳ·
« Εἰ πόλεις γε κτίζεις τοιαύτας, ὦ φίλε,
⟨οὐ⟩ πολλοὺς εὑρήσεις τοὺς οἰκοῦντας ἔσω. »

Cod. Cd 96.

1 τῆς pro τις cod. || 9 καταράτῳ nos κατεργάστῳ cod. || 11 οὐ addidi || οἰκοῦντας nos κατοικοῦντας cod.

Digitized by Google

Ὁ μῦθος τοῦτο λέγει·
οἶκοι καὶ πόλεις μᾶλλον τότ' ἐρημοῦνται,
ὅταν χαλεπαίνωσιν οἱ προεστῶτες.

13 Οἶκοι γὰρ καὶ πόλεις τότε μᾶλλον cod. γὰρ deleui et τότε transposui.

285

Ὀρνιθοθήρας καὶ πελαργός.

Ὀρνιθοθήρας δίκτυα γεράνοις ἀναπετάσας πόρρωθεν ἀπεκαραδόκει τὴν ἄγραν. Πελαργοῦ δὲ σὺν ταῖς γεράνοις ἐπικαθίσαντος, ἐπιδραμὼν μετ' ἐκείνων καὶ αὐτὸν συνέλαβε. Τοῦ δὲ δεομένου μεθεῖναι αὐτὸν καὶ λέγοντος ὡς οὐ μόνον αὐτὸς ἀβλαβής ἐστι τοῖς ἀνθρώποις, ἀλλὰ καὶ ὠφελιμώτατος, τοὺς γὰρ ὄφεις καὶ τὰ λοιπὰ ἑρπετὰ συλλαμβάνων κατεσθίει, ὁ ὀρνιθοθήρας ἀπεκρίνατο· « Ἀλλ' εἰ τὰ μάλιστα μὴ φαῦλος σὺ εἶ, δι' αὐτὸ τοῦτο γοῦν ἄξιος εἶ κολάσεως, ὅτι μετὰ πονηρῶν κεκάθικας. »

Ἀτὰρ οὖν καὶ ἡμᾶς δεῖ τὰς τῶν πονηρῶν συνηθείας περιφεύγειν, ἵνα μὴ καὶ αὐτοὶ τῆς ἐκείνων κακίας κοινωνεῖν δόξωμεν.

Codd. Pa 196 Pb 190 Pc 106 Mb 144 Ca 147.

1 ἀμπετάσας Pc || 2 ἀπεχαραδόχει Pa Pc ἐθεώρει ceteri || Πελιαργοῦ Mb || τοῖς γεράνοις Mb Ca || 3 χαθίσαντος Pb || συνέλαβον Pa || 4 μὴ θῦσαι pro μεθεῖναι Pb Mb Ca || αὐτόν, ὡς οὐ μόνον αὐτὸς ἐπιβλαβὴς τοῖς ἀνθρώποις λέγοντος Pa || 5 αὐτὸς om. Pb || τοῖς ἀνθρώποις ἐστί Pb || ἐστι om. Pa || 7 ἀναιρεῖ pro χατεσθίει Pb Mb Ca || καὶ ὁ ὀρνιθοθήρας Ca Mb || ἔφη libri excepto Pa || Ἀλλὰ μάλιστα σὺ φαῦλος ὑπάρχεις καὶ διὰ τοῦτο χολάσεως ἄξιος, ἐπειδὴ Pb || ἀεὶ pro εἰ Pa || τὰ μάλιστα σὺ φαῦλος εἶ οὐδαμῶς, διὰ τοῦτο γοῦν καὶ ἄξιος εἶ .. Pc || τὰ μάλιστα οὐ (σὺ ὁ pro οὐ Mb) φαῦλος εἶ, διὰ τοῦτο χολάσεως ἄξιος ὅτι Ca Mb || 8 μ' οὖν Pa || 9 τῶν πονηρῶν Pc || 10 Epim. deest in Pc || συνουσίας φεύγειν Mb Ca || 11 ἀποφεύγειν Pb || τῆς αὐτῶν χαχίας χοινωνοὶ δόξωμεν Pb || ἐχείνων τῆς χαχίας Mb Ca || χοινωνοὶ Mb.

Digitized by Google

Aliter.

Γεωργὸς καὶ πελαργός.

Ἐν τῇ ἀρούρῃ γεωργὸς πάγας ἵστη
εἰς τὸ θηρεῦσαι γεράνους τε καὶ χῆνας
τὰς ἐσθιούσας τὰ βλάστη τῆς ἀρούρης.
Ὁ δὲ σὺν αὐτοῖς καὶ πελαργὸν εἰλήφει,
ὅστις ἐκθλασθεὶς αὐτοῦ τὸν ποῦν τὸν ἕνα
καθικέτευεν αὐτὸν ἀπολυθῆναι,
καὶ δὴ πρὸς αὐτὸν τοιαῦτα ἀνεβόα·
« Σῶσον, ὦ ἄνερ, ἀπόλυσον ἐντεῦθεν,
ἐλέησόν με τὸν κατακεκλασμένον.
Νῦν οὖν καθῖσα γενόμενος ἐνταῦθα·
οὐ γάρ γέρανός εἰμι· δεῦρο καὶ ἰδέ·
πελαργός εἰμι, εὐσεβέστατον ζῷον,
ὅστις πατέρι καὶ μητέρι δουλεύω.

Codd. Ch 54 Ca 76 Cb 47 Cd 44 Ce 49 Cf 53 Mc 46 Ml 71.

1 ἰδίᾳ ἀρούρῃ Ml || ἀρούρᾳ Cb Cd Mc || γεωργός τις Ca Ce Cf Ml || ἵσθη Cf ἐσθίει Mc || **2** τε om. Cf Ml || **3** τὰς λυμενομένας Ce || τὰ βλαστήματα Ca τοὺς βλαστοὺς Ml || τὰς ἀρούρας Cb τῆς ἀρούρας Cd Mc τῆς ἀρούρης (-ρὰς Cf) αὐτοῦ Ce Cf Ml || **4** Ὁ δὲ σὺν αὐτοῖς καὶ πελαργὸν εἴληφεν Ce Cf Ml εἴληφεν in εἰλήφει mutaui || Ὡς δὲ σὺν αὐτοῖς καὶ πελαργὸς ἐλήφθη Ch Ca Mc Εἰ δὲ ... συλήφθην Cb Σὺν αὐτοῖς δὲ καὶ πελαργὸς ἐλήφθη Cd || **5** ὅστις καὶ ἐθλάσθη τὸν ποῦν αὐτοῦ τὸν ἕνα Ca ὅστις ἐκθλασθεὶς τὸν ἕνα ποῦν (πόδα Cd) Cb Cd Mc ὅστις ἐκθλασθεὶς τὸν πόδα αὐτοῦ (αὐτοῦ om. Ce) τὸν ἕνα Ce Cf ὅστις ἐκθλασθεὶς τὸν ἕνα ποῦν ἐν βρόχοις Mc ἐκθλασθεὶς ... ἕνα om. Ml || **6** καθικέτευε τῷ γεωργῷ (τὸν γεωργὸν Cd) ἀπολυθῆναι τοῦτον Cb Cd || ἱκέτευε τῷ γεωργῷ ἀπολυθῆναι, omisso αὐτὸν Mc || **7** Καὶ δὲ Ca || Καὶ πρὸς ἑαυτὸν Cd || τοιαῦτα om. Ce || **8** ὦ om. Ca Ce Cf Ml || ὦ ἄνθρωπε Cd || ἐνταῦθα Ca || ἐντεῦθεν om. Ce Cf Ml || **9** με om. Ca Ce Cf κατακλασμένον Cb uersum 9 om. Cd Ce Cf Ml || **10** κατῆλθον Ca κάτιδε Cb κάθιδε Mc || ἐντεῦθεν Mc || uersum 10 om. Ce Cf Ml || **11** οὐ γὰρ Cd om. Ce μὴ γὰρ ceteri || οἶδε Mc || δεῦρο καὶ ἴδέ om. Cd Ce Cf Ml || **12** πελαργὸς δέ εἰμι, ζῶον εὐσεβέστατον Cd || εὐγενέστατον Mc || **13** ὅστις om. Ce Mc || πατέρα καὶ μητέρα Ch Cb Ce Cf Mc Ml μητέρι καὶ πατέρι Ca || πατέρι τε καὶ μητέρι δουλεῦον omisso ὅστις Cd || δουλεύων Ca Cb Ce Mc.

Digitized by Google

Ὅρα καὶ χροιὰν ὡς οὐχ ὁμοία τούτων. »
Ὁ δὲ γεωργὸς μέγα γελάσας ἔφη·
« Οἶδά σε κἀγὼ οὐδ' ὅλως ἀγνοῶ σε·
ἐπιγινώσκω καὶ τίς ὑπάρχεις οἶδα,
ἀλλὰ συλληφθεὶς μετ' αὐτῶν καὶ τεθνήξῃ. »

Ὁ μῦθος δηλοῖ ὅτι καλόν ἐστι φεύγειν καὶ μὴ συγκοινωνεῖν τοῖς κακοῖς ἀνδράσι, μήπως σὺν αὐτοῖς κινδύνοις περιπέσωμεν.

14 ὥραν Ch || τηρῶ καὶ χρείαν οὐχὶ μίαν τούτων Ca ὥραν καὶ χρώαν ὡς οὐχ ὁμοίαν τούτων Cb τῇ ὥρᾳ δὲ καὶ τῇ χροιᾷ οὐχ ὅμοιος τοῖς γεράνοις τυγχάνω Cd ὥραν καὶ χρόαν οὐχ ὁμοίαν τούτων Mc || uersum om. Ce Cf Ml || **15** μεγάλα Ca μεγάλως Ce Cf Ml || **16** Εἶδον Ce Cf Ml || οὐκ ἀγνοῶ σε Ce Cf || καὶ οὐδ' Ml || **17** καὶ τίς ὑπάρχεις σὺ ἐπίσταμαι καλῶς, omisso ἐπιγινώσκω Cd || ἐπιγινώσκω (ἐπεὶ γινώσκω Cf) σε τὸ (τὸ om. Ce) τίς εἶ, omisso οἶδα Ce Cf || ἀγνοῶ τὸ τίς εἶ, omisso ἐπιγινώσκω καὶ τίς ὑπάρχεις Ml || οἶδα om. Ca || **18** συνελήφθης Ca || ὁμοῦ μετ' αὐτῶν Cd || τεθνήξει Mc || **19** Ὅτι καλόν ἐστι τὸ μὴ συγκοινωνεῖν Cb || Καλόν ἐστι μὴ συγκοινωνεῖν τοῖς κακίστοις Cd || τοῦ φεύγειν Cf || φεύγειν καὶ om. Mc || **20** κακίστοις Ch Cb Mc || σὺν αὐτῷ Ch || σὺν αὐτοῖς καὶ ἡμεῖς δεινοῖς περιπέσωμεν Ca || καὶ δεινοῖς pro κινδύνοις Cf Ml || **21** περιπέσωσιν Ml || **19-21** Ὁ μῦθος δηλοῖ οἱ καλοὶ κακοῖς ἀνδράσι μὴ συγκοινωνείτωσαν, μή πως σὺν αὐτοῖς καὶ δεινοῖς περιπέσωμεν Ce.

Aliter.

Ἐν τῇ ἀρούρᾳ γεωργὸς πάγας ἵστα, ὅπως γεράνους ἠδὲ χῆνας θηρεύῃ, τὰς ἐσθιούσας τὰ βλάστη τῆς ἀρούρας. Σὺν τούτοις οὖν καὶ πελαργὸς κατελήφθη τῇ πάγῃ, ὃς θάτερον τῶν ποδῶν ἐν αὐτῇ συνθλασθεὶς πολλὰ καθικέτευε τὸν γεωργὸν ἐλευθερῶσαι αὐτόν, λέγων τοιαῦτα· « Ὦ γεωργέ, ἐλέησόν με τὸν συντεθλασμένον φέροντα τὸν πόδα καὶ ἀπόλυσόν με· οὐ γὰρ ἐγὼ γέρανος, οὐδὲ χήν, ἀλλὰ πελαργός, εὐγενέστατος ὄρνις εἰμὶ γονεῦσι δουλεύων, ὥραν καὶ χρόαν οὐχ ὁμοίαν τούτοις κεκτημένος. » Ὁ δὲ γεωργὸς γελάσας ἔφη· « Οἶδα κἀγὼ ὅτι πελαργὸς εἶ, ἀλλὰ συλληφθεὶς μετ' αὐτῶν καὶ τεθνήξει σὺν αὐτοῖς. »
Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ τοῖς χείροσι συναναστρέφεσθαι, μή πως σὺν αὐτοῖς κινδύνοις περιπέσωμεν.

Cod. Mk 50. Haec fabula sine dubio uersibus scripta fuit.

3 πελαργοὺς cod.

Digitized by Google

Aliter.

Γεωργὸν ἠδίκουν οἱ γέρανοι τὰ καταβαλλόμενα τῇ γῇ προαρπάζοντες σπέρματα. Πελαργὸς δέ τις τοῖς γεράνοις συνῆν τῆς μὲν διατριβῆς κοινωνῶν, τῆς δὲ βλάβης οὐ μετασχών. Ἀπειπὼν δὲ πρὸς τὴν βλάβην ὁ γεωργός, βρόχους στήσας, μετὰ τῶν γεράνων εἷλε καὶ τὸν πελαργόν, καὶ δίκην ὑπεῖχεν ὧν οὐδὲν προηδίκησε.
Ὁ μῦθος δηλοῖ ὅτι ὁ τοῖς πονηροῖς συνὼν τὴν αὐτὴν αὐτοῖς ὑφίσταται δίκην.

Cod. Mj 39.

1 αἱ γέρανοι cod. || καταβαλόμενα cod. || **5** στήσαντος cod.

Aliter.

Ἀρούρῃ παγίδας γεωργὸς ἔστησε. Θηρεύσας δὲ γεράνους τοὺς τὸν σπόρον φθείροντας, σὺν αὐτοῖς καὶ πελαργὸν εἰλήφει. Ὁ δὲ χωλεύων ἱκέτευεν ἀφεθῆναι, λέγων· « Οὐ γάρ εἰμι γέρανος· πελαργός εἰμι, εὐσεβέστατον ζῷον, ὃς τιμῶ τὸν πατέρα καὶ δουλεύω. Ἰδὲ καὶ τὴν χροιὰν ὡς οὐχ ὁμοία. » Ὁ δὲ ἔφη· « Οὐκ οἶδα τί λέγεις· ἐγὼ σὺν οἷς εἴληφά σε, μετ' αὐτῶν σε καὶ ἀπολέσω. »
Ὅτι καλόν ἐστι φεύγειν καὶ μὴ συγκοινωνεῖν ἀνδράσι κακοῖς, μή πως κινδύνοις σὺν αὐτοῖς ἐμπαρῇς.

Codd. Ba 14 Bb 9 Mg 25.

1 ὁ γεωργός Bb || **2** τὰς .. φθείρουσας Bb || **3** λέγων ἀφεθῆναι (-θεῖναι Bb) libri : λέγων transposui || **4** πελαργὸς δὲ (sine εἰμι) Mg || **5** ὡς om. Mg || **7** μετ' αὐτῶν δέ σε Ba || **9** ἐμπαρείς Ba ἐμπαρῇ Mg.

Aliter.

Ἀρούρῃ παγίδας γεωργὸς ἐστήσατο κατὰ τῶν τὸν σπόρον βιβρωσκομένων γεράνων. Σὺν αὐταῖς οὖν εἰλήφει καὶ πελαργόν. Ὁ δὲ θερμῶς ἠντιβόλει τοῦ ἀφεθῆναι· « Οὐ γάρ εἰμι γέρανος, » ἔλεγεν, « ἀλλὰ πελαργός, τὸ εὐσεβέστατον ζῷον καὶ τοῖς πατράσιν εὐνοϊκώτατον. Ἰδὲ γάρ μου καὶ τὴν χροιὰν ὡς οὐχ ὁμοία ἐκείναις. » Ὁ δὲ ἔφη· « Οὐκ οἶδα τί λέγεις. Ἔγωγε σὺν αὐταῖς σε κατέσχον καὶ τὴν ὁμοίαν ψῆφον ἐπιτάξαι σοι μέλλω. »
Ὅτι ἐπισφαλὲς τὸ συγκοινωνεῖν κακοῖς καὶ ἐπικίνδυνον.

Cod. Bc 12.

Digitized by Google

286

Ὀρνιθοθήρας καὶ πέρδιξ.

Ὀρνιθοθήρας, ὀψιαίτερον αὐτῷ ξένου παραγενομένου, μὴ ἔχων ὅ τι αὐτῷ παραθείη, ὥρμησεν ἐπὶ τὸν τιθασσὸν πέρδικα καὶ τοῦτον θύειν ἔμελλε. Τοῦ δὲ αἰτιωμένου αὐτὸν ὡς ἀχάριστον, εἴγε πολλὰ ὠφελούμενος παρ' αὐτοῦ τοὺς ὁμοφύλους ἐκκαλουμένου καὶ παραδιδόντος, αὐτὸς ἀναιρεῖν αὐτὸν μέλλει, ἔφη· « Ἀλλὰ διὰ τοῦτό σε μᾶλλον θύσω, εἰ μηδὲ τῶν ὁμοφύλων ἀπέχῃ. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ τοὺς οἰκείους προδιδόντες οὐ μόνον ὑπὸ τῶν ἀδικουμένων μισοῦνται, ἀλλὰ καὶ ὑπὸ τούτων οἷς προδίδονται.

Cod. Pa 193.

287

Ὄρνις καὶ χελιδών.

Ὄρνις ὄφεως ᾠὰ εὑροῦσα, ταῦτα ἐπιμελῶς ἐθέρμαινε καὶ μετὰ τὸ θερμᾶναι ἐξεκόλαψε. Χελιδὼν δὲ θεασαμένη αὐτὴν ἔφη· « Ὦ ματαία, τί ταῦτα ἀνατρέφεις ἅπερ, ἂν αὐξηθῇ, ἀπὸ σοῦ πρώτης τοῦ ἀδικεῖν ἄρξεται; »

Codd. Pa 194 Pb 188 Pf 106 Pg 121 Ma 9 Mb 140 Me 138 Mf 114 Ca 145 La 121 Lb 107 Le 107 Lf 121 Lh 58 Mg 130 Mj 128 Ml 132,

1 ᾠὰ om. Mb || εὑρὼν Ca || καὶ ταῦτα Pg Ma Mb Ca || ταῦτα om. Pb L Mg Mj Ml || ἐπιμελῶς ἐκθερμάνασα (θερ- Ma) ἐξεκόλαψε (ἐξεκάλυψε Pg Mb Ca Le ἐξέθρεψεν Pf Me Mf) libri excepto Pa || **2** αὐτὴν θεασαμένη Ca || **3** αὐτῶν Lh || ἐκτρέφεις Pf Pg Mb Me Mf || τρέφεις ἅπερ αὐξηθέντα L Mg Mj Ml || ἂν αὐξήσῃ Pf Me Mf || ἅ, ἐὰν αὐξηθῶσιν Ma || **4** πρώτης om. Ma || τὸ ἀδικεῖν Pb Pg Ca || ἄρξηται Pa ἄρξονται Ma Ca Lh.

Digitized by Google

Οὕτως ἀτιθάσσευτός ἐστιν ἡ πονηρία, κἂν τὰ μάλιστα εὐεργετῆται.

5 Ὄντως Pa || Ὁ μῦθος δηλοῖ ὅτι (Ὅτι Lf) ἀτιθάσσευτός L Mg Mj Ml || ἐστιν om. Pa || καὶ τὰ μάλιστα Le || τὰ μέγιστα Mg Mj || 6 εὐεργετεῖται Ma Me Lf.

288

Ὄρνις χρυσοτόκος.

Ὄρνιθα δέ τις πάνυ καλλίστην εἶχεν,
ἥτις ἔτικτεν ἀεὶ ᾠὰ χρυσέα.
Ὁ δὲ νομίσας χρυσὸν ἔνδον ὑπάρχειν
σφάξας πάραυτα εὗρε ταύτην ὁμοίαν
ὥσπερ τὰ λοιπὰ ὑπάρχειν τῶν ὀρνίθων.
Ὁ δὲ τὸν πλοῦτον εὑρηκέναι νομίσας
ἀπεστέρηται καὶ τοῦ μικροῦ τοῦ κέρδους.

Ὁ μῦθος δηλοῖ ὅτι ἔχων τι ἀρκέσθητι ἐπὶ τούτῳ, τὴν δὲ ἀπληστίαν φεῦγε, μή πως καὶ ὃ ἔχεις ἀπολέσῃς.

Codd. Cg 27 Ch 102 Ca 153 Cb 82 Mc 81.

1 ἔχουσαν Cb ἔχον Mc || 2 ἔτεκεν Mc || χρυσᾶ ᾠά Ca || ᾠὰ δὲ Cb || 3 Ἡ δὲ Cb || ἔνδον χρυσόν (-σοῦν Cb Mc) libri excepto Cg || 4 σφάξαι Cb || παρευθὺς Ca πάραυθα Mc || αὐτὴν omisso ὁμοίαν Ca || 5 ὥσπερ τῶν λοιπῶν τυγχανόντων (τυγχάνων τῶν Mc) ὀρνίθων Ch Cb Mc ὥσπερ καὶ αἱ λοιπαὶ τυγχάνουσιν ὄρνιθες Ca || 6 Καὶ πλοῦτον Ca || ἐλπίσας Ch || 7 ἀπεστέρητο Ch -ρήθη Ca || ἀπεστέρησεν καὶ τοῦ μικροῦ τὸ κέρδος Cb || 8 Ὅτι Cb || ἀρχεσθήτω (-κευθήτω Mc) ἐπὶ τοῦτο Cb Mc || 9 ἔκφευγε Ch || ἔχῃς Cg || 8-9 Ὁ μ- δ- ὅτι δεῖ τὸν ἔχοντά τι ἀρκεῖσθαι τούτῳ, τὴν δὲ ἀπληστίαν ἐκφεύγειν, μή πως καὶ ὃ ἔχει ἀπολέσῃ Ca.

Aliter.

Χρυσοῦν ᾠὸν ἔτεκεν ὄρνις ἐν χρόνῳ·
καί τις πλανηθεὶς χρυσεραστὴς τὰς φρένας
αὐτὴν τοῦ εὑρεῖν χρυσὸν πολὺν ἀνεῖλεν.

Cod. Mh 92.

1 χρυσίον cod. || 2 χρυσερασθεὶς cod. || 3 ἀνεῖλεν αὐτὴν: transposui ἀνεῖλεν in finem uersus || χρυσὸν πολὺν nos χρυσίον πολὺ cod.

Digitized by Google

Ὡς δ' εὗρεν αὐτὴν μεμεστωμένην κόπρῳ,
κατηφὴς ἐγένετο καὶ τεθλιμμένος.
Πολλ' ἐλπίσας καὶ τοῦ μικροῦ ἐστερήθη.

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι καὶ τὴν ἀπληστίαν φεύγειν.

5 ἀφανὴς ἐγένετο καὶ τεθλημμένος cod. correxi || 6 ἐλπίσας πολλῶν καὶ τὸ μικρὸν στέρηται cod. correxi.

Aliter.

Ὄρνιν τις εἶχε καλὴν χρυσᾶ ᾠὰ τίκτουσαν· νομίσας δὲ ἔνδον αὐτῆς ὄγκον χρυσίου εἶναι καὶ θύσας εὗρεν οὖσαν ὁμοίαν τῶν λοιπῶν ὀρνίθων. Ὁ δὲ ἀθρόον πλοῦτον ἐλπίσας εὑρεῖν καὶ τοῦ μικροῦ κέρδους ἐστερήθη.
Ὅτι τοῖς παροῦσιν ἀρκείσθω τις καὶ τὴν ἀπληστίαν φευγέτω.

Codd. Ba 112 Bb 68 La 140 Lc 45 Lg 45 Mi 7 Mm 109.

1 Ὄρνιν Ba Ὀρνιθά ceteri || καλὴν om. L Mi Mm || ᾠὰ χρυσᾶ L Mi Mm || καὶ νομίσας L Mi Mm || **2** αὐτοῖς Bb Mi || εἶναι, κτείνας εὕρηκεν ὁμοίαν L Mi Mm || **3** ἀθρῶον Bb || **4** εὑρήσειν La Lc || μικροῦ ἐστέρηται ἐκείνου omisso κέρδους L Mi Mm || ἐστερήθη Bb -ρητο Ba || **5** Ὁ μῦθος δηλοῖ ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι καὶ τὴν ἀπληστίαν φεύγειν L Mi Mm || **6** φευγέτωσαν Ba || **5-6** Ὅτι παιδείας ἀμύητος ὑπάρχων, πῶς ἑτέρους παιδεύσει καὶ διορθώσεται; Bb : Hoc est epim. fabulae βάτραχος ἰατρός quae in Bb deest, siue quod librarius illam omisit, siue quod folium unum ex codice excidit.

Aliter.

Χὴν χρυσοτόκος.

Ἑρμῆς θρησκευόμενος ὑπό τινος περιττῶς χῆνα αὐτῷ ἐχαρίσατο ᾠὰ χρυσᾶ τίκτουσαν. Ὁ δὲ οὐκ ἀναμείνας τὴν κατὰ μικρὸν ὠφέλειαν, ὑπολαβὼν δὲ ὅτι πάντα τὰ ἐντὸς χρυσᾶ ἔχει ὁ χήν, οὐδὲν μελλήσας ἔθυσεν αὐτήν. Συνέβη δὲ αὐτῷ μὴ μόνον ὧν προσεδόκησε σφαλῆναι, ἀλλὰ καὶ τὰ ᾠὰ ἀποβαλεῖν· τὰ γὰρ ἐντὸς πάντα σαρκώδη εὗρεν.

Codd. Pa 84 Pb 88 Pe 52.

1 Ἑρμῆς θηρευόμενος ὑπό τινος ἐπὶ πολλὰς χῆν αὐτῇ ἐχαρίσθη ᾠὰ χρυσᾶ τίκτουσα. Ὁ δὲ κτείνειν ἐν τὴν κατὰ μικρὸν ὠφέλειαν Pe || **2** χρύσεια Pa -σεα Pb || **4** χρύσεα ἔχει Pb || οὐδὲν ἀμελήσας Pb || ἐθοίνησεν αὐτόν Pe || αὐτόν pro αὐτήν Pa || **5** δ' αὐτὸν Pb || ὃ προσεδόκησε Pb || ὃ προσεπήδησεν ἀφέληται, ἀλλὰ καὶ τὰ ᾠὰ ἀναλαβεῖν· οὕτω ποιήσας τὰ ἐντὸς πάντα σαρκώδη εὗρεν Pe.

Digitized by Google

Οὕτω πολλάκις οἱ πλεονέκται δι' ἐπιθυμίαν πλειόνων καὶ τὰ ἐν χερσὶν ὄντα προΐενται.

8 πάντα pro ὄντα Pe || προΐονται Pa.

289

Οὐρὰ καὶ μέλη ὄφεως.

Οὐρά ποτε ὄφεως ἠξίου πρώτη προάγειν καὶ βαδίζειν. Τὰ δὲ λοιπὰ μέλη ἔλεγον· « Πῶς χωρὶς ὀμμάτων καὶ ῥινὸς ἡμᾶς ἄξεις, ὡς καὶ τὰ λοιπὰ ζῷα ; » Ταύτην δὲ οὐκ ἔπειθον, ἕως τὸ φρονοῦν ἐνικήθη. Ἡ οὐρὰ δὲ ἦρχε καὶ ἦγε, σύρουσα τυφλὴ πᾶν τὸ σῶμα, ἕως εἰς βάραθρον πετρῶν ἐνεχθεῖσα, τὴν ῥάχιν καὶ πᾶν τὸ σῶμα ἐπλήγη. Σαίνουσα δὲ ἱκέτευε τὴν κεφαλὴν λέγουσα· « Σῶσον ἡμᾶς, εἰ θέλεις, δέσποινα· τῆς γὰρ κακῆς ἔριδος ἐπειράθην. »

Ἄνδρας δολίους καὶ κακοὺς καὶ τοῖς δεσπόταις ἐπανισταμένους ὁ μῦθος ἐλέγχει.

Codd. Ba 116 Bb 69.

3 Ταύτης δὲ Bb || 4 ἠνικήθην Bb || 6 ἔπληγεν Bb || 7 λέγουσα om. Ba || 8 τῆς κακῆς γὰρ Bb || 9 Ὅτι ἄνδρας Ba || ἐπανισταμένοις Bb.

Aliter.

Δράκοντος ἡ οὐρὰ τῇ κεφαλῇ ἐστασίασεν, ἀξιοῦσα ἡγεῖσθαι παρὰ μέρος καὶ μὴ διὰ πάντος ἀκολουθεῖν ἐκείνῃ. Λαβοῦσα δὲ τὴν ἡγεμονίαν ἑαυτήν τε κακῶς ἀπήλλαττε ἀνοίᾳ πορευομένη καὶ τὴν κεφαλὴν κατέξαινε τυφλοῖς καὶ κωφοῖς μέρεσιν ἀναγκαζομένην παρὰ φύσιν ἕπεσθαι.

Ὁ λόγος δηλοῖ ὅτι οἱ πρὸς χάριν ἅπαντα πολιτευόμενοι τοιαῦτα πάσχουσι.

Cod. Mb 40.

1 ἀξιοῦσα nos ἐξιοῦσα cod. || 3 Λαβοῦσα δὲ nos Λαβοῦσάν τε cod. || ἀπήλλαττε nos ἀπαλλάττειν cod. || 4 πορευομένην cod. || κατέξαινε nos καταξένειν cod.

Digitized by Google

290

Ὄφις καὶ γαλῆ καὶ μύες.

Ὄφις καὶ γαλῆ ἔν τινι οἰκίᾳ ἐμάχοντο. Οἱ δὲ ἐνταῦθα μύες ἀεὶ καταναλισκόμενοι ὑπὸ ἀμφοτέρων, ὡς ἐθεάσαντο αὐτοὺς μαχομένους, ἐξῆλθον βαδίζοντες. Ἰδόντες δὲ τοὺς μύας, τότε ἀφέντες τὴν πρὸς ἑαυτοὺς μάχην, ἐπ' ἐκείνους ἐτράπησαν.

Οὕτω καὶ ἐπὶ τῶν πόλεων οἱ ἐν ταῖς τῶν δημαγωγῶν στάσεσιν ἑαυτοὺς παρεισβάλλοντες λανθάνουσιν αὐτοὶ ἑκατέρων παρανάλωμα γινόμενοι.

Codd. Pa 199 Pb 193 Pf 109 Mb 169 Me 142 Mf 118.

1 οἰκίας Mb || ἐκεῖσε μύες Pf Me Mf || **2** κατηναλίσκοντο Pb || ὡς ἐθεάσαντο τὴν μάχην, εἰς θέαν ἐξῄεσαν. Οἱ δὲ τούτους θεασάμενοι, ἀφέντες Mb || **3** αὐτοὺς ... ἰδόντες (ἰδόντες δὲ Pa) om. Pa Pb || **4** τότε om. Pa Pb Mb || **6** καὶ οἱ ἐπὶ Pa || ἐπὶ τῶν πόλεων om. Pf Me Mf || τῶν ante δημαγωγῶν om. Pb || **7** στάσιν Mb || παρεισβάλλοντες Pf παρεισκυλίοντες Pa Mb περισκύλλαντες Pb παραβάλλοντες Me Mf || λανθάνουσιν ἑαυτοῖς (-τοὺς Mb) Pb Mb || **8** γενόμενοι Pb.

291

Ὄφις καὶ καρκῖνος.

Ὄφις καὶ καρκῖνος ἐν ταὐτῷ διέτριβον. Καὶ ὁ μὲν καρκῖνος ἁπλῶς τῷ ὄφει καὶ εὐνοϊκῶς προσεφέρετο· ὁ δὲ ἀεὶ ὕπουλός τε καὶ πονηρὸς ἦν. Τοῦ δὲ καρκίνου συνεχῶς αὐτῷ παραινοῦντος ἐξαπλοῦσθαι τὰ πρὸς αὐτὸν καὶ τὴν αὐτοῦ διάθεσιν μιμεῖσθαι, ἐκεῖνος οὐκ ἐπείθετο. Διόπερ

Codd. Pa 198 Pb 192 Pf 108 Pg 122 Mb 168 Me 141 Mf 117.

1 καρκῖνος, non καρκίνος codd. || **2** καὶ ante εὐνοϊκῶς om. Pb || ὁ δὲ ὄφις ἀεὶ Pb Mf || **3** τε om. Pg Mb || **4** αὐτὸν παραινοῦντος Pa Mb || τὰ κατ' αὐτὸν Pg Mb || αὐτὸν κατὰ τὴν αὐτοῦ διάθεσιν ὑποκείμενον, ἐκεῖνος Pb || **5** ἐκεῖνος δὲ Pg || ἐπεύθετο Pb || Διόπερ ὁ καρκῖνος Pb.

Digitized by Google

ἀγανακτήσας, παρατηρησάμενος αὐτὸν κοιμώμενον, τοῦ φάρυγγος ἐπιλαβόμενος ἀνεῖλε καὶ ἰδὼν αὐτὸν ἐκτεταμένον, εἶπεν· « Ὦ οὗτος, οὐ νῦν σε ἐχρῆν ἁπλοῦν εἶναι, ὅτε τέθνηκας, ὅτε δέ σοι παρῄνουν· καὶ οὐκ ⟨ἂν⟩ ἀνῄρησο. »

Οὗτος ὁ λόγος εἰκότως ἂν λέγοιτο ἐπ' ἐκείνων τῶν ἀνθρώπων οἳ παρὰ τὸν ἑαυτῶν βίον εἰς τοὺς φίλους πονηρευόμενοι μετὰ τὸν θάνατον εὐεργεσίας κατατίθενται.

6 καὶ τοῦ φάρυγγος Pf Me Mf || **7** ἀνεῖλε καὶ ἰδὼν αὐτόν Pg ἀνεῖλε om. ceteri || καὶ om. Pa Pb Mb || εἶδεν Pb || **8** καὶ ἔφη pro εἶπεν Pb || χρὴ Pb ἐχρῆ Pf || ἕως pro εἶναι Pa || **9** ἀλλ' ὅτε σοι Pb || σε Mb || καὶ om. Pa Pg Mb || οὐκ ἀνῄρησο Pa Me οὐκ ἂν ᾕρησο Pf οὐκ ἐπήκουες Pb Mf οὐκ ἐπίθου (ἐπείθου Mb) Pg Mb || **11** περὶ τὸν Pg || **12** μετὰ θάνατον Pb Pg Mb || **10-12** Οἱ παρὰ τὸν ἑαυτῶν βίον εἰς τοὺς φίλους πονηρευόμενοι ἑαυτοῖς τῶν κακῶν γίνονται αἴτιοι Pf Me Mf.

Aliter.

Ὄφις καρκίνῳ συνδιῃτᾶτο, ἑταιρείαν πρὸς αὐτὸν ποιησάμενος. Ὁ μὲν οὖν καρκῖνος ἁπλοῦς ὢν τὸν τρόπον, μεταβαλέσθαι κἀκείνῳ παρῄνει τῆς πανουργίας. Ὁ δὲ οὐδοτιοῦν ἑαυτὸν παρεῖχε πειθόμενον. Ἐπιτηρήσας δ' ὁ καρκῖνος αὐτὸν ὑπνοῦντα καὶ τοῦ φάρυγγος τῇ χηλῇ λαβόμενος καὶ ὅσον οἷόν τε πιέσας, φονεύει. Τοῦ δ' ὄφεως μετὰ θάνατον ἐκταθέντος, ἐκεῖνος εἶπεν· « Οὕτως ἔδει καὶ πρόσθεν εὐθὺν καὶ ἁπλοῦν εἶναι· οὐδὲ γὰρ ἂν ταύτην τὴν δίκην ἔτισας. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τοῖς φίλοις σὺν δόλῳ προσιόντες αὐτοὶ μᾶλλον βλάπτονται.

Codd. La 71 Lb 98 Le 98 Lf 71 Lh 50 Md 125 Mg 122 Mi 99 Mj 121 Ml 124 Mm 117.

1 συνδιαιτᾶτο Mm || καὶ ἑταιρείαν Md Mi || ἑταιρίαν Lh Md Mj Mm || **3** κἀκεῖνον μεταβαλέσθαι (-βάλλεσθαι Mm) παρῄνει Md Mi Mm || κἀκεῖνον La Le Lh Mj Ml || **5** καὶ τοῦ φάρυγγος .. λαβόμενος om. La Lf Mg || **7** Οὗτος Mm || **8** εὐθῆ libri exceptis La Mg || ἁπαλοῦν Md || **10** Ὁ μῦθος ὅτι Lb Le Mm Ὅτι Mg || τοὺς φίλους Md Mi || σὺν om. Lh || προσιόντες σὺν δόλῳ Le.

Digitized by Google

292

Ὄφις πατούμενος καὶ Ζεύς.

Ὄφις ὑπὸ πολλῶν πατούμενος ἀνθρώπων τῷ Διὶ ἐνετύγχανε περὶ τούτου. Ὁ δὲ Ζεὺς πρὸς αὐτὸν εἶπεν· « Ἀλλ' εἰ τὸν πρότερόν σε πατήσαντα ἔπληξας, οὐκ ἂν ὁ δεύτερος ἐπεχείρησε τοῦτο ποιῆσαι. »

Ὁ λόγος δηλοῖ ὅτι οἱ τοῖς πρώτοις ἐπιβαίνουσιν ἀνθιστάμενοι τοῖς ἄλλοις φοβεροὶ γίνονται.

Codd. Pb 194 Pg 123 Mb 170 Ca 149 La 123 Lb 109 Le 109 Lf 123 Lh 59 Me 139 Mf 115 Mg 132 Mj 130 Ml 120.

1 ὑπὸ πολλῶν πατούμενος ἀνθρώπων Pb Ca ὑπ' ἀνθρώπων πολλῶν π- Le ὑπὸ πολλῶν ἀνθρώπων π- ceteri || ἐτύγχανεν Le Ml || **2** περὶ τούτου Pb om. ceteri || **3** τὸν πρῶτον Me Mf || σε Pg Mb Ca Ma Mc Mf om. ceteri || **4** σοι τοῦτο Ca || **5** Ὅλως δηλοῖ Ca || Ὁ μῦθος ὅτι οἱ τῶν πρώτως Le || οἱ om. Me Mf || τοῖς πρώτοις Pb Pg Mb Ca Lh Mj τοῖς προτέροις Ml τοῖς πρότερον ceteri || πρώτοις ἀνθρώποις Ca || ἐπιβαίνοντες, omisso ἀνθιστάμενοι Pb || ἐπιβαίνουσιν om. Pg Ca || ἀμυνόμενοι pro ἀνθιστάμενοι Pg Mb Ca.

293

Παιδίον ἐσθίον σπλάγχνα.

Βοῦν τινες ἐπ' ἀγροῦ θύοντες τοὺς συγγενεῖς ἐκάλεσαν· ἐν δὲ τούτοις ἦν τις καὶ γυνὴ πενιχρά, μεθ' ἧς καὶ ὁ παῖς εἰσῆλθε. Προϊούσης δὲ τῆς εὐωχίας, τὸ παιδίον διὰ χρόνου

Codd. Pa 47 Pb 47 Pc 19 Pe 21 Pg 25 Ma 32.

1 ἐπ' ἀγρῷ θύσαντες Ma || τοὺς γειτνιῶντας Pe || ἐκάλουν Pc || **2** τις om. Pe Ma || καὶ om. Pc Pg || καὶ γυνὴ ἦν πενιχρά Pe || καὶ ὁ παῖς nos καὶ ἀλλότριος παῖς Pa Pe Pg καὶ ἀλλοτρίας παῖς Pb Pc || καὶ ὁ παῖς προσῆλθεν εἰς εὐωχίαν Ma || **3** ἦλθεν Pe || Προσιούσης Pb Pc Pe || δὲ om. Pb οὖν Pe || Προιούσης .. εὐωχίας om. Ma || τὸ παιδίον om. Pg || Τὸ δὲ παιδίον τῶν κρεῶν πλήσας τὴν γαστέρα καὶ ὀδυνόμενος ἔλεγεν Ma || διὰ χρόνου πολλοῦ πληρωθέντων τῶν σπλάγχνων καὶ τοῦ οἴνου ἐξῳδήκει καὶ δὴ βασανιζόμενος ἔλεγεν Pg || διὰ τοῦ χρόνου Pc.

Digitized by Google

πληρωθὲν τῶν σπλάγχνων καὶ τοῦ οἴνου, [ἐπειδὴ προειστιᾶτο,] καὶ διαβασανιζόμενον ἔλεγεν· « Ὦ μῆτερ, ἐμῶ τὰ σπλάγχνα. » Ἡ δὲ εἶπεν· « Οὐχὶ τὰ σά, τέκνον, ἃ δὲ κατέφαγες. »

Οὗτος ὁ λόγος ἁρμόττει πρὸς ἄνδρα χρεωφειλέτην, ὅστις ἑτοίμως τὰ ἀλλότρια λαμβάνων, ὅταν ἀποτίνειν δέῃ, οὕτως ἀπέχθεται ὡς οἴκοθεν προιέμενος.

4 πληρώσαντος τοῦ παιδίου τὴν γαστέρα τοῦ οἴνου καὶ βασανιζόμενον ἔλεγε Pe || καὶ τῶν σπλάγχνων Pb || ἐπειδὴ προειστιᾶτο (προεσ- Pa) glossema delendum || προσέστη αὐτὸ καὶ δὴ βασανιζόμενον Pb προέστη αὐτῇ τὸ διαβασανιζόμενον Pc || **5** διαβασανιζόμενος Pa || ἐμῶ om. Pa Pe Pg, Ma || **6** Ἡ δὲ μήτηρ ἔλεγεν Pe || οὐχ ὅτι τὰ σπλάγχνα τὰ σά, τέκνον, κατέφαγε, ἀλλὰ τὰ ἐμά Pe || ὦ τέκνον om. Pb Pe Pg || ἀλλ' ἃ Pb || ἃς pro ἃ δὲ Ma || **8** Ὁ λόγος πρὸς ἄνδρα Ma || Οὗτος om. Pe || ἁρμόζει Pb Pe || **9** ἑτοίμως ἀλλότρια ἐλάμβανεν, ὅταν δὲ ἀπαιτῆται, οὕτως ἄχθεται .. Pe || ὅταν ἀπαιτηθεῖ ταῦτα, οὕτως ἄχθεται Ma || δέοι Pa || **10** οὕτω ἀπέχθηται Pa Pb || προσιέμενος Pc.

Aliter.

Βοτῆρες ἐπ' ἀγρῷ θύοντες αἶγα τοὺς σύνεγγυς ἐκάλεσαν. Σὺν αὐτοῖς δὲ ἦν καὶ γυνὴ πενιχρά, μεθ' ἧς καὶ ὁ παῖς αὐτῆς. Προϊούσης δὲ τῆς εὐωχίας, τὸ παιδίον ὀγκωθὲν τὴν γαστέρα ἐκ τῶν κρεῶν, ὀδυνώμενον ἔλεγεν· « Ὦ μῆτερ, τὰ σπλάγχνα ἐμῶ. » Ἡ δὲ μήτηρ αὐτοῦ εἶπεν· « Οὐχὶ τὰ σά, τέκνον, ἃ δὲ κατέφαγες. »

Codd. Ca 40 Cb 29 Cc 29 Cd 29 Ce 27 Cf 31 Ch 36 Mc 32 Md 34 Mi 69 Mj 29 Mk 33 Ml 31.

1 Βοτήρων .. θυόντων Ca Cc Ch || βουτῆρες Cb Cd Cf Mc Mj Mk βουκόλοι Ce || ἐπ' ἀγροῦ Ce Cf Ml ἐπ' ἀγρὸν Cb Cd Mj Mk ἐν ἀγρῷ Mc Md Mi || ἔθυον αἶγα Md Mi || σύνεγχυς Cd συνέγγεις Mc || τοὺς .. ἐκάλεσαν om. Md Mi || τοὺς σύνεγγυς .. αὐτοῖς δὲ om. Cc Ce Cf Ml || **2** Ἐν δὲ τούτοις (-τῳ Mc Mk) ἦν Cb Cd Mc Mj Mk Σὺν δὲ τούτοις ἦν Ch || Συνῆν δ' αὐτοῖς καὶ γυνὴ πενιχρὰ μετὰ τοῦ ἑαυτῆς παιδὸς Md Mi || **3** Τῆς δ' εὐωχίας προϊούσης καὶ ἐξογκωθείσης τῆς γαστρὸς τοῦ παιδὸς ἀπὸ τῶν κρεῶν Md Mi || ὀγγωθὲν Cf || **4** ὀδυνόμενον Ca Cb Cc Ce Cf Ch Ml ὀδυρόμενον Mc Mk || **5** ἐμῶ nos μου libri || Ἡ δὲ .. εἶπεν om. Cc || αὐτῷ Mc || **6** Οὐχὶ δὲ Cb Cd || Οὐχὶ τὰ σά, εἶπεν, ὦ τέκνον Cc || ἀλλ' ἃ κατέφαγες (-γε Md) Md Mi Mj.

Digitized by Google

Ὁ μῦθος οὗτος πρὸς ἄνδρα χρεωφειλέτην, ὅστις ἑτοίμως τὰ ἀλλότρια λαμβάνων, ὅταν ἀπαιτηθῇ ταῦτα, οὕτως ἄχθεται ὥσπερ ἐὰν οἴκοθεν ταῦτα ἐδίδου.

7 Ὁ λόγος (μῦθος Ml) πρός Cb Cd Ch Ml Ὁ μῦθος (λόγος Cf) δηλοῖ (ὅτι addit Mk) πρὸς Cf Mc Md Mi Mk || ὀφειλέτην Cd || ὅστις τὰ ἀλλότρια ἑτοίμως ἀπολαμβάνων, ὅταν ταῦτα ἀπαιτηθῇ Md Mi || ἕτοιμος Mc || **8** ἀλλοτρίαμβων Cd || λαμβάνων κατεσθήειν, ὅταν δὲ ἀπετηθεῖ Mc || ὅταν δὲ ἀπέλθῃ, οὗτος ἄχθεται ὡς οἴκοθεν αὐτὰ προσδιδόναι Cf || λαμβάνων, τοῦ δανειστοῦ ἐπελθόντος καὶ τὸ χρέος αἰτοῦντος ἄχθεται ὡς οἴκοθεν αὐτὰ ἀποδώσων Ml || ταῦτα om. Cb Cd Ch Mc Mk || **9** ὡς οἴκοθεν αὐτῷ προδίδωσιν Cb ὡς οἴκοθεν αὐτὰ (αὐτὰ om. Cd) προδιδούς Cd Ch Md Mi ὡς οἴκοθεν αὐτὰ προσδιδῶναι Mc ὡς εἰ οἴκοθεν αὐτὰ ἀπεδίδου Mk || **7-9** Ὁ μῦθος δηλοῖ ὅτι ὁ χρεωφειλέτης ἕτοιμός ἐστι τὰ ἀλλότρια λαμβάνων· ὅταν δὲ ἀποδοῦναι μέλλει, ἄγχεται ὡς οἴκοθεν αὐτὰ προδιδόναι Ce || Epim. om. Mj.

Aliter.

Βότηρες ἐν ἀγρῷ ἔθυον αἶγα. Συνῆν δ' αὐτοῖς καὶ γυνὴ πενιχρὰ μετὰ τοῦ ἑαυτῆς παιδός. Τῆς δὲ εὐωχίας προϊούσης, καὶ ἐξογκωθείσης τῆς γαστρὸς τοῦ παιδὸς ἀπὸ τῶν κρεῶν, ὀδυνώμενον ἔλεγεν· « Ὦ μῆτερ, τὰ σπλάγχνα ἐμῶ. » Ἡ δὲ μήτηρ αὐτοῦ εἶπεν· « Οὐχὶ τὰ σά, τέκνον, ἀλλ' ἃ κατέφαγες. »

Ὁ μῦθος δηλοῖ πρὸς ἄνδρα χρεωφειλέτην, ὅστις τὰ ἀλλότρια ἑτοίμως ἀπολαμβάνων, ὅταν ταῦτα ἀπαιτηθῇ, οὕτως ἄχθεται ὡς οἴκοθεν αὐτὰ προδιδούς.

Cod. Mm 37.

4 ὀδυνόμενον cod. || **5** ἐμῶ nos μου cod.

294

Παῖς ⟨ἀκρίδας θηρεύων⟩ καὶ σκορπίος.

Παῖς πρὸ τοῦ τείχους ἀκρίδας ἐθήρευε. Πολλὰς δὲ συλλαβών, ὡς ἐθεάσατο σκορπίον, οἰηθεὶς ἀκρίδα εἶναι, κοιλάνας τὴν χεῖρα, οἷός τε ἦν καταφέρειν αὐτόν. Καὶ ὃς

Codd. Pa 200 Pb 195 Pc 108 Pg 124 Ma 127 Ca 158.

1 πρὸ τείχους Pb || ἐθήρευσε Ma || **2** νομίσας pro οἰηθεὶς Pg Ma Ca || **3** αὐτοῦ τὴν χεῖρα Pb || καταφέρειν αὐτοῦ Pa || Καὶ ὡς Pa Pb Ca.

Digitized by Google

τὸ κέντρον ἐπάρας εἶπεν· « Εἴθε γὰρ τοῦτο ἐποίησας, ἵνα καὶ ἃς συνείληφας ἀκρίδας ἀπολέσῃς. »

Οὗτος ὁ λόγος διδάσκει μὴ δεῖν πᾶσι τοῖς χρηστοῖς καὶ τοῖς πονηροῖς κατὰ ταὐτὰ προσφέρεσθαι.

4 τὸ κέντρον ἔπληξεν, εἶπεν· « Ἐθέλων τοῦτο ἐποίησας, ἵνα καὶ ἃς κατέχω ταῖς ἀφαῖς ἀκρίδας, ἀποβάλλῃς Pb || ἔφη Pg Ca || ποιήσαις Pa -σεις Ma ἂν ἐποίησας Pg || **5** συνείληθας Ma || ταύτας ἀποβάλῃς (ἀπέλα Pg) Pg Ca || ἀποβάλῃς Pc Ma || **6** Ὅλως διδάσκει Ca || ἡμᾶς διδάσκει Pb διδάσκει ἡμᾶς Pc Pg Ca || δηλοῖ μηδὲν (pro μὴ δεῖν) Pc || πᾶσί τε χρηστοῖς καὶ πονηροῖς προσφέρεσθαι Pb || **7** τοῖς ante πονηροῖς om. Pg Ca || ταῦτα Pa τὰ αὐτὰ Pc Pg Ca || προσφέρειν Pc προφέρειν Ca || **6-7** Ὁ λόγος δηλοῖ μηδὲν πᾶσι τοῖς ἀχαρίστοις πονηροῖς αὐτὰ προσφέρεσθαι Ma.

Aliter.

Παῖς τις συνάγων εἰς ἀρούρας ἀκρίδας
ἔμελλεν ἆραι σκορπίον ἀντ᾽ ἀκρίδος.
Ὁ δὲ τοῦ παιδὸς τὸ ἄκακον νοήσας
ταῦτα πρὸς αὐτὸν οὕτως ἐβόα, λέγων·
« Ἄπελθε, ὦ παῖ, καὶ σῴζου μετ᾽ εἰρήνης,
μὴ θηρεύσας με ἀπολέσῃς ἁπάσας. »

Ὁ μῦθος δηλοῖ ὅτι καλόν ἐστι τὰ ἐναντία γινώσκειν καὶ τὸ μὲν καλὸν πράττειν, τὸ δὲ κακὸν ἐκφεύγειν.

Codd. Ca 171 Cb 89 Cd 103 Cg 34 Ch 109.

1 ἄρουραν Cb Cd || 2 εὑρεῖν pro ἆραι Cd || 3 Ὃς δὲ Ch || 6 μὴ θηρεύσῃς με καὶ τοῦ ζῆν ἀπολέσεις Cd || **7** Ὅτι Cg || **8** τὸ δὲ ἐναντίον φεύγειν Cg || **7-8** Οὕτως ὁ λόγος διδάσκει ὅτι δεῖ πάντας γινώσκειν τὸ καλὸν τοὐναντίον, ὅπως φεύγοντες τὸ κακὸν τὸ καλὸν ἐνεργῶμεν Cd.

Aliter.

Παῖς τις συνάγων ἀκρίδας εἷλε καὶ σκορπίον ἀντὶ ἀκρίδος. Ὁ δὲ πρὸς τὸν παῖδα, ἄκακον ὄντα νοήσας, ἔφη· « Ἄπελθε, μὴ θήρευε, μὴ πάσας ἀπολέσῃς. »

Idem epim. quod Ca, excepto τὸ μὴ καλὸν pro τὸ μὲν καλόν.

Cod. Cf 104.

1 ἀντὶ ἀκρίδας cod. || **3** καὶ πάσας pro μὴ πάσας cod.

Digitized by Google

Aliter.

Παῖς τις θηρεύων ἀκρίδας περιέτυχε σκορπίῳ. Ὁ δὲ τὸ τοῦ παιδὸς ἁπλοῦν θεασάμενος, τὸ κέντρον ὀξύνας, εἶπεν· « Ἄπελθε, παῖ, καὶ σῴζου, μὴ κἀμὲ θηρεύων πάσας ἃς ἔχεις ἀπολέσῃς. »
Ὁ μῦθος δηλοῖ ὅτι προσέχειν δεῖ τοὺς δυναμένους πάντας βλάπτειν.

Cod Mh 85 Md 99 Mi 15 Mm 121.
1 τὰς ἀκρίδας Mh || 2 τὸ μὲν κέντρον Mi || πάντας οὓς codd. || 5 Epim. deest in Md Mi Mm.

Aliter.

Παῖς τις ἀκρίδας θηρεύων καὶ σκορπίον ἤμελλεν ἆραι ὡς γένος ἀκρίδος ὄντα. Ὁ δὲ τὸ τοῦ παιδὸς ἁπλοῦν ἰδὼν τὸ οὐραῖον στήσας καὶ τὸ κέντρον ὀξύνας εἶπεν· « Ἄπελθε καὶ σῴζου, ὦ παῖ, μὴ κἀμὲ θηρεύων καὶ πάσας ἃς ἔχεις ἀπολέσῃς. »
Ὅτι καλὸν τὸ γινώσκειν τὰ ἐναντία, καὶ τὸ μὲν καλὸν τιμᾶν, τὸ δὲ κακὸν φεύγειν, ἐκ πείρας δὲ πάντα.

Codd. Ba 119 Bb 71.
2 ποδὸς pro παιδὸς Bb || 4 ὦ παῖ om. Bb || 5 ἀπολέσεις Ba || 7 ἐκπείρας δὲ πάντων Ba.

295

Παῖς καὶ κόραξ.

Μαντευομένης τινὸς περὶ τοῦ ἑαυτῆς παιδὸς νηπίου ὄντος, οἱ μάντεις προέλεγον ὅτι ὑπὸ κόρακος ἀναιρεθήσεται. Διόπερ φοβουμένη λάρνακα μεγίστην κατασκευάσασα ἐν ταύτῃ αὐτὸν καθεῖρξε, φυλαττομένη μὴ ὑπὸ κόρακος ἀναιρεθῇ. Καὶ διετέλει τεταγμέναις ὥραις ἀναπεταννῦσα καὶ τὰς ἐπιτηδείους αὐτῷ τροφὰς παρεχομένη. Καί ποτε ἀνοιξάσης αὐτῆς καὶ τὸ πόμα ἐπιθείσης, ὁ παῖς ἀπροφυλάκτως παρέκυψεν. Οὕτω τε συνέβη τῆς λάρνακος τὸν κόρακα κατὰ τοῦ βρέγματος κατενεχθέντα ἀποκτεῖναι αὐτόν.

Cod. Pa 159.

296

Παῖς καὶ λέων ⟨γεγραμμένος⟩.

Υἱόν τις μονογενῆ γέρων δειλὸς ἔχων γενναῖον καὶ κυνηγεῖν ἐφιέμενον, τοῦτον καθ' ὕπνους εἶδεν ὑπὸ λέοντος θανατωθέντα. Φοβηθεὶς δὲ μὴ ὕπαρ γένηται καὶ ἀληθεύσῃ ὁ ὄνειρος, οἴκημα κάλλιστον καὶ μετέωρον κατασκευάσας, ἐκεῖσε τὸν υἱὸν παρεφύλαττε. Ἐζωγράφησε δὲ καὶ τὸ οἴκημα πρὸς τέρψιν παντοίοις ζῴοις, ἐν οἷς καὶ λέων ἐμορφώθη. Ὁ δὲ ταῦτα μᾶλλον ὁρῶν πλείω τὴν λύπην εἶχε. Καὶ δήποτε πλησίον τοῦ λέοντος στάς· « Ὦ κάκιστον θηρίον, εἶπε, διὰ σὲ καὶ τὸν ψεύστην ὄνειρον τοῦ ἐμοῦ πατρὸς γυναικείᾳ ἐνεκλείσθην φρουρᾷ· τί σοι ποιήσω; » Καὶ εἰπὼν ἐπέβαλε τὴν χεῖρα τῷ τοίχῳ ὡς τυφλώσων τὸν λέοντα. Σκόλοψ δὲ τῷ ὄνυχι αὐτοῦ ὑπεισδὺς ἄλγημα ὀξὺ καὶ φλεγμονὴν μέχρι βουβώνων εἰργάσατο· πυρετός τε ἐπὶ τούτοις ἀνάψας τὸν παῖδα θᾶττον τοῦ βίου ὑπεξήγαγεν. Ὁ δὲ λέων καίπερ γραπτὸς ὢν τοῦτον ἀνῃρήκει, μηδὲν τῷ τοῦ πατρὸς ὠφεληθέντα σοφίσματι.

Ὅτι ἃ δὴ μέλλει συμβαίνειν τινί, ἐγκαρτερείτω τούτοις γενναίως καὶ μὴ σοφιζέσθω· οὐ γὰρ ἐκφεύξεται.

Codd. Ba 135 Bb 82. Cf. tabulas ceratas assendelftianas, 1.

1 γέρων μονογενῆ omisso δειλός Bb || ἔχων. οὐ γὰρ ἐκφεύξηται, κυνηγῶν ἐφιεμένων Bb || **3** ἀληθεύσει Ba Bb || **7** μᾶλλον ὁρῶν πλείω (πλεῖον Bb) Ba Bb fortasse ὅσῳ μᾶλλον ἑώρα, τοσούτῳ πλείω || **11** τῷ τοίχῳ τὴν χεῖρα Bb || ὡς τυφλώσσων Ba ὥστε τυφλῶσαι Bb || **12** ὑπεισδοὺς .. ὀξοὺ Bb || **13** βοϐόνων Ba βωϐώνων Bb || **14** ἀνάψας ἐπὶ τούτοις Bb || **16** ὠφεληθέντι Bb || **17** δεῖ pro δὴ codd. || συμϐῆναι Bb || **18** σοφίζεσθαι Ba Bb || ἐκφεύξηται Ba.

Aliter.

Υἱόν τις γέρων δειλὸς μονογενῆ ἔχων γενναῖον, κυνηγεῖν ἐφιέμενον, εἶδε τοῦτον καθ' ὕπνους ὑπὸ λέοντος ἀνα-

Codd. Md 105 Mh 89 Mi 21 Mm 130 Mn 32 Ld 32.

1 καὶ κυνηγεῖν Mh || **2** ἴδε Md Ld.

Digitized by Google

λωθέντα. Φοβηθεὶς δὲ μή πως ὁ ὄνειρος ἀληθεύσῃ, οἴκημα κάλλιστον καὶ μετέωρον κατεσκεύασε, κἀκεῖσε τὸν υἱὸν εἰσαγαγὼν ἐφύλαττεν. Ἐζωγράφησε δὲ ἐν τῷ οἰκήματι πρὸς τέρψιν τοῦ υἱοῦ παντοῖα ζῷα, ἐν οἷς ἦν καὶ λέων. Ὁ δὲ ταῦτα μᾶλλον ὁρῶν πλείονα λύπην εἶχε. Καὶ δήποτε πλησίον τοῦ λέοντος στὰς εἶπεν· « Ὦ κάκιστον θηρίον, διὰ σὲ καὶ τὸν ψευδῆ ὄνειρον τοῦ ἐμοῦ πατρὸς τῇδε τῇ οἰκίᾳ κατεκλείσθην, ὡς ἐν φρουρᾷ· τί σοι ποιήσω ; » Καὶ εἰπὼν ἐπέβαλε τῷ τοίχῳ τὴν χεῖρα ἐκτυφλῶσαι τὸν λέοντα. Σκόλοψ δὲ τῷ δακτύλῳ αὐτοῦ ἐμπαρεὶς ὄγκωμα καὶ φλεγμονὴν μέχρι βουβῶνος εἰργάσατο· πυρετὸς δὲ ἐπιγενόμενος αὐτῷ θᾶττον τοῦ βίου μετέστησεν. Ὁ δὲ λέων καὶ οὕτως ἀνῄρηκε τὸν παῖδα, μηδὲν τῷ τοῦ πατρὸς ὠφεληθέντα σοφίσματι.

Ὁ μῦθος δηλοῖ ὅτι οὐδεὶς δύναται τὸ μέλλον ἐκφυγεῖν.

3 ἀληθεύσει Ld || **4** ἐκεῖσε Mh || **5** καταγαγὼν Mn Ld || Ἔγραψεν ἐν τῷ Mm || **8** πέλας τοῦ λέοντος Mm || **9** δὴ pro ψευδῆ Mn || **10** κατεκλείθην Mn κατεμβείσθην Ld || **11** τρίχῳ Mi τείχῳ Ld || **12** ὀνύχῳ pro δακτύλῳ Mh || ἐμπαγεὶς Ld || **13** τοῦ βουβῶνος Mn || **14** καὶ οὗτος Mi || **15** οὕτω ἀνῄρησε Mh || τῷ om. Mn || τό τοῦ πατρός ὠφεληθὲν Mh || ὠφεληθέντι Mm || **17** Ὅτι Md.

Aliter.

Υἱόν τις ἔχων μονογενῆ ἀνδρεῖον
εἶδε καθ' ὕπνον ὑπὸ λέοντος θνῄσκειν.
Ὁ δὲ φοβηθεὶς μὴ τοὖναρ ἀληθεύσῃ,
οἴκημα τερπνὸν αὐτῷ κατασκευάσας,
ἐζωγράφησε τοὺς τοίχους πρὸς τὴν τέρψιν,
ζῴοις παντοίοις αὐτοὺς ἐγκαλλωπίσας,
ἐν οἷς καὶ λέων αὐτὸς ἀπεμορφώθη.
Ὡς οὖν ἑώρα τὸν λέοντα ὁ νέος,
μᾶλλον κατεῖχεν αὐτὸν ἡ λύπη πλέον.

Codd. Ca 187 Cb 100 Cd 117 Ch 123 Mb 209 Mc 93 (Cd habet solum primam sententiam. Librarius duas historias confudit : quod sequitur θνῄσκειν ad aliud somnium pertinet).

1 τις γέρων Mc || μονογεννῆ Ca || **2** ἴδε καθ' ὕπνου Mc || καθ' ὕπνους Cd Mb || τοῦτον θνήσκειν Cd || **3** μήπως Ca || μὴ γοῦν ἄρα Cb μὴ τὸ ὄναρ (τὄναρ Ch) Ch Mb Mc || ἀληθεύσει (-εύει Mc) Cb Mc || **4** αὐτὸν ἀνακαινίσας Mb || **5** τείχους Cb || **6** αὐτῷ (-τὸ Ch) Cb || Ch || αὐτῷ καλλωπήσας Mc || **7** αὐτός nos, om. Ca αὐτῷ Cb Mc αὐτοῖς Ch || παρ' αὐτοῖς ἐμορφώθη Mb || ἀπεμορφώθη Halm ἀνε- libri excepto Mb || **8** ἑώρα ταῦτα αὐτὸς ὁ νέος Mb || **9** αὐτῶ Cb Mc || ἡ θλίψις πλέον Cb.

Digitized by Google

Ὃς ἱστάμενος τοῦ λέοντος πλησίον
τούτῳ προσεῖπεν· « Ὦ κάκιστον θηρίον,
διὰ τὸ ὄναρ τὸ ψευδὲς τοῦ πατρός μου,
ὃ αὐτὸς ἑώρακεν ἐν ὕπνοις μάτην,
προσκατεκλείσθην φρουρᾷ τῇ γυναικείᾳ.
Ἆ ἆ, τί δέ σοι ἐγὼ ἄρτι ποιήσω ; »
Ταῦτα δὲ αὐτοῦ τῷ λέοντι εἰπόντος,
ὑπεξέτεινε τὴν χεῖρα ὑπὸ βάτου,
τοῦ λαβεῖν κλάδους καὶ τὸν λέοντα καῦσαι.
Εὐθὺς δὲ σκόλοψ προσκρούσας τῷ δακτύλῳ,
ἄλγημα μέγα ἐφλέγμανε τὸν νέον
καὶ παραυτίκα ἄλαλος κατεκλίθη.
Ὑπανάψας δὲ πυρετὸς ἐξαπίνης,
θᾶττον ὁ νέος ἐξέλιπε τὸν βίον.

Ὁ μῦθος δηλοῖ ὅτι ἃ μέλλει συμβῆναί τινι, τούτοις γενναίως ἐγκαρτερείτω καὶ μὴ κατασοφιζέσθω· οὐ γὰρ ἐκφεύξεται.

13 ὃ om. Cb ᾧ Mc || ἑώρακέ σε ἐν τοῖς ὕπνοις Mb || **14** προσκατεκλείθη Ca πρωκατεκλύθην Cb προκατεκρίθην Mc || γυναικείῃ Ca || **15** Ἆ ἆ nos Ἄ Ca || ἄρα οὖν τί δέ σοι ἐγὼ ἄρτι Cb ἄρα τί δέ σοι ἐγὼ ἄρτι Ch ἄρα γὰρ δέ σοι ἐγὼ τί σοι Mc || **16** δὲ om. Ca || λαλήσαντος Ch Ταῦτα δὲ αὐτὸς τῷ λέοντι λαλήσας ὑπεξέτεινε τὸν λέοντα πειρῶσαι Mb || **17** ἐπὶ βάτον Cb Ch ὑπὸ βάτον Mc || **19** δ' ὁ (ὃς Mb) σκόλοψ Mb Mc || **20** ἄλγη μὲν pro ἄλγημα Ca || **21** παραυτίκα γὰρ libri excepto Ca || φωνῆς ἀπεστερήθη pro ἄλαλος κατεκλίθη Mb || **22** Ὑπανῆψε Mb Ὑπανήψας Mc || τε libri excepto Ca || πυρὶ τὸ ἐξαπίνης Cb Mc || **23** καὶ θᾶττον Mb || ἀπέλιπε Mb || τοῦ βίου Cb Mc || **24** Ὅτι Cb || τινα Cb om. Mc || **25** αὐτὸς ἐγκαρτερείτω καὶ μὴ σωφρονίζοιτο Mb || ἐγκαρτερεῖν Mc || κατασοφιζέσθω nos κατασοφιζέτω libri || **26** ἐκφεύξεται nos ἐκφεύξει libri.

297

Παῖς κλέπτης καὶ μήτηρ.

Παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμφοιτητοῦ δέλτον ὑφελόμενος τῇ μητρὶ ἐκόμισε. Τῆς δὲ οὐ μόνον αὐτῷ μὴ ἐπιπληξάσης, ἀλλὰ μᾶλλον ἐπαινεσάσης αὐτόν, ἐκ δευτέρου

Codd. Pa 201 Pf 111 Pg 125 Mb 176 Me 145 Mf 120.

1 διδασκαλίου Mb || συμμαθητοῦ δέλτον κλέψας ἤνεγκε τῇ μητρί Me Mf || ἀφελόμενος Pf Pg Mb || **2** διεκόμισε Mb || αὐτὸν Pg Mb || οὐ μόνον αὐτῷ om. Me Mf || μὴ om. Pa Pg || **3** καὶ pro μᾶλλον libri excepto Pa || αὐτόν om. Mb.

Digitized by Google

ἱμάτιον κλέψας ἤνεγκεν αὐτῇ. Ἔτι δὲ μᾶλλον ἐπαινεσάσης αὐτὸν ἐκείνης, προϊὼν τοῖς χρόνοις, ὡς νεανίας ἐγένετο, ἤδη καὶ τὰ μείζονα κλέπτειν ἐπεχείρει. Ληφθεὶς δέ ποτε ἐπ' αὐτοφώρῳ καὶ περιαγκωνισθεὶς ἐπὶ τὸν δήμιον ἀπήγετο. Τῆς δὲ ἐπακολουθούσης αὐτῷ καὶ στερνοκοπουμένης, εἶπε βούλεσθαί τι αὐτῇ εἰπεῖν πρὸς τὸ οὖς· καὶ ἐπεὶ τάχιστα αὐτῷ προσῆλθε, τοῦ ὠτίου ἐπιλαβόμενος, κατέδακεν αὐτό. Τῆς δὲ κατηγορούσης αὐτοῦ δυσσέβειαν, εἴπερ μὴ ἀρκεσθεὶς οἷς ἤδη πεπλημμέληκε, καὶ τὴν μητέρα ἐλωβήσατο, ἐκεῖνος ὑποτυχὼν εἶπεν· « Ἀλλὰ τότε ὅτε σοι πρῶτον τὴν δέλτον κλέψας ἤνεγκα, εἰ ἐπέπληξάς μοι, οὐκ ἂν μέχρι τούτου ἐχώρησα, ὡς καὶ ἐπὶ θάνατον ἀπάγεσθαι. »

Ὁ λόγος δηλοῖ ὅτι τὸ κατ' ἀρχὰς μὴ κολαζόμενον ἐπὶ μεῖζον αὔξεται.

4 ἀποδεξαμένης αὐτῆς (αὐτῆς om. Pg Mb), προϊὼν libri excepto Pa || **5** ὡς ὁ νεανίας Pa || **7** αὐτοφόρῳ Pa -φώρων Pf || περιωμισθεὶς ἐπὶ θάνατον ἀπήγετο (ἀπ- ἐπὶ θ- Mf) Pf Me Mf || ἐπὶ τοὺς δημίους Pa || **8** ἀπῆγον Pg || Τῆς δὲ μητρὸς libri excepto Pa || στερνοχοπουμένης nos στερνοποιουμένης Pa στερνοτυπτούσης Pg Mb τὰ στέρνα τυπτομένης Pf Me Mf || **9** πρὸς τὸ οὖς εἰπεῖν Pg || καὶ προσελθοῦσα τάχεως, τοῦ ὠτίου ἐπιλαβόμενος καταδήξας ἀφείλετο Pg Mb || **10** αὐτῇ προσῆλθε καὶ τοῦ ὠτίου Pa || **11** αὐτοῦ om. Pg Mb αὐτῷ Mf || ἀσέβειαν Pf Me Mf || δυσσέβειαν, καὶ λεγούσης μὴ ἀρκεῖσθαι οἷς πεπλημμέληκεν ἤδη, ἀλλὰ καὶ Pg Mb || **12** εἰπεῖν pro εἴπερ Pa || σοι pro οἷς Pa || **13** κἀκεῖνος Pa Pf Me Mf || ὑπολαβὼν ἔφη Pg Mb || τότε om. Pg Mb || τότε σοι ὅτε Me Mf || **14** ἤγαγον pro ἤνεγκα Pf Me Mf || με Pg || **15** ἐχώρισα Pa || καὶ ἐπὶ τὸν θάνατον ἐπηγόμην (ἠπειγόμην Pg) Pg Mb || χωρῆσαι pro ἀπάγεσθαι Pf Me Mf || **16** κολαζομένους Pg || **17** μείζονα Pg Mb || **16-17** Τὸ (Ὁ μῦθος δηλοῖ ὅτι τὸ Mf) κατ' ἀρχὰς μὴ κολαζόμενον πρὸς διόρθωσιν ἐπὶ μείζονα φέρει τὸ αἴτιον Pf Me Mf.

Aliter.

Παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμφοιτητοῦ δέλτον ἀνελόμενος τῇ μητρὶ ἐκόμισε. Τῆς δὲ οὐ μόνον αὐτὸν οὐκ ἐπιπληξάσης, ἀλλὰ καὶ ἐπαινεσάσης αὐτόν, ἐκ δευτέρου ἱμάτιον κλέψας ἤνεγκεν αὐτῇ, καὶ ἔτι μᾶλλον ἐκείνη ἀπε-

Cod. Pb 196.

1 ἐκ διδασκάλου cod. cor. Schneider

Digitized by Google

δέξατο. Προϊὼν δὲ τοῖς χρόνοις ὁ νεανίας ἐπὶ τὰ μείζονα ἐχώρει. Ληφθεὶς δέ ποτε καὶ περιαγκωνισθεὶς ἐπὶ τὸν δήμιον ἀπήγετο. Τῆς δὲ μητρὸς ἐπακολουθούσης αὐτῷ καὶ στερνοκοπουμένης, ὁ νεανίας εἶπεν· « Θέλω τι εἰπεῖν τῇ μητρί μου εἰς τὸ οὖς. » Τῆς δὲ προσελθούσης ταχέως, ἐπελάβετο τοῦ ὠτὸς αὐτῆς καὶ ἀπέκοψε. Τῆς δὲ κατηγορούσης αὐτὸν ὡς δυσσεβῆ, ἐκεῖνος ἔφη· « Ἀλλὰ τότε ὅτε σοι πρῶτον τὴν δέλτον κλέψας ἤνεγκα, εἰ ἔπληξάς με, οὐκ ἂν μέχρι τούτου ἐχώρησα, καὶ ἐπὶ θάνατον ἠγόμην. »

Ὁ λόγος δηλοῖ ὅτι τὸ κατ' ἀρχὰς μὴ κωλυόμενον ἐπὶ μεῖζον αὔξει.

8 στερνοπονουμένης cor. Schneider.

Aliter.

Παῖς ἐκ τοῦ διδασκαλείου τὴν τοῦ συμφοιτητοῦ δέλτον κλέψας τῇ ἑαυτοῦ μητρὶ ἐπιδέδωκε. Τῆς δὲ μὴ ἐπιπληξάσης αὐτόν, ἀλλὰ μᾶλλον ἀποδεξαμένης, ἐκ δευτέρου ἱμάτιον κλέψας ἤνεγκεν αὐτῇ· ἔτι δὲ μᾶλλον αὐτῆς ἀποδεξαμένης, προϊόντος τοῦ χρόνου, ὁ παῖς, ὡς νεανίας ἤδη γέγονεν, ἤρξατο καὶ τὰ μείζονα κλέπτειν. Ληφθεὶς οὖν ποτε ἐπ' αὐτοφώρῳ καὶ περιαγκωνισθεὶς ἐπὶ τὸν δήμιον ἀπήγετο. Τῆς δὲ μητρὸς ἐπακολουθούσης αὐτῷ καὶ στερνοκτυπούσης, εἶπεν ὁ παῖς πρὸς τοὺς δημίους· « Ἐάσατέ με λαλῆσαι τῇ μητρί μου πρὸς τὸ οὖς λόγον ἕνα. » Τῆς δὲ ταχέως ἐλθούσης, καὶ τὸ οὖς αὐτῆς τῷ

Codd. Ca 159 Cb 93 Ce 94 Cf 100 Cg 38 Ch 113.

1 διδασκάλου Ce Cf || ἐκ διδασκαλείου Ch || φοιτητοῦ Cg Ch || βίβλον Cg || **2** ἀφελὼν Cb ὑφελὼν Cg ὑφελόμενος Ch || ἔφερε τῇ μητρὶ αὐτοῦ Ce Cf || ἐκόμισε Cb Cg Ch || Τῇ δὲ Cb || μὴ om. Cg || **3** αὐτῷ Cg || καὶ ὑποδεξαμένης Cb ἀποδεξαμένης Ch ὑποδεξαμένης (-νη Ce Cf) ceteri αὐτὸν ὑποδεξαμένη Cf || ἐκ δευτέρου ... ἀποδεξαμένης om. Ca Ce Cf || ἐκ τοῦ δευτέρου Cg || **4** ἤνεγκεν αὐτήν Cb || αὐτὸν pro αὐτῆς Cf || ὑποδεξαμένης Cb || **5** προϊὼν (πιὼν Ce) τοῖς χρόνοις Cb Ce Cg Ch ποιῶν τοῦ χρόνου Cf || ὡς... γέγονεν om. Ce Cf || **6** κατὰ pro καὶ τὰ Cb || Ληφθεὶς (Λειφ- Ce) δέ ποτε Ce Cf || **7** ἐπ' αὐτοῦ ποτε pro ποτε ἐπ' αὐτοφώρῳ Cb || ἐπὶ τὸν φόρον Cf ἐπ' αὐτοφόρῳ Cg || καὶ παρὰ τοῦ (αὐτοῦ Cf) δικαστοῦ ἀναγκασθεὶς ἐπὶ τὸν φόνον κατεκρίθη (ἠπείγετο Ch) Cb Ce Cf Ch καὶ παρὰ τῷ δικαστῇ ἀπαχθεὶς ἐπὶ τὸν φόνον κατεκρίθη Cg || **8** αὐτοῦ (αὐτῷ Cg Ch) ἐπακολουθούσης καὶ ὀλοφυρομένης, εἶπεν libri excepto Ca || **10** πρὸς τὸ οὖς τῇ μητρί μου Ce || εἰς τὸ οὖς Cf || ἕνα λόγον Cf Cg Ch || **11** ταχέα Ce || δραμούσης Cg.

Digitized by Google

στόματι τοῦ υἱοῦ αὐτῆς ἐπιθείσης, τοῖς ὀδοῦσιν αὐτοῦ τοῦ ὠτίου αὐτῆς γενναίως δραξάμενος, ἀπέκοψεν αὐτό. Τῆς δὲ βοησάσης καὶ εἰπούσης ὡς ἤδη πεπλημμέληκεν, οὐ μὴν ἀλλὰ καὶ τοῦ λαοῦ κατηγοροῦντος αὐτοῦ ὡς μὴ ἀρκεσθέντος τοῖς προτέροις κακοῖς, ἀλλὰ καὶ εἰς τὴν ἰδίαν μητέρα ἠσεβηκότος, ἔφη ἐκεῖνος· « Αὕτη ἐγένετο τῆς ἐμῆς ἀπωλείας αἰτία· εἰ γὰρ ἡνίκα τὴν τοῦ συμφοιτητοῦ μου δέλτον ἔκλεψα καὶ ἤνεγκα αὐτῇ, ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων ἐχώρησα καὶ ἐπὶ τὸν θάνατον ἠγόμην. »

Ὁ μῦθος δηλοῖ ὅτι τὸ κακὸν κατ' ἀρχὰς μὴ κολαζόμενον ἐπὶ μεῖζον αὔξεται.

12 τοῦ ἑοῦ αὐτῆς ἐπιθέντος Cb || ἐπιτεθείσης Ce Cf ἐπιθεμένης Cg || ὀδοντίοις Cb || **13** τοῦ ὠτίου Ch τὸ ὠτίον ceteri || **14** βοώσης καὶ λεγούσης Cg || **15** οὐδὲ μὴν Ca οὐ μὲν Ch || καὶ om. Cf || αὐτὸν ὡς μαρκεσθέντα Cb || **16** εἰς om. Ce || **17** ἠσεβηκότος Cg ἀσεβήσαντος Ch ἠσέβησεν ceteri || Αὕτη μοι Ca || **18** τῆς ἐμῆς ἀπωλείας ὁ ἔτιος αὕτη ἐγένετο Cb || ἐμοῦ Ca || αἰτία Ca αἴτιος ceteri || ἐκ (ἐκ om. Cg Ch) τοῦ διδασκάλου μου Cb Cg Ch || **19** ἦνε γὰρ αὐτήν Cb ἤνεγκα αὐτήν Ce || ἔπληξε Cb Cg Ch || ἐπέπληξεν ἄν Ce Cf || **20** ὢν pro ἂν Cb || τούτου Cg Ch || νῦν δὲ ἐπὶ θάνατον ἤγαγον Ce Cf || τὸν θάνατον Ca θάνατον ceteri || ὑπήγω Cb || **21** Ὅτι τὸν κατ' ἀρχάς μου κολαζόμενον Cb τῶν μὴ κατ' ἀρχὰς κολαζομένων Ce Cf ὁ κατ' ἀρχὰς μὴ κολαζόμενος Ch || κακὸν om. Cg || **22** ἐπὶ μείζονα Cb Ce Cf Ch || αὐξάνεται τὰ κακά Ce.

Aliter.

Παῖς φέρει δέλτον κλέψας τοῦ διδασκάλου
καὶ [τῇ] μητρὶ φέρει ταύτην μετ' εὐφροσύνης.
Ἡ δὲ λαμβάνει ταύτην σὺν χαρμοσύνῃ.
Ἐν δευτέρῳ δὲ χρόνῳ ἐσθῆτα κλέπτει,
καὶ τοῦτο πράττων ὁ παῖς συχνάκις ἄγει.
Ὡς γοῦν ηὔξανεν ὁ νεανίας ἔτει,
γηράσας ποτὲ τῷ χρόνῳ μείζω κλέπτει.
Ἀλλ' ὀψέ ποτε ληφθεὶς ἐπ' αὐτοφώρῳ
ἄγεται κριθεὶς πρὸς φόνον, φεῦ τῆς τέχνης.
Ἀλλ' ὀπίσωθεν [αὐτοῦ] ἡ μήτηρ ἱσταμένη
[καὶ] κλαίουσα ἐβόα· « Τί πέπονθας τοῦτο,
[ἐμὸν] ὦ τέκνον ; » Ὁ δ' ἔφησε πρὸς τὴν μητέρα·

Cod. Cd 107 (uersus restitui).

2 τῇ delendum || **3** χαρμοσύνως cod. in σὺν χαρμοσύνῃ mutaui || **7** γηρᾷ cod. in μείζω mutaui || **9** κριτοῦ cod. in κριθεὶς mutaui || **10** αὐτοῦ delendum || **11** καὶ delendum || τί τοῦτο πέπονθας cod. τοῦτο in fine uersus posui || **12** ἐμὸν delendum.

Digitized by Google

« Ἔγγισον δή μοι καὶ δὸς ἀσπασμόν, μῆτερ,
τὸν τελευταῖον. » Ἡ δ' ἐλθοῦσα πλησίον
τούτου, ἔδακεν εὐθὺς τὴν ῥῖνα ταύτης,
καὶ δακὼν ἀπέκοψεν εἰς τέλος, λόγον
εἰπὼν τοιόνδε ταύτῃ· « Εἰ γὰρ σύ, μῆτερ,
τὸ πρῶτον ἐτύπτησάς με, ὅτε δέλτον
σοι ἔφερον, οὐκ ἂν φόνῳ παρεδόθην. »

Οὗτος ὁ μῦθος λέγει· Δεῖ τοὺς φρονίμους τὰς ῥίζας ἐκκόπτειν τῶν σφαλμάτων· ἤγουν τὰς ἀρχὰς τῶν ἁμαρτημάτων καὶ τῶν ἄλλων κακῶν, ὅπως τῆς ῥίζης κοπείσης οἱ κλάδοι ξηρανθῶσιν.

13 δή μοι, μῆτερ, καὶ δὸς cod. μῆτερ in fine uersus posui || **15** ῥίναν cod. || **16** et **17** εἰς τέλος, εἰπὼν καὶ λόγον τοιόνδε cod. λόγον in finem prioris uersus transposui et καὶ deleui || **19** σε ἔφερα τοῦ διδασκάλου, οὐκ ἂν νῦν τῷ φόνῳ παρεδόθην, correxi pro necessitate sententiae et uersus.

Aliter.

Παῖς ἐκ διδασκαλείου τὴν τοῦ συμμαθητοῦ δέλτον κλέψας ἤνεγκε τῇ μητρί. Τῆς δὲ μὴ ἐπιπληξάσης, μᾶλλον μὲν οὖν ἀποδεξαμένης, προϊὼν τοῖς χρόνοις ἤρξατο καὶ τὰ μείζω κλέπτειν. Ἐπ' αὐτοφώρῳ δέ ποτε ληφθεὶς ἀπήγετο τὴν πρὸς θάνατον. Τῆς δὲ μητρὸς ἑπομένης καὶ ὀλοφυρομένης, ἐκεῖνος τῶν δημίων ἐδεῖτο βραχέα τινὰ τῇ μητρὶ διαλεχθῆναι πρὸς οὖς. Τῆς δὲ ταχέως τὸ οὖς τῷ στόματι τοῦ παιδὸς προσθείσης, ἐκεῖνος τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφείλετο. Τῆς δὲ μητρὸς καὶ τῶν ἄλλων κατηγορούντων ὡς οὐ μόνον κέκλοφεν, ἀλλ' ἤδη καὶ εἰς τὴν μητέρα ἠσέβηκεν, ἐκεῖνος εἶπεν· « Αὕτη γάρ μοι τῆς

Codd. La 48 Lb 110 Lc 22 Ld 30 Le 110 Lf 48 Lg 22 Lh 60 Mc 87 Md 97 Mg 134 Mi 13 Mj 131 Ml 137 Mm 119 Mn 30.

1 διδασκαλίου Mc Mg Mj || μαθητοῦ Ld^1 || **2** ἐπιταξάσης Ld^1 || μᾶλλον δὲ ἀποδεξαμένης Lc Lg μᾶλλον δὲ καὶ ἀ- Le || **4** τὰ μείζονα Mc || κλέπτειν καὶ τὰ μείζω Le || ποτε om. Mc Mi Mm Mn || ὅδε pro δέ ποτε Ld || **5** τὴν om. Ld || **6** δήμων Mn || βραχέα τινὶ Le Mn || βραχέα τινὰ ῥήματα τῇ μητρὶ εἰπεῖν Lh || **7** διαλεχθῆναι τῇ μητρὶ Ml || διαλεχθῆναι πρὸς ἣν ταχέως τὸ στόματι τὸ οὖς τοῖς ὀδοῦσι δακὼν ἀφείλετο Mc || πρὸς τὸ οὖς Le Mi Ml || τῷ στόματι τὸ οὖς Md Mi Mn || τῷ στόματι τοῦ παιδὸς τὸ οὖς προσθήσας, ἐκεῖνο Mm || τὸ οὖς post ταχέως om. Lf Mm || **9** δάκνων Mn || ἀφείλατο Lc || **10** μόνον om. Mc || εἰς om. Le || **11** ἠσέβησεν Ld Lg Mc Md Mi Mm Mn || ἔφη Mn || Αὐτὴ codd. || γάρ μοι om. Mc.

Digitized by Google

ἀπωλείας γέγονεν αἴτιος· εἰ γὰρ ὅτε τὴν δέλτον ἐκεκλόφειν, ἐπέπληξέ μοι, οὐκ ἂν μέχρι τούτων χωρήσας νῦν ἠγόμην ἐπὶ τὸν θάνατον. »

Ὁ μῦθος δηλοῖ ὅτι τῶν μὴ κατ' ἀρχὰς κολαζομένων ἐπὶ μεῖζον αὔξάνει τὰ κακά.

12 αἴτιος τῆς ἐμῆς Mc || καὶ ὅτε Le || ἐκέκλοφεν Mn || **13** ἐπέπληξας Mc || τούτω Lg || προχωρήσας Mc || νῦν om. Ld || **14** ἠγόμην τὴν ἐπὶ Lc Ld Le Lh Mc Mj Ml Mm Mn || τὴν πρὸς θάνατον Lg || τὸν om. Ld^1 Le Mc Mj Ml Mm Mn || **15** Ὁ μῦθος ὅτι Le || **16** πονηρά pro τὰ κακά Lc.

298

Παῖς λουόμενος.

Παῖς ποτε λουόμενος ἔν τινι ποταμῷ ἐκινδύνευσεν ἀποπνιγῆναι. Ἰδὼν δέ τινα ὁδοιπόρον, τοῦτον ἐπὶ βοηθείᾳ ἐκάλει. Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ ὡς τολμηρῷ. Τὸ δὲ μειράκιον εἶπε πρὸς αὐτόν· « Ἀλλὰ νῦν μοι βοήθει, ὕστερον δὲ σωθέντι μέμψῃ. »

Ὁ λόγος εἴρηται πρὸς τοὺς ἀφορμὴν καθ' ἑαυτῶν διδόντας ἀδικεῖσθαι.

Codd. Ca 167 Pb 207 Pg 132 Mb 177.

1 ἐκινδύνευεν Mb || **2** τινα om. Pb || βοηθείᾳ Ca βοήθειαν ceteri || **3** ἐφώνει pro ἐκάλει Pb || τὸν παῖδα ὡς τολμηρόν Pb || **5** μοι μέμφου Pb μέμψει Pg Mb || **6** Ὅλως εἴρηται Ca || ἀφορμὰς Pb Pg.

Aliter.

Παῖς λουόμενος ἐν ποταμῷ ἐκινδύνευε πνιγῆναι. Καὶ ἰδών τινα παροδίτην ἐπεφώνει· « Βοήθησόν τι. » Ὁ δὲ ἐμέμφετο τῷ παιδὶ τολμηρίαν. Τὸ δὲ παιδίον εἶπεν· « Ἀλλὰ νῦν μοι βοήθησον· ὕστερον δὲ σωθέντα μέμφου. »

Ὁ μῦθος δηλοῖ ὅτι μὴ μέμφου, πλὴν ἐλέει· καὶ γὰρ παράπληκτον ποιεῖς τὸν λυπούμενον.

Codd. Ce 106 Cf 113.

1 λουσάμενος Ce || ἐκινδύνευσε Cf || **4** νῦν με βοήθησον codd. || **5** Ὁ μῦθος δηλοῖ πρὸς τοὺς ἀφορμὴν καθ' ἑαυτοὺς διδόντας ἀδικεῖσθαι Cf.

Digitized by Google

Aliter.

Οὔπω κολυμβᾶν μειράκιον μαθὸν ποταμὸν διειδῆ καὶ καλὸν θεωρῆσαν ἔρριψεν ἑαυτὸν γυμνὸν ὡς κολυμβήσων. Τὸ ῥεῦμα δὲ αὐτὸ καὶ τὸ βάθος οὐκ εἴα στῆναι. Τὸ δὲ βουκόλον ἐφώνει· « Ἀπὸ τῆς ὄχθης τὰς χεῖρας ἔκτεινον. » Ὁ δὲ τολμηρὸν ἐκάλει καὶ οὐκ ἐδίδου χεῖρα. Τὸ δὲ εἶπεν· « Ἄρτι μοι βοήθει, ἕξεις δὲ καιρὸν ἐλέγχειν, ὅταν σώσῃς με. »

Ὅτι τοὺς ἐν κινδύνοις ἀπείρως ἐμπεσόντας δεῖ πρότερον σῴζειν, ἔπειτα διδάσκειν καὶ νουθετεῖν.

Cod. Ba 115.

1 μαθεῖν cod. || διηδῆ cod. || καὶ θεωρῆσαν καλὸν cod. || **3** αὐτῷ in rasura || **6** ὅτε σώσεις cod.

299

Παρακαταθήκην εἰληφὼς καὶ Ὅρκος.

Παρακαταθήκην τις λαβὼν φίλου ἀποστερεῖν διενοεῖτο. Καὶ δὴ προσκαλουμένου αὐτὸν ἐκείνου ἐπὶ ὅρκον, εὐλαβούμενος εἰς ἀγρὸν ἐπορεύετο. Γενόμενος δὲ κατὰ τὰς πύλας, ὡς ἐθεάσατό τινα χωλὸν ἐξιόντα, ἐπυνθάνετο αὐτοῦ τίς τε εἴη καὶ ποῖ πορεύοιτο. Τοῦ δὲ εἰπόντος αὐτὸν Ὅρκον εἶναι καὶ ἐπὶ τοὺς ἀσεβεῖς βαδίζειν, ἐκ δευτέρου ἠρώτα διὰ πόσου χρόνου ἐπιφοιτᾶν ταῖς πόλεσι εἴωθεν. Ὁ δὲ ἔφη· « Διὰ τεσσαράκοντα ἐτῶν, ἐνίοτε δὲ καὶ τριάκοντα. » Καὶ ὃς οὐδὲν μελλήσας τῇ ὑστεραίᾳ ὤμοσε μὴ εἰληφέναι τὴν παρακαταθήκην. Περιπεσὼν δὲ τῷ Ὅρκῳ, καὶ ἀπαγόμενος ὑπ' αὐτοῦ ἐπὶ κρημνόν, ᾐτιᾶτο αὐτὸν ὡς προειπὼν

Codd. Mb 175 Pf 110 Ma 128 Me 157 Mf 131.

1 Παρακαταθήκας Mb || **2** προκαλλουμένου Ma || ἐκείνου om. Ma || **4** τίς τε ἦν καὶ ποῦ πορεύεται Pf Me Mf || ποῦ libri || **5** Ὅρκον ἑαυτὸν Pf Me Mf || **6** ἤρετο αὐτὸν Pf Me Mf || ἠρώτα αὐτὸν διὰ πόσους χρόνους ἐπιφοιτῶν Ma || **7** φοιτᾶν Mb || Ὁ δὲ om. Mb || Ὁ δὲ ἀπεκρίνατο διὰ τῶν τεσσαράκοντα Pf Me Mf || **8** διὰ ante τεσσαράκοντα om. Ma sed ante τριάκοντα posuit || δὲ om. Ma || **9** μελήσας Me Mf || ὑστέρᾳ Ma || **10** καταθήκην Ma || **11** ἀπ' αὐτοῦ ὑπὸ Ma || ὅτι προειπὼν (προσ- Pf) ὡς διὰ τριάκοντα ἐτῶν ἐπιπορεύεσθαι Pf Me Mf || ὅτι προεῖπεν αὐτῷ ὡς διὰ τριάκοντα ἐτῶν ἐπιπορεύεται, οὐδὲ μίαν οὕτως ἄδειαν ἡμέραν δίδωσιν Ma.

Digitized by Google

αὐτῷ διὰ τριάκοντα ἐτῶν ἐπιπορεύεσθαι, οὐδὲ πρὸς μίαν ἡμέραν ἄδειαν δέδωκεν. Ὁ δὲ ὑπολαβὼν ἔφη· « Ἀλλ' εὖ ἴσθι ὡς, ὅταν μέλλῃ τις ἀνιᾶσαί με, καὶ αὐθημερὸν ἐπιφοιτᾶν εἴωθα. »

Ὁ λόγος δηλοῖ ὅτι ἀδιόριστός ἐστιν ἡ κατὰ τῶν ἀσεβῶν ἐκ θεοῦ τιμωρία.

13 αὐτῷ ἡμέραν ἄδειαν δίδωσιν Pf Me Mf || ὑποτυχὼν omisso ἔφη Pf Me Mf ὑποτυχὼν Ma || Ἀλλὰ σὺ ἴσθι ὡς, ὅταν με λίαν τις ἀνιάσῃ Pf Me Mf || **14** μέλλει ἂν τις ἀνιᾶσθαι Ma || με om. Mb || **16** Ὅτι ἀδιόριστός ἐστιν τοῖς κακοῖς ἡ ἐκ θεοῦ (θεῶν Mf) τιμωρία Pf Me Mf || ἀδιόρητος δυσσεβούντων ἀθέων τιμωρία Ma.

300

Πάτηρ καὶ θυγατέρες.

Ἔχων τις δύο θυγατέρας, τὴν μὲν κηπουρῷ ἐξέδωκε πρὸς γάμον, τὴν δὲ ἑτέραν κεραμεῖ. Χρόνου δὲ προελθόντος, ἧκεν ὡς τὴν τοῦ κηπουροῦ καὶ ταύτην ἠρώτα πῶς ἔχοι καὶ ἐν τίνι αὐτοῖς εἴη τὰ πράγματα. Τῆς δὲ εἰπούσης πάντα μὲν αὐτοῖς παρεῖναι, ἓν δὲ τοῦτο εὔχεσθαι τοῖς θεοῖς, ὅπως χειμὼν γένηται καὶ ὄμβρος, ἵνα τὰ λάχανα ἀρδευθῇ, μετ' οὐ πολὺ παρεγένετο πρὸς τὴν τοῦ κεραμέως καὶ αὐτῆς

Codd. Pa 90 Pb 95 Pe 56 Pf 49 Pg 63 Ph 51 Ma 68 Ca 77.

1 τὴν μὲν μίαν Ca || κηπουρῷ et infra κηπουροῦ Pa Pg Ma κηπωρῷ et infra κηπωροῦ ceteri || κηπωρὸν Pe || **2** πρὸς γάμον om. Pe Ma Ca || ἑτέραν om. Ma || κεραμοπλάστῃ Pe || παρελθόντος Pe προϊόντος Pg προσελθόντος Ma || **3** ἦλθεν εἰς Ca || εἰς Pg πρὸς Pb Pf Ma || τοῦ om. Pg || ταύτην om. Pe || ἔχει Pe Pf Ca || **4** αὐτοῦ εἴη Pe ἐστιν αὐτῆς Ma αὐτῆς εἰσι Ca || **5** παρὲν pro παρεῖναι, ἓν Pa || αὐτῆς παρῆναι· ἐὰν εὔχεσαι χειμῶνα εἶναι· ἐλθόντος δὲ καὶ πρὸς τὴν τοῦ κεραμαίως ἠρώτα καὶ αὐτὴν πῶς ἔχοι καὶ ἐν τί εἰσι τὰ περὶ αὐτῆς· εἶπε δὲ αὕτη πρὸς αὐτόν· Καλῶς ἔχωμεν, ἐὰν εὔχεσαι τῷ θεῷ, ἵνα ὁ χειμὼν ἀπογένηται καὶ λαμπρὸς ἥλιος ἥξει .. Ma || εὔχεσθαι τῷ θεῷ περὶ Pe || **6** γίνηται Pe || ἀνθήσῃ Pe ἀρδεύσῃ Pf Ph || **7** μετ' οὐ πολὺ δὲ Ph Ca || παρεγένετο δὲ τῇ ἐπαύριον καὶ πρὸς τὴν ἑτέραν, τὴν τοῦ κεραμέως Pe || καὶ πρὸς Pb Ph Ca || τὴν om. Pf || αὐτῆς nos αὐτὸς Pa Pg οὕτως Pb Pf ταύτης Ph om. Pe || καὶ ἐπυνθάνετο καὶ αὐτὴν Ca.

Digitized by Google

ἐπυνθάνετο πῶς ἔχοι. Τῆς δὲ τὰ μὲν ἄλλα μὴ ἐνδεῖσθαι εἰπούσης, τοῦτο δὲ μόνον εὔχεσθαι, ὅπως αἰθρία τε λαμπρὰ ἐπιμείνῃ καὶ λαμπρὸς ἥλιος, ἵνα ξηρανθῇ ὁ κέραμος, εἶπε πρὸς αὐτήν· « Ἐὰν σὺ μὲν εὐδίαν ἐπιζητῇς, ἡ δὲ ἀδελφή σου χειμῶνα, ποτέρᾳ ὑμῶν συνεύξομαι ; »

Οὕτως οἱ ἐν ταὐτῷ τοῖς ἀνομοίοις πράγμασιν ἐπειχειροῦντες εἰκότως περὶ τὰ ἑκάτερα πταίουσιν.

8 ἔχει Pe Pf Ca || Ἡ δὲ λέγει πρὸς αὐτὸν τὰ μὲν ἄλλα μὴ ἐνδεῖσθαι, τοῦτο δὲ μόνον εὔχου μοι, πάτερ, ὅπως εὐδεία γένηται καὶ λαμπρὸς ἥλιος Pe || **9** εἰπούσης Ca om. ceteri || ἵνα Ca || αἰθρία τε καὶ λαμπρὰ ἐπιμείνῃ ἡ σελήνη καὶ λαμπρὸς ὁ ἥλιος Pa || τε om. Pg Ca || **10** ὡς ἂν ὁ κέραμος ξηρανθῇ Ca || εἶπε δὲ πρὸς αὐτάς Pa ὁ δὲ ἔφη πρὸς αὐτήν Pe ὁ δὲ εἶπεν πρὸς αὐτήν Pf Ph εἶπε δὲ πρὸς αὐτὴν ὁ πάτηρ αὐτῆς Ma || **11** Ἐάν...ἐπιζητῇς om. Pe Ἐὰν μὲν σὺ εὐδίαν ζητεῖς Ma || Ἐὰν οὖν (μὲν Ca) σὺ Pf Ca || ἡ ἀδελφή σου χειμῶνα, σὺ δὲ ἥλιον, ὁποτέρῳ ὑμῶν συνεύξομαι Pe || **12** ποίᾳ οὖν ὑμῶν εὔξομαι Pf || πότε ἡμῶν Ma || συνεύξωμαι Ca || **13** Ὅτι οἱ ἐν (ἐν om. Pf) τοῖς ἀνομίοις Pf Ph || ταὐτῷ om. Pe || ἀνόμοις Pa || **14** τὰ om. Pe Pf Me || ἀποτυγχάνουσιν Pe Ma.

Aliter.

Μήτηρ καὶ θυγατέρες.

Γυνή τις, θυγατέρων οὖσα δυοῖν μήτηρ, ἀνδράσι συνῆψε ταύτας, τὴν μὲν κηπωρῷ, θατέραν δὲ κεραμεῖ. Ἐλθοῦσα τοίνυν ποτὲ πρὸς τὴν τῷ κηπωρῷ γεγαμημένην, τά τε ἄλλα ὡμίλει, καὶ πῶς ἔχοι διηρώτα. Ἡ δέ· « Τὰ μὲν ἄλλα, μῆτερ, ἔφη, καλῶς· εὔχου δ' ὑετῶν ἡμῖν γενέσθαι φοράν, ὡς τοῖς λαχάνοις ἐξ ἀρδείας αὔξησις ἡ κατὰ λόγον προσγένοιτο. » Ἐκεῖθεν δ' ἐξελθοῦσα καὶ πρὸς τὴν συνοικοῦσαν τῷ κεραμεῖ ἀφικνεῖται. Τοῖς δ' αὐτοῖς χρησαμένη καὶ πρὸς

Codd. La 68 Lb 29 Lc 29 Lf 68 Ml 38 (hi quinque post ταῦτα ἔφη (ἔφη deest in Ml) desinunt) Lh 13 (post φύγοιντο desinit) Md 122 Mi 96 Mm 47 (hi tres finem proprium habent quem inseruimus in textum) Me 36 Mf 33 Mj 34 (hi tres ex P finem mutuati sunt).

1 δυεῖν Mj || **2** κηπουρῷ hic et infra Md Mi Mm || θατέρα δέ ποτε Mf θατέρῳ δὲ Ml || **3** τὰ πάλα ὡμίλει Mi || **4** πῶς ἂν ἔχοι (ἔχει Mj) libri || **5** ἔφη om. Ml || ἡμῖν om. Mf || τὴν ἡμῶν φοράν (φθοράν Mi) (correctum in ὑετῶν ἡμῖν φοράν Md) ὡς τοῖς λαχάνοις αὔξησις ἡ κατὰ νόμους προσγένοιτο Md Mi Mm || γενέσθαι om. Lf Ml Md || **8** Τοῖς δ' αὐτοῖς Md Mi Mm Ταῖς δ' αὐταῖς ceteri.

Digitized by Google

ἐκείνην ἤκουσεν ὡς· « Τὰ μὲν ἄλλα καλῶς ἡμῖν, ὦ μῆτερ, ἔχει· εὔχου δ' αἰθρίαν ἡμῖν καὶ ἡλίους γίνεσθαι θερμοτέρους τε καὶ καθαρωτέρους, ὡς ἂν θᾶττον οἱ κέραμοι ψύχοιντο. » Καὶ ἡ μήτηρ πρὸς ταῦτα ἔφη· « Σοὶ μὲν αἰθρίαν, τῇ δὲ τῷ κηπωρῷ συνοικούσῃ παμπόλλους ὑετοὺς δοῖεν οἱ θεοί. »
Ὁ μῦθος ⟨ὅτι⟩ οἱ μηδὲν ἐκ τῶν ἰδίων ἔχουσι χαρίζεσθαι, ῥᾳδίως τοῖς αἰτοῦσι τὰ τῶν ἄλλων ἐπαγγέλλονται, [κἂν οὐδένων εἰσὶν ἐλάττω].

9 ὦ μῆτερ, ἡμῖν Lf Lh Me Mf Mj Ml Mm || **10** ἡλίου Mm || γενέσθαι Me om. Mf || τε om. Md || ὁ ἥλιος γίνεσθαι θερμότερος καὶ καθαρώτερος Lh || **12** ἔφη om. Ml Mf || Ἐὰν οὖν σὺ μὲν εὐδίαν ἐπιζητῇς (-τεῖς Mj), ἡ δὲ ἀδελφή σου χειμῶνα, ποίᾳ οὖν (οὖν om. Mj) ὑμῶν εὔξομαι Me Mf Mj || τὴν δὲ … ξυνοικοῦσαν (συν-Mi) Md Mi || **14** Ὁ μῦθος τοῖς μηδὲν Md Mi Mm : ὅτι addidit et τοῖς in οἱ mutauit Coraës || **14-16** Ὁ μῦθος δηλοῖ ὅτι οἱ τοῖς ἀνομοίοις πράγμασιν ἐπιχειροῦντες εἰκότως περὶ ἑκάτερα πταίουσιν Me Mf Mj.

301

Πέρδιξ καὶ κυνηγέτης.

Πέρδικα δέ τις κυνηγέτης ἀγρεύσας
ἔμελλεν αὐτὸς τοῦ καταθῦσαι ταύτην.
Ἡ δὲ ἐθρήνει ταῦτα οὕτως βοῶσα·
« Ἔασόν με ζῆν, κυνηγέτα περδίκων,
ὅπως σοι κἀγὼ πέρδιξ πολλὰς προσάξω. »
Ὁ δὲ πρὸς αὐτὴν οὕτως ἀνταπεκρίθη·
« Διὰ γὰρ τοῦτο μᾶλλον ἐγώ σε θύσω,
ὅτι φίλους σοὺς προσενεδρεῦσαι θέλεις. »

Ὁ μῦθος δηλοῖ ὅτι ὁ κατὰ τῶν ἑαυτοῦ φίλων δολίας μηχανὰς συντιθεὶς αὐτὸς ἐν ταῖς ἐνέδραις τῶν κινδύνων ἐμπεσεῖται.

Codd. Ca 172 Cb 90 Cd 104 Cg 35 Ch 110 Mb 195.

1 Πέρδικαν Ch || δέ γε κυνηγός τις Mb || **2** ταύτην τοῦ καταθῦσαι Mb || **3** ἐν θρήνῳ … ἐβόα Cg || **4** ζῆν om. Cd Cg || **5** ὅπως … πολλὰς om. Cd || ὅπως ἂν ἐγὼ πέρδικας πολλάς σοι προσάξω Mb || κἀγὼ πέρδικας Cg Ch || **6** ταῦτα οὕτως ἐβόα Mb || ἀνταπεκρίθην Cb ἀντεπεκρίθη Cd || **8** θέλων Ca || **9-11** Τοῦτο δηλοῖ ὅτι ὁ κακῶς ἄλλους πράττων ἑαυτῷ κακὸν μείζω πράττει Cd Ὅτι ὁ κατὰ τῶν φίλων αὐτοῦ δολίας μηχανὰς συνθεὶς ἐν ταύταις πεσεῖται Mb.

Digitized by Google

Aliter.

Πέρδικα δέ τις κυνηγέτης ἀγρεύσας
ἔμελλεν αὐτὴν ἐν γάμῳ καταθῦσαι.
Ἡ δ' ἱκέτευεν αὐτὸν λέγουσα οὕτως·
« Ἔασόν με ζῆν, κυνηγέτα περδίκων,
κἀγὼ δέ σοι πέρδικας ⟨πολλὰς⟩ προσάξω. »
Ὁ δ' ἀνηλεῶς ἔφη πρὸς ταύτην τάδε·
« Σὺ⟨δὴ⟩ ταῖς πέρδιξι προσαγγεῖλαι θέλεις
εἰς χεῖρας ἐμάς τινα μὴ πλησιάσαι. »

Ὁ μῦθος πρὸς τὸ μηδ' ὅλως πιστεύειν τοῖς ἐχθροῖς.

Cod. T 4.

1 τι cod. || 5 πέδικας cod. || πολλὰς addidi || 7 δὴ addidi || τοῖς cod.

Aliter.

Πέρδιξ καὶ ἄνθρωπος.

Πέρδικά τις ἀγρεύσας ἤθελε ταύτην καταθῦσαι. Ἡ δὲ παρεκάλει ἐκλυθῆναι καὶ πολλὰς πέρδικας προσάξει τῷ κυνηγέτῃ. Ὁ δὲ κυνηγός· « Διὰ τοῦτο μᾶλλόν σε ἐγὼ θύσω, ὅτι τοὺς συγγενεῖς σου ἐνεδρεῦσαι θέλεις. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τοὺς φίλους προδιδόντες αὐτοὶ ἐν ταῖς ἐνέδραις ἐμπίπτουσιν.

Codd. Ce 98 Cf 105.

2 ἐκλυθῆναι nos ἐκθῆναι Ce οἰαθῆναι Cf || προσάξαι Ce || 4 ὅτι τοὺς συγγενυία σου Ce ὅτι φίλους σοὺς Cf || 5 ὁ τοὺς φίλους μηχανόμενος ἐν ταῖς ἐνέδραις ἐμπεσεῖται Cf.

Aliter.

Πέρδικά τις θηρεύσας ἤμελλε σφάξαι. Ἡ δὲ ἱκέτευε λέγουσα· « Ἔασόν με ζῆν καὶ ἀντ' ἐμοῦ πολλὰς πέρδικας ἐγώ σοι κυνηγήσω. » Ὁ δὲ εἶπεν· « Δι' αὐτὸ τοῦτο μᾶλλόν σε θύσω, ὅτι τοὺς συνήθεις καὶ φίλους σοι ἐνεδρεῦσαι θέλεις. »

Ὅτι ὁ κατὰ φίλων αὐτοῦ δολίας μηχανὰς συντιθεὶς αὐτὸς ἐν ταῖς ἐνέδραις τῶν κινδύνων ἐμπεσεῖται.

Codd. Ba 122 Bb 73.

1 Πέρδικαν Ba || 2 με ζῆν με Bb || 6 κατὰ φίλον Ba || δολίως Bb

Digitized by Google

302

Περιστερὰ διψῶσα.

Περιστερὰ δίψει συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι πίνακι κρατῆρα ὕδατος γεγραμμένον, ὑπέλαβεν ἀληθινὸν εἶναι. Διόπερ πολλῷ ῥοίζῳ ἐνεχθεῖσα ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐντινάξασα. Συνέβη δὲ αὐτῇ, τῶν πτερῶν περιθραυσθέντων, ἐπὶ τῆς γῆς καταπεσοῦσαν ὑπό τινος τῶν παρατυχόντων συλληφθῆναι.

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ σφοδρὰς ἐπιθυμίας ἀπροσκέπτως τοῖς πράγμασιν ἐπιχειροῦντες λανθάνουσιν ἑαυτοὺς εἰς ὄλεθρον εἰσιέντες.

Codd. Pa 202 Pb 197 Pf 112 Pg 126 Mb 179 Me 146 Mf 121 Ca 160.

1 Περιστερά ποτε Ca || ἔν τινι ποταμῷ Pb || **2** ἀληθῆ Pg Mb Ca || **3** ῥύζῳ Pa || ἔλαθεν αὑτὴ ἐμπεσεῖν καὶ ἐκτιναξάσαι Pb || **4** ἐκτινάξασα Mf || δὲ om. Pb οὖν Pg Mb Ca || περικλασθέντων Pb παραθραυσθέντων Pg || **5** ἐπὶ τῆς γῆς Pa ἐπὶ τὴν (τὴν om. Pg) γῆν ceteri || καταπεσοῦσα Pb Pg || παρατετυχηκότων Pg Mb Ca || **6** καταληφθῆναι Pb || **7** Οὕτως οἱ διὰ σφοδρὰς Pf Me Mf || ῥαθυμίας Pb || **8** ἀπερισκέπτοις Pb -τως Pf Me Mf Ca || προσερχόμενοι pro ἐπιχειροῦντες Pf Me Mf || **9** ἑαυτοὺς εἰς ὄλεθρον βάλλουσι (ἐμβάλουσιν Pg περιβάλλουσιν Mb Ca) omisso λανθάνουσιν Pb Pg Mb Ca || εἰσιέντες Sternbach εἰσιόντες Pa ἐμβάλλοντες (-βαλόντες Mf) Pf Me Mf.

Aliter.

Περιστερὰ δίψῃ συνεχομένη, ὡς ἐθεάσατο ἔν τινι τόπῳ κρατῆρα ὕδατος γεγραμμένον, ἐνόμισεν ἀληθινὸν εἶναι. Διὸ καὶ πολλῷ τῷ ῥοίζῳ ἐνεχθεῖσα ἔλαθεν ἑαυτὴν τῷ πίνακι ἐμπεσοῦσα, ὡς καὶ τῶν πτερῶν αὐτῆς περικλασθέντων καταπεσεῖν ἐπὶ γῆν καὶ ὑπό τινος τῶν παρατυχόντων ἁλῶναι.

Codd. La 124 Lb 114 Le 114 Lf 124 Lh 64 Mg 138 Mj 135 Ml 140.

2 γεγραμμένην Lf || **3** ἀνενεχθεῖσα Le || **4** ἐμπεσοῦσαν Ml || **5** περιτυχόντων Mj.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι ἔνιοι τῶν ἀνθρώπων διὰ σφοδρᾶς προθυμίας ἀπερισκέπτως τοῖς πράγμασιν ἐγχειροῦντες ἐμβάλλουσιν ἑαυτοὺς εἰς ὄλεθρον.

7 Ὅτι Mg || δηλοῖ om. Le Lh || ὅτι οὕτως ἔνιοι Le Lh Mj || ὑπὸ σφοδρᾶς ἐπιθυμίας Ml || 8 ἀπερισκέπτοις πράγμασιν Lb Le Lh || 9 ἑαυτοὺς εἰς ὄλεθρον ἐμβάλλουσιν Lb Le Lh Mj Ml.

303

Περιστερὰ καὶ κορώνη.

Περιστερὰ ἔν τινι περιστεροτροφείῳ τρεφομένη ἐπὶ πολυτεκνίᾳ ἐφρυάττετο. Κορώνη δὲ ἀκούσασα αὐτῆς τῶν λόγων ἔφη· « Ἀλλ', ὦ αὕτη, πέπαυσο ἐπὶ τούτῳ ἀλαζονευομένη· ὅσῳ γὰρ ἂν πλέονα τέκνα σχῇς, τοσούτῳ περισσοτέρας δουλείας στενάξεις. »

Οὕτω καὶ τῶν οἰκετῶν δυστυχέστατοί εἰσιν ὅσοι ἐν τῇ δουλείᾳ τεκνοποιοῦσιν.

Codd. Pa 203 Pb 198 Pc 109 Pe 60 Pf 113 Pg 127 Ma 129 Mb 180 Mc 147 Mf 122 Ca 161 La 125 Lb 115 Le 115 Lf 125 Lh 65 Mg 139 Mj 136 Ml 136.

1 περιστροφίῳ (correctum in περιστερεῶνι in Me) Pf Me Mf περιστερεῶνι (-ρῶνι Pb Pc) Pb Pc Pg Ma Mb Ca L Mg Mj Ml || ἐπὶ om. Ma ἐν Pg Mb Ca || 2 πολυτελείᾳ Pc πολλὰ τέκνα Pe || ἀκούουσα Pa || αὐτῆς ἀκούσασα Pb L Mg Mj Ml || ταῦτα Pe αὐτὴν Pf || τῶν λόγων Pa Ca om. ceteri || 3 Ἀλλ' ὦ αὕτη om. Pe Pf Me Mf Ἀλλ' om. Pg Mb Ca || πέπαυσο .. ἀλαζονευομένη om. Ma || τοῦτο Pe Le τούτοις Pg Mb || σεμνυνομένη pro ἀλαζονευομένη L Mj Ml || ἐπὶ τούτῳ σεμνυνομένη om. Mg || 4 ὅσον .... τοσοῦτον Pb Pe ὅσῳ .. τοσοῦτον Pf Ma Me || ἂν om. Pc Pe Pf Me Mf || πλέονα Pa Pf πλείονα ceteri || σχῇς Pa ποιῇς Pb ἔχῃς Pc ἔχεις Pe Pf Pg Ma Mb Me Mf Ca τίκτῃς (-τεις Mj) omisso τέκνα L Mg Mj Ml || τοσούτῳ καὶ πλείους (πλείω Le) λύπας συνάγεις (ἔχεις Mf) L Mf Mg Mj Ml || περιστερὰ pro περισσοτέρας Pa || περισσοτέρας λύπας συνάγεις Pb || περισσοτέρᾳ δουλείᾳ Pg Mb περισσοτέραν δουλείαν Pf Me || δουλείᾳ omisso περισσοτέρᾳ Ma περισσότερον δουλείᾳ (δουλείᾳ om. Pe) Pe Ca || 5 στενάζεις Pa Pe Ca || 6 Ὁ μῦθος δηλοῖ (δηλοῖ om. Le) ὅτι καὶ L Mj Ml Ὅτι καὶ Mg || Οὕτως καὶ οἱ οἰκέται Pe || δυστυχέστεροι (-χεῖς Pb) P (excepto Pe) Mb Me Mf Ca στηχέστατοι Ma || οἳ pro ὅσοι Pf ὅσοι om. Mg || 7 τέκνα ποιοῦσι πολλά Pb τεκνογονοῦσι Pe Pf Me Mf τέκνα ποιοῦσιν (-ῶσιν Pg) Pg Mb πολλὰ τέκνα (τέκνα πολλὰ Le Lh Mj) ποιοῦσι (ποθοῦσιν Ml ποιοῦντες Mg) L Mg Mj Ml.

Digitized by Google

Aliter.

Περιστερὰ ἔν τινι περιστερεῶνι τρεφομένη ἐν πολυτεκνογονείᾳ ἐφρυάττετο. Κορώνη δὲ ἀκούσασα ταύτην ἔφη· « Παῦσαι τοῦ ἀλαζονεύεσθαι· ὅσον γὰρ πλέονα τέκνα ἔχεις, τοσοῦτον περισσοτέρους δούλους συνάξεις. »
Ὁ μῦθος δηλοῖ ὅτι τῶν οἰκετῶν δυστυχέστεροί εἰσιν ὅσοι ἐν δουλείᾳ τεκνοποιοῦσιν.

Codd. Ce 100 Cf 107.

1 περιστερόνι Cf || πολυτεχνίᾳ Cf || **2** ἐφρυάττετο om. Ce || **3** πλέον libri || **4** περισσοτέρου δούλου συνάξῃς Cf. || **5** ὅτι οὕτω καὶ Cf.

304

Πῆραι δύο.

Προμηθεὺς πλάσας ποτὲ ἀνθρώπους δύο πήρας ἐξ αὐτῶν ἀπεκρέμασε, τὴν μὲν ἀλλοτρίων κακῶν, τὴν δὲ ἰδίων, καὶ τὴν μὲν τῶν ὀθνείων ἔμπροσθεν ἔταξε, τὴν δὲ ἑτέραν ὄπισθεν ἀπήρτησεν. Ἐξ οὗ δὴ συνέβη τοὺς ἀνθρώπους τὰ μὲν ἀλλότρια κακὰ ἐξ ἀπόπτου κατόπτεσθαι, τὰ δὲ ἴδια μὴ προορᾶσθαι.

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἄνδρα πολυπράγμονα, ὃς ἐν τοῖς ἑαυτοῦ πράγμασι τυφλώττων τῶν μηδὲν προσηκόντων κήδεται.

Codd. Pa 214 Pc 113.

1 πέντε pro ποτὲ libri || **2** τὴν μὲν ἀλλοτρίαν κακῶν, τὴν δὲ ἰδίαν Pc || **3** τῆς ὀθνείων Pc || **4** ἐκρέμασεν pro ἀπήρτησεν Pc || **5** ἀπόπτου Sternbach ἀπροόπτου libri || κατόπτεσθαι nos -οπτάζεσθαι libri || **7** Οὕτω pro Τούτῳ libri.

Aliter.

Προμηθεὺς ὁ θεός, ὥς φασι, πρῶτον ἄνθρωπον πλάττων, δύο πήρας πηλίνας αὐτῷ ἀπεκρέμασε γεμούσας κακῶν, τὴν μὲν ἔμπροσθεν, τὴν βραχυτάτην, τῶν ἀλλοτρίων, τὴν δὲ ὄπισθεν, τὴν μείζω, τῶν ἰδίων.

Codd. Mb 196 Ba 50.

1 Θεῶν ὁ Προμυθεὺς Ba || φησι Mb || **2** ἀπεκρέμασε nos ἐπεκρέμασε Mb ἀποκρεμάσαι Ba || **3** τῶν ἀλλοτρίων τὴν βραχυτάτην, τὴν δὲ ὄπισθεν, τὴν τῶν ἰδίων, μείζω Ba.

Digitized by Google

Ὅτι οἱ ἄνθρωποι τὰς ἀλλοτρίας μᾶλλον συμφορὰς βλέπουσιν ἀκριβῶς, τὰς δὲ οἰκείας ἀγνοοῦσιν.

5 οἱ om. Ba || τὰς ἀλλήλων Ba || 6 τὰς οἰκείας δὲ Ba.

305

Πίθηκος καὶ ἁλιεῖς.

Πίθηκος ἐπί τινος ὑψηλοῦ δένδρου καθίσας, ὡς ἐθεάσατο ἁλιεῖς ἐπί τινος ἠϊόνος σαγήνην βάλλοντας, παρετηρεῖτο τὰ ὑπ' αὐτῶν πραττόμενα. Ὡς δὲ ἐκεῖνοι τὴν σαγήνην ἀνασπάσαντες μικρὸν ἄποθεν ἠρίστων, καταβὰς ἐπειρᾶτο καὶ αὐτὸς τὰ αὐτὰ πράττειν· φασὶ δὲ μιμητικὸν εἶναι τὸ ζῷον. Ἐφαψάμενος δὲ τῶν δικτύων, ὡς συνελήφθη, ἔφη πρὸς ἑαυτόν· « Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ ἁλιεύειν μὴ μαθὼν τούτῳ ἐπεχείρουν ; »

Ὁ λόγος δηλοῖ ὅτι ἡ τῶν μηδὲν προσηκόντων ἐπιχείρησις οὐ μόνον ἀσύμφορος, ἀλλὰ καὶ ἐπιβλαβής ἐστιν.

Codd. Pa 204 Pb 199 Pg 128 Mb 181.

1 καθήσας Pa καθήμενος Pb Pg || 2 ἔν τινι ποταμῷ Pb ἐπί τινος ποταμοῦ Pg Mb || ἕλκοντας pro βάλλοντας Pa || παρετήρει Pb || 4 ἔρριπτον Pa ἠρίστουν Mb || ὁ πίθηκος καταβὰς Pb || 5 φασὶ γὰρ Pb Pg Mb || ζῷον εἶναι· τὸ τοιοῦτον ἐφαψάμενος τῶν ἰχθύων, ὡς Pb || 7 ἁλιεὺς Pb || 8 τοῦτο Pa Pb Pg || 9 Epim. deest in Pb.

Aliter.

Πίθηξ ἔν τινι ὑψηλῷ δένδρῳ καθήμενος, ὡς ἐθεάσατο ἁλιεῖς ἐπί τινος ποταμοῦ σαγήνην βάλλοντας, παρετήρει τὰ ὑπ' αὐτῶν γινόμενα. Καὶ δὴ τούτων τὴν σαγήνην ἐασάντων, καὶ μικρὸν ὑποχωρησάντων τοῦ φαγεῖν, καταβὰς ἀπὸ τοῦ δένδρου, ἐπειρᾶτο μιμεῖσθαι αὐτούς· φασὶ γὰρ μιμητικὸν εἶναι τὸ ζῷον τοῦτο. Ἐφαψάμενος δὲ τῶν δικτύων καὶ συλ-

Codd. Ca 162 Cd 108 Ce 95 Cf 101 Cg 39 Ch 114 Ml 144.

1 Πίθηκος Ce Cf Cg Ch || δένδρῳ ὑψηλῷ Cd || καὶ θεασάμενος Ml || 2 ἐπί τινα ποταμὸν Ca Ce Cf Ml || βαστάζοντας Ca ἐμβάλλοντες (-βαλόντες Cf) Ce Cf || 3 γενόμενα Cf Ml || Καὶ δὴ τὴν σαγήνην ἐάσαντες μικρὸν ὑπεχώρησαν τοῦ φαγεῖν, καταβὰς δ' (καὶ καταβὰς Cg) αὐτὸς libri excepto Ca || 4 ἐπὶ τοῦ δένδρου Cg || 5 μιμητικὸν γάρ φασι Ml || 6 καὶ συλληφθέντα αὐτὸν Ce Cf.

Digitized by Google

ληφθεὶς ἐκινδύνευε πνιγῆναι. Ὁ δὲ πρὸς ἑαυτὸν ἔφη· « Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ ἁλιεύειν μὴ μαθὼν τούτῳ ἐπεχείρουν ; »

Ὁ λόγος δηλοῖ ὅτι ἡ τῶν μηδὲν προσηκόντων ἐπιχείρησις οὐ μόνον ἀσύμφορος, ἀλλὰ καὶ ἐπιβλαβής ἐστι.

7 ἐπορεύετο πνιγῆναι Cd Cg Ch || Καὶ πρὸς ἑαυτὸ οὕτως πως ἔφη Cd Καὶ ἔφη πρὸς ἑαυτόν Ce Cf Καί φησιν Ml || **8** πέπονθα δικαίως Cf || δικαίως Cg || τί γὰρ ὃ μὴ μεμάθηκα τοῦ ἁλιεύειν, τοῦτ' ἐπεχείρουν νῦν ποιῆσαι ; λοιπὸν ἄξι' ἀπολέλαυκα τῆς τεχνίας Cd || **9** τοῦτο Ce Cf Cg Ch || **10** Ὅλως δηλοῖ Ca || ὁ τῶν μὴ προσηκόντων ἐπιχειρῶν τοῦτ' ἔστι τῶν μὴ πρεπόντων οὐ μόνων ἀσυβλαβές ἐστιν. Cd || ὅτι τῶν μὴ (μηδὲν Cf) προσηκόντων ὁ (αὐτὰ pro ὁ Cf) ἐπιχειρῶν οὐ μόνον ἀσύμφορον, ἀλλὰ καὶ ἐπιβλαβὲς αὐτῷ γίνεται (ἀλλὰ ἐπιβλαβές. reliquis omissis Cf) Ce Cf Ὅτι τὸ τῶν μὴ προσηκόντων ἐπιχειρεῖν οὐ μόνον ἀσύμφορον, ἀλλὰ καὶ ἐπιβλαβές ἐστι Cg ὅτι ὁ τοῖς μηδὲν προσήκουσιν ἐπιχειρῶν οὐ μόνον ἀσύμφορον αὐτῷ, ἀλλὰ καὶ ἐπιβλαβὲς ποιεῖ Ch || ὁ τῶν μηδὲν προσηκόντων αὐτῷ ἐπιχειρῶν οὐ μόνον ἀσύμφορον, ἀλλὰ καὶ ἐπιβλαβές Ml.

Aliter.

Μιμηλόν ἐστι φύσει ζῷον ἡ πίθηκος. Μία οὖν ἐπὶ τοῦ αἰγιαλοῦ ἑστῶσα εἶδεν ἐπὶ τοῦ χείλους τῆς θαλάσσης ἡπλωμένον καὶ ἡλιαζόμενον δίκτυον. Τοῦτο ἅρασα ἐπειρᾶτο εἰς βυθὸν βαλεῖν· τὸ δὲ ἐπὶ τοῦ τραχήλου εἰληθὲν εἷλκε τὴν μιμὼ κατὰ τοῦ βυθοῦ. Ἡ δ' ἐλάλαζεν ὅτι μηδεὶς ὃ μὴ ἔμαθεν μηδὲ ποιείτω.

Ὅτι μηδεὶς ὃ μὴ ἔμαθε μηδὲ ἐκ πείρας ἔχει πειράτω ποιεῖν· σὺν τῇ ἀπειρίᾳ γὰρ καὶ κακόν τι προσλήψεται.

Cod. Ba 93.
6 ἔλαθεν pro ἔμαθεν cod.

306

Πίθηκος καὶ δελφίς.

Ἔθος ἐστὶ τοῖς πλέουσιν ἐπάγεσθαι κύνας Μελιταίους καὶ πιθήκους πρὸς παραμυθίαν τοῦ πλοῦ. Καὶ δή τις πλεῖν

Codd. Pa 70 Pb 74 Pe 40 Pg 47 Ma 53 Mb 41.
1 ἐστὶ om. Pa || πλέουσι σκαφαῖς Pe || κύνας τε Pb || μολιτιαίους Pa μελιτείνους Pe || **2** πλοίου Pe πλόος Ma || μέλλων πλείνων pro πλεῖν μ- Pe μέλλων πλεεῖν Ma.

Digitized by Google

μέλλων πίθηκον συνανήνεγκε. Γενομένων δὲ αὐτῶν κατὰ Σούνιον (ἐστὶ δὲ τοῦτο Ἀθηναίων ἀκρωτήριον) συνέβη χειμῶνα σφοδρὸν γενέσθαι. Περιτραπείσης δὲ τῆς νηὸς καὶ πάντων διακολυμβώντων, καὶ ὁ πίθηκος ἐνήχετο. Δελφὶς δὲ θεασάμενος αὐτὸν καὶ οἰόμενος ἄνθρωπον εἶναι ὑπεξελθὼν διεκόμιζεν. Ὡς δὲ ἐγένετο κατὰ τὸν Πειραιᾶ, τὸν λιμένα τῶν Ἀθηναίων, ἐπυνθάνετο τοῦ πιθήκου εἰ τὸ γένος Ἀθηναῖός ἐστι. Τοῦ δὲ εἰπόντος καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων, ἐκ δευτέρου ἤρετο αὐτὸν εἰ ἐπίσταται τὸν Πειραιᾶ. Καὶ ὃς ὑπολαβὼν αὐτὸν ἄνθρωπον λέγειν, ἔφασκε καὶ φίλον αὐτῷ καὶ συνήθη τοῦτον. Καὶ ὁ δελφὶς ἀγανακτήσας κατὰ τῆς αὐτοῦ ψευδολογίας βαπτίζων αὐτὸν ἀπέκτεινε.

Πρὸς ἄνδρα ψευδολόγον ὁ λόγος εὔκαιρος.

3 συνανήνεγκε μετ' αὐτοῦ πίθηκον Pe || **4** τὸ Σούνιον Pb Pe Pg || Λήνιον Pe || ἀκρωτήριον δὲ τοῦτο Ἀθηναίων omisso ἐστὶ Pa || τῶν Ἀθηναίων ἀκρότερον Pe || ἐπί τινα ἀκροτήριον omisso ἐστὶ δὲ τοῦτο Ἀθηναίων Ma || **5** κλυδόνα pro χειμῶνα Pe || Καὶ τῆς νηὸς περιτραπείσης Pe || περιστραφείσης Pg παραστραφείσης Mb || **6** τῶν ἀνθρώπων pro πάντων Pe || διακολυμβούντων Pa Pe || καὶ ante ὁ πίθηκος om. Pb Pg Mb || πίθηξ Pe || **7** Δελφὶν Pb || καὶ ante οἰόμενος om. Pb Pg Mb || οἰηθεὶς Pe || **8** ὑπεξελθὼν .... ἄνθρωπον λέγειν om. Pb || ὑπεξελθὼν Mb ὑπερεξελθὼν Pa Pg ὑπερεπθὼν Ma || διακομίζων ἔσωζεν, omisso ὑπεξελθὼν Pe || ἐγένοντο Pe Ma || **9** τὸν τῶν Ἀθηναίων λιμένα libri excepto Pa || ἐπυνθάνετο ὁ δελφὶς παρὰ πίθηκος Pe || **10** λαμπρῶν γε Pg || **11** γονέων ἐνταῦθα τετυχηκέναι (-χηκεν Pe) Pe Mb || πάλιν ὁ δελφὶς ἠρώτα Pe || εἴρετο Pa ἠρώτα Pg Ma || **12** ἐπίστασθαι Ma || Ὁ δὲ πίθηξ ὑπολαβὼν Pe || δοκήσας Ma || ἄνθρωπον om. Pe Mb || ἄνθρωπον αὐτὸν λέγειν Pg || **13** αὐτὸν καὶ συνήθη γενέσθαι (εἶναι Pe) Pb Pe || αὐτοῦ καὶ συνήθει Ma || **14** δελφὶν Pb || μετὰ pro κατὰ Pa || **15** αὐτὸν om. Pb || πικρῶς ἐν τῷ ὕδατι ἀπέπνιξεν Pe || ἀπέπνιξεν Pg -πνιγεν Mb || **16** Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρας οἳ τοὺς εὐεργέτας αὐτῶν διαψεύδεσθαι βούλονται Pb Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρας ἀποκρύδειν πειρώμενοι χρῶνται τῷ ψεύδει κατ' αὐτῶν Pe || ὁ λόγος εὔκαιρος om. Pg || ὁ μῦθος omisso εὔκαιρος Mb || Ὁ λόγος εὔκαιρος πρὸς ἄνδρα ψευδολόγον τὴν ἀλήθειαν ὑποκρύπτειν πειρώμενον Ma (quod epim. fabulae sequenti annexum est).

Digitized by Google

Aliter.

Ἔθους ὄντος τοῖς πλέουσι Μελιταῖα κυνίδια καὶ πιθήκους ἐπάγεσθαι πρὸς παραμυθίαν τοῦ πλοῦ, πλέων τις εἶχε σὺν ἑαυτῷ καὶ πίθηκον. Γενομένων δ' αὐτῶν κατὰ τὸ Σούνιον, τὸ τῆς Ἀττικῆς ἀκρωτήριον, χειμῶνα σφοδρὸν συνέβη γενέσθαι. Τῆς δὲ νεὼς περιτραπείσης καὶ πάντων διακολυμβώντων, ἐνήχετο καὶ ὁ πίθηκος. Δελφὶς δέ τις αὐτὸν θεασάμενος καὶ ἄνθρωπον εἶναι ὑπολαβών, ὑπελθὼν ἀνεῖχε διακομίζων ἐπὶ τὴν χέρσον. Ὡς δὲ κατὰ τὸν Πειραιᾶ ἐγένετο, τὸ τῶν Ἀθηναίων ἐπίνειον, ἐπυνθάνετο τοῦ πιθήκου εἰ τὸ γένος ἐστὶν Ἀθηναῖος. Τοῦ δὲ εἰπόντος καὶ λαμπρῶν ἐνταῦθα τετυχηκέναι γονέων, ἐπανήρετο εἰ καὶ τὸν Πειραιᾶ ἐπίσταται. Ὑπολαβὼν δὲ ὁ πίθηκος περὶ ἀνθρώπου αὐτὸν λέγειν, ἔφη καὶ μάλα φίλον εἶναι αὐτῷ καὶ συνήθη. Καὶ ὁ δελφὶς ἐπὶ τοσούτῳ ψεύδει ἀγανακτήσας, βαπτίζων αὐτὸν ἀπέκτεινεν.

Ὁ μῦθος πρὸς ἄνδρας οἳ τὴν ἀλήθειαν οὐκ εἰδότες ἀπατᾶν νομίζουσιν.

Codd. La 92 Lb 47 Le 47 Lf 92 Me 54 Mg 70 Mj 57 Ml 67.

1 καὶ κυνίδια Le || **3** σὺν αὐτῷ Lb Ml || **7** ὑπελθὼν Me Mj ἀπελθὼν L Mg || **9** ἐπυνθάνετο τὸν πίθηκον Le || **10** τοῦ πίθηκος Ml || **11** ἐπανήρετο καὶ αὖθις Le || **13** αὐτῷ λέγειν Le Me Mj || πάνυ pro μάλα Ml || **15** καταβαπτίζων Me || **16** Ὁ μῦθος πρὸς ἀνθρώπους δηλοῖ οἳ τὴν ἀλήθειαν μὴ ... Mj.

307

Πίθηκος καὶ κάμηλος.

Ἐν συνόδῳ τῶν ἀλόγων ζῴων πίθηκος ἀναστὰς ὠρχήσατο. Σφόδρα δὲ αὐτοῦ εὐδοκιμοῦντος καὶ ὑπὸ πάντων ὑποσημαινομένου, κάμηλος φθονήσασα ἐβουλήθη τῶν αὐτῶν

Codd. Pa 80 Pb 84 Pc 43 Pe 48 Ma 63 Mb 49 Mj 51 Ca 71 Lb 54 Le 54.

1 πίθηξ ὀρχησαμένη καὶ σφόδρα εὐδοκιμήσασα καὶ ἐπαινεθεῖσα, κάμηλος Pe || ὠρχεῖτο Pb Mb Ca || **2** Σφόδρα δ' εὐδοκιμήσας, βασιλεὺς ὑπ' αὐτῶν ἐχειροτονήθη. Κάμηλος δὲ φθονήσασα, ἀναστᾶσα καὶ αὐτὴ ἐπειρᾶτο ὀρχεῖσθαι Lb Le || εὐδοκιμήσαντος καὶ ὑπὸ πάντων ἐπαινουμένου Ma || ἐπισημαινομένου Mj σημαινομένου Ca ἐπαινουμένου Mb || **3** ἠβουλήθη Pb Pe Mj || ἐβουλήθη ... ἐφικέσθαι om. Ca || τῶν αὐτῶν om. Pe Ma τὸν αὐτὸν Mb.

Digitized by Google

ἐφικέσθαι. Διόπερ ἐξαναστᾶσα ἐπειρᾶτο καὶ αὐτὴ ὀρχεῖσθαι. Πολλὰ δὲ αὐτῆς ἄτοπα ποιούσης, τὰ ζῷα ἀγανακτήσαντα ῥοπάλοις αὐτὴν παίοντα ἐξήλασαν.

Πρὸς τοὺς διὰ φθόνον κρείττοσιν ἁμιλλωμένους ὁ λόγος εὔκαιρος.

4 ἀναστᾶσα Pe Ma || ὀρχήσασθαι Pb Pe Mj || 5 Πολλῷ Pb || καὶ αὐτῆς ἄτοπα ἐπιχειρησάσης Pc || ποιησάσης Pb Mj || ἀγανακτήσαντα τὰ ζῶα Lb Le || 6 αὐτὰς πεσόντα Pa || παίοντες Pe παίσαντες Le om. Ca || 7 Ὁ λόγος δηλοῖ πρὸς Pe Ὅλως πρὸς Ca Ὁ λόγος εὔκαιρος πρὸς Ma (epim. fabulae sequenti annexum) || κρείττοσιν ἀνθρώποις ἁμιλόμενοι Pe || ἁμιλλομένους Pa || ἁμιλλωμένους καὶ ἐφαλλομένους (σφαλλομένους Ca φθονουμένους Mb) Pb Mb Ca ἁμιλῖ λωμένους, εἶτ' ἐκ τούτου σφαλλομένους Pc Ma || 7-8 Ὁ μῦθος δηλοι (δηλοῖ om. Lb) ὅτι οἱ διὰ φθόνον κρείττοσιν ἁμιλλώμενοι σφάλλονται Lb Le.

308

Πιθήκου παῖδες.

Τοὺς πιθήκους φασὶ δύο τίκτειν καὶ τὸ μὲν ἓν τῶν γεννημάτων στέργειν καὶ μετ' ἐπιμελείας τρέφειν, τὸ δὲ ἕτερον μισεῖν καὶ ἀμελεῖν. Συμβαίνει δὲ κατά τινα θείαν τύχην τὸ μὲν ἐπιμελούμενον ἡδέως καὶ στερρῶς ἀγκαλιζόμενον παρὰ τῆς μητρὸς ἀποπνίγεσθαι, τὸ δὲ ὀλιγωρούμενον ἐκτελειοῦσθαι.

Codd. Ca 182 Cb 99 Cd 115 Ce 113 Cf 121 Ch 122 Mc 92 Pb 215 Pg 139 Ma 135.

1 πίθηκας Ca Cd Ce Cf Pg Mc || δύο τίκτειν φασὶ Cd || δύο φασὶ Ce Cf || φασὶ om. Cb Mc || ἓν om. Pb || τὸν μὲν ἕτερον ... τὸν δὲ ἕτερον Pg Ma || τὸν μὲν ἕνα τρέφειν (-φει Cd) καὶ περιποιεῖσθαι καὶ ἀγαπᾶν, τὸν δὲ ἕτερον Cb Cd Ce Cf Ch Mc || 3 καὶ ἀμελεῖν om. Ma || καταφρονεῖν pro ἀμελεῖν Cb Cd Mc ἀμελεῖσθαι Pb || συμβαίνειν δὲ Mc || θείαν om. Cb Cd Ce Cf Ma Mc || 4 τὸν (τοῦ Cb Mc) μὲν ἐπιμελούμενον (-νου Mc ἐπιμελλούμενον Cd -νος Cb) ἡδέως (-έα Cd) καὶ στερρῶς (στερῶς Mc) Cb Cd Ch Mc || τὸν μὲν ἐπιμελούμενον φθείρεσθαι, τὸν δὲ ἀμελούμενον σώζεσθαι (ἐκτελειοῦσθαι Cf) Ce Cf τὸ (τὸν Pg Ma) μὲν ἐπιμελούμενον ἀποθνήσκειν, τὸ (τὸν Pg) δὲ ὀλιγωρούμενον ἀναθάλλειν (ἐκτελειοῦσθαι Pg ἐκτελεῖσθαι Ma) Pb Pg Ma || καὶ στερρῶς om. Ca || καὶ ἐναγκαλιζόμενον Cd καὶ ἀγκαλιζομένου Mc || 5 τὸν δὲ ἀμελούμενον ἐκτελειοῦσθαι Cb Cd Ch Mc || τὸν δὲ ἀμελούμενον ἀνατρέφεσθαι Cd.

Digitized by Google

Ὁ λόγος δηλοῖ ὅτι πάσης προνοίας ἡ τύχη δυνατωτέρα καθέστηκε.

7 Ἡ λωσις (lege Ἡ λύσις) τούτου ὅτι πάση ἐπιμελλείας ἡ τύχη δυνατωτέρα καθέστηκε Cd || Ὁ μῦθος Mc Ce Cf || Ὅλως δηλοῖ Ca || ὅτι om. Cf || πονηρᾶς Ma πονηρίας Ce Cf || πάσης ἐπιμελείας πρόνοια δυνατωτέρα καθέστηκεν Mc || 8 καθέστηκε om. Ma Ce Cf.

Aliter.

Μιμώ.

Δύο γεννᾷ τέκνα μιμώ· καὶ τὸ μὲν ἓν ἀγαπᾷ, τὸ δὲ ἕτερον μισεῖ. Καὶ ὃ μὲν στέργει, ἀεὶ ἐν τοῖς κόλποις περιφέρουσα καὶ τιθεῖσα ἔνθεν κἀκεῖθεν καὶ τοῦτο καταφιλοῦσα ἀποπνίγει· ὃ δὲ μισεῖ, διώκει. Τοῦτο δὲ ἐν ταῖς ἐρημίαις ἀπελθὸν ζῇ καθ' ἑαυτό.

Ὅτι τοιοῦτον ἦθός τινες τῶν ἀνθρώπων ἔχουσιν, οἷς ἀεὶ μᾶλλον ἐχθραίνειν ἐστὶ καλὸν ἢ φιλεῖν· [ὅπερ καὶ περὶ γονέων πολλάκις πρὸς οἰκεῖα γίνεται τέκνα, ὡς δῆθεν φίλων αὐτὰ τῆς σωτηρίας ἐμποδίζουσιν· ὅσα δὲ δῆθεν μισοῦσι, αὐτὰ εὐκόλως πρὸς σωτηρίαν ἀπέρχονται καὶ τὸ τῶν μονάχων σχῆμα περιβάλλονται.]

Codd. Ba 30 Bb 19 Mg 53.

3 τεθεῖσα Mg || 4 μισεῖ καὶ διώκει, τοῦτ' ἐν ταῖς ἐρημίαις ἀπελθὸν Mg || ἀπελθὼν ἐν ταῖς ἐρήμοις Bb || 5 Post καθ' ἑαυτό addit Ba Ὀλέθριος (lege ὀλεθρίας) φιλίης ἐχθρὰ προτιμοτέρη. || 6 ἔχουσί τινες τῶν ἀνθρώπων Bb || Ὅτι τισὶν ἐχθραίνειν μᾶλλόν ἐστι καλὸν ἢ φιλεῖν Mg || 7 [ὅπερ ... περιβάλλονται] Bb solus.

Aliter.

Δύο τέκνων μητέρα τὸν πίθηκον εἶναι ἀκήκοα· ἀμφοτέροις οὖν κληρονομίαν χαρίζεσθαι, τῷ μὲν τὸ μῖσος, τῷ δὲ τὴν οἰκείαν ἀγάπην, δι' ἧς καὶ ἀποκτείνει τὸ πεφιλημένον, συχνῶς περιπτυσσομένη καὶ περιλείχουσα. Τὸ δὲ μισηθὲν τὰς ἐρήμους φοιτῆσαν, διέδρασε τὸν κίνδυνον.

Κρεῖττω ἡμῖν τῆς κακίστης φιλίας τὴν ἐχθρὰν ἐλέγχει ὁ μῦθος.

Cod. Bc 24.

6 ἐλέγχει ὁ μῦθος nos ἐλέγχουσα cod.

Digitized by Google

Aliter.

Ὁ πίθηκος δύο τέκνα τεκὼν τὸ μὲν ἕτερον τούτων ἀγαπῶν ἐνστερνίζεται, τὸ δὲ ἕτερον ἀποστρέφεται· καὶ ὃ μὲν ἀγαπᾷ, ἐν τοῖς κόλποις ἀεὶ περισφίγγει καὶ θανατοῖ ἀποπνίγουσα· ὃ δὲ μισεῖ, μὴ περισφιγγόμενον ἀποφεύγει τὸν θάνατον.

Cod. Bd 13.

309

Πλέοντες.

Ἐμβάντες τινὲς εἰς σκάφος ἔπλεον. Γενομένων δὲ αὐτῶν πελαγίων, συνέβη χειμῶνα ἐξαίσιον γενέσθαι καὶ τὴν ναῦν μικροῦ καταδύεσθαι. Τῶν δὲ πλεόντων ἕτερος περιρρηξάμενος τοὺς πατρῴους θεοὺς ἐπεκαλεῖτο μετ' οἰμωγῆς καὶ στεναγμοῦ χαριστήρια ἀποδώσειν ἐπαγγελλόμενος, ἐὰν περισωθῶσι. Παυσαμένου δὲ τοῦ χειμῶνος καὶ πάλιν καινῆς γαλήνης γενομένης, εἰς εὐωχίαν τραπέντες ὠρχοῦντό τε καὶ ἐσκίρτων, ἅτε δὴ ἐξ ἀπροσδοκήτου διαπεφευγότες κινδύνου. Καὶ στερρὸς ὁ κυβερνήτης ὑπάρχων ἔφη πρὸς αὐτούς· « Ἀλλ', ὦ φίλοι, οὕτως ἡμᾶς γεγηθέναι δεῖ ὡς πάλιν, ἐὰν τύχῃ, χειμῶνος γενησομένου. »

Ὁ λόγος διδάσκει μὴ σφόδρα ταῖς εὐτυχίαις ἐπαίρεσθαι τῆς τύχης τὸ εὐμετάβλητον ἐννοουμένους.

Codd. Pa 75 Pb 79 Pc 40 Pf 38 Ph 40 Ma 58.

2 χειμὼν ἐξαίσιος Ma || **3** μικρὸν Ma || τις pro ἕτερος Ma || **4** καὶ στεναγμοῦ om. Pc || **5** στεναγμῶν Pf || χαριστήρια δὲ Ma || ἐπαγγειλάμενος Pb || **6** μικρᾶς pro καινῆς Ma καινῆς om. Pc Pf Ph || **7** τε om. Ma || **8** καθὰ ἐξ ἀπροσδοκήτου Pb || ἀπροσδοκήτως Pc || τῶν κινδύνων πεφευγότες Ma || πεφευγότες Pb διασωθέντες Ph || **9** κινδύνου om. Pa Pb Pc Ph || Ἕτερος δὲ κυβερνίτης εἶπε πρὸς αὐτούς· Παύσασθαι, ὦ φίλοι Ma || πρὸς τοὺς ἀλλοφύλους pro πρὸς αὐτούς· Ἀλλ' ὦ φίλοι Pa || **10** καὶ ἡμᾶς Pf ὑμᾶς Pc || **11** τύχοι Pa Pf Ph τυχεῖ Ma || χειμῶνος γενήσεσθαι ἔχει Pa || ἐσομένου Pb Ph γενομένου Ma || **12** Μὴ σφόδρα κατεπαίρεσθαι ταῖς εὐτυχίαις ὁ μῦθος διδάσκει Pb Pf Ph || Ὁ λόγος δηλοῖ ... ἐννοούμενοι Pc || Ὁ λόγος διδάσκει μὴ ταῖς εὐτυχίαις σφόδρα ἐπαίρεσθαι τῆς τύχης τὸ εὐκατάβλητον ἐννοούμενοι Ma.

Digitized by Google

310

Πλούσιος καὶ βυρσοδέψης.

Πλούσιος βυρσοδέψῃ παρῳκίσθη· μὴ δυνάμενος δὲ τὴν δυσωδίαν φέρειν διετέλει ἑκάστοτε αὐτῷ ἐπικείμενος, ἵνα μεταβῇ. Ὁ δὲ ἀεὶ αὐτὸν διανεβάλλετο λέγων μετ' ὀλίγον χρόνον μεταβήσεσθαι. Τούτου δὲ συνεχῶς γενομένου, συνέβη, χρόνου διελθόντος, τὸν πλούσιον ἠθάδα τῆς ὀσμῆς γενόμενον μηκέτι αὐτῷ διενοχλεῖν.

Ὁ λόγος δηλοῖ ὅτι ἡ συνήθεια καὶ τὰ δυσχερῆ τῶν πραγμάτων καταπραΰνει.

Codd. Pa 205 Pb 200 Ma 130 Mb 182.

1 Πλούσιος βυρσοδεῦσι περικείμενος ἀνεβάλετο χρόνον λέγων μεταβήσεσθαι duabus lineis omissis Pb Πλούσιον βύρσι παραπλησιάζοντα καὶ μὴ Ma Πλούσιος βύρσει παραμένον μὴ Mb || βυρσοδέψει Pa || **2** ἐπέκειτο αὐτῷ omisso διετέλει ἑκάστοτε Ma Mb || **3** Ὁ δὲ ὡς ἀεὶ Pa Ὁ δὲ ἀνεβάλλετο Ma Mb || **4** Τοῦ δὲ Ma || γινομένου Pa || **5** συνέβη τὸν πλούσιον ἐν συνηθείᾳ τῆς ὀσμῆς τούτου γενομένον, μηκέτι Pb || διελθόντος, ἐν συνηθείᾳ γενόμενον (- νου Mb) τῆς δυσωδίας μηκέτι αὐτὸν (αὐτὸν om. Ma) ἐνοχλεῖν Ma Mb || ἠθάδα τῆς ὀσμῆς Sternbach ἔνθα τις ὡς μὴ Pa || **7** ἡ συνήθεια τῶν ἠθῶν Pa || καὶ τῶν πραγμάτων τὰ δυστηχῆ καταπραΰνει Ma || καταπραΰνειν εἴωθεν Mb.

Aliter.

Πλούσιος βυρσεῖ γειτονεύων καὶ μὴ δυνάμενος τὴν δυσωδίαν φέρειν ἐπέκειτο τῷ βυρσεῖ τοῦ μεταβῆναι ἐκεῖθεν. Ὁ δὲ ἀνεβάλετο λέγων μετ' ὀλίγον χρόνον. Τούτου δὲ συχνῶς γενομένου, συνέβη γενέσθαι συνήθη τῇ δυσωδίᾳ, καὶ οὐκέτ' αὐτὸν ἐνώχλει.

Ὁ μῦθος δηλοῖ ὅτι ἡ συνήθεια καὶ τὰ δυσχερῆ καταπραΰνει πράγματα.

Codd. Ce 101 Cf 108.

1 καὶ om. Cf || **2** ἐπέκειτο αὐτίκα να μεταβῇ. Cf || τὸ βυρσεῖ Ce || **3** ἀνεβάλλετο Cf || **4** συνεχῶς Cf || γινομένου Ce || συνήθην Ce || ἐν συνήθη τῆς δυσωδίας Cf || **5** ἐνοχλεῖ libri || **6** τὰ δυσχεραίματα καταπραΰνει ποαγμάτων Cf.

Digitized by Google

Aliter.

Ἐν τόπῳ τινὶ πλησίον ἀνδρὸς πλουσίου βυρσοδέψης ἔμελλεν οἰκῆσαι. Ὁ δὲ τοῦτον ἐδίωκε διὰ τὴν δυσοσμίαν. Τοῦ δὲ λέγοντος· « Πρὸς ὀλίγον ἀνιαθήσῃ, μέχρις οὗ συνεθίσῃς, καὶ ἔκτοτε οὐκέτι ὀσφρανθήσῃ, » ἔφη· « Οὐ διὰ τὴν σὴν τέχνην ἡμεῖς τὴν αἴσθησιν ἡμῶν ἀποβαλοῦμεν. »
Ὅτι οὐ δεῖ κοινωνεῖν ταῖς ματαίαις συμβουλίαις, μάλιστα ταῖς πρὸς βλάβην τῆς φύσεως οὔσαις.

Codd. Ba 35 Mg 61.

4 ὀσφρανθείσῃ Ba || 6 συμβουλείαις Ba || Epim. in Ba fabulae praecedenti annexum est.

Aliter.

Μυρεψὸς καὶ πλούσιος.

Μυρεψὸς ἔν τινι τόπῳ ἦν οἰκήσας.
Ὁ γοῦν κύριος ἐδίωκε τοῦ οἴκου
διὰ τὴν ὀδμὴν αὐτοῦ καὶ δυσωδίαν.
Τοῦ δὲ λέγοντος· « Ὀλίγον ἀνιάσει,
μετὰ δὲ ταῦτα οὐκέτι ὀσφρανθήσει, »
αὐτὸς πρὸς αὐτὸν οὕτως ἐβόα λέγων·
« Τί διὰ τὴν σὴν ἥνπερ κτᾶσαι νῦν τέχνην
ἡμεῖς ἅπαντες διώξομεν ὀσφρήσεις ; »

Ὅτι οὐ χρὴ ἡμᾶς συγκοινωνεῖν ταῖς ματαίαις συμβουλίαις.

Cod. Mb 120.

8 οἱμεῖς cod.

311

Πλούσιος καὶ θρηνῳδοί.

Πλούσιος δύο θυγατέρας ἔχων, τῆς ἑτέρας ἀποθανούσης, τὰς θρηνούσας ἐμισθώσατο. Τῆς δὲ ἑτέρας παιδὸς λεγούσης

Codd. Pa 206 Pb 201 Pc 110 Pe 61 Pf 114 Pg 129 Mb 183 Me 148 Mf 123 Ca 163 Cf 109 La 126 Lb 116 Le 116 Lf 126 Mg 140 Mj 137 Ml 141.

1 Πλούσιός τις Cf || τῆς μιᾶς ἀποθανούσης Pb Mb L Mg Mj Ml || 2 τὰς om. Pb Pg Mb Cf L Mg Mj Ml || θρηνοῦσα Cf || παιδὸς om. Cf || λαλούσης Pb εἰπούσης Ca.

Digitized by Google

πρὸς τὴν μητέρα· « Ἄθλιαι ἡμεῖς, εἴγε αὗται, ὧν ἐστι τὸ πάθος, θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ μηδὲν προσήκουσαι οὕτω σφόδρα κόπτονται καὶ κλαίουσιν, » ἐκείνη ὑποτυχοῦσα εἶπεν· « Ἀλλὰ μὴ θαύμαζε, τέκνον, εἰ οὕτως οἰκτρῶς αὗται θρηνοῦ σιν· ἐπὶ γὰρ ἀργυρίῳ τοῦτο ποιοῦσιν. »

Οὕτως ἔνιοι τῶν ἀνθρώπων διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσι καὶ ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

3 πρὸς τὴν μητέρα om. Pb L Mg Mj Ml || μητέρα αὐτῆς Pc || ὡς ἄθλιαι Pb L Mg Mj Ml Ἔσθλιαι Pe || ἡμεῖς om. Pb L Mg Mj Ml || ὅτι ἡμεῖς μὲν Ca αἵ γε αὐταί L Mg Mj Ml || Ἄθλιαι αὐταί, εἴγε ὧν ἐστι τὸ πάθος Cf || αὐταὶ (αὗ Pe) μὲν ὧν τὸ πάθος ἐστί Pc Pe Pf Me Mf || ὧν τὸ πάθος ἐστί Ca || ὧν ἐστι om. Pa || τὸ πένθος L Mg Mj Ml || **4** ἔσμεν Pe ἴαμεν Cf || μακρὰν pro μηδὲν Pb μὴ Me Mf L Mg Mj Ml || αἱ δὴ προσήκουσαι Cf || οὕτως Pa || **5** τύπτονται Pc || κλάουσιν Pa[1] || κλαίουσι καὶ κόπτονται Pe || καὶ κλαίουσιν om. Pc Cf L Mg Mj Ml || ἡ μήτηρ pro ἐκείνη Pb Pf Ca Cf Me Mf L Mg Mj Ml καὶ ἡ μήτηρ Pe Pg Mb || ὑπολαβοῦσα Pe ἀποτυχοῦσα Mf ὑποτυχοῦσα om. Pb Pg Mb Ca L || **6** ἔφη Pb Pc Pg Mb Ca Cf L Mg Mj Ml || Ἀλλὰ om. Pb Pc Pg Mb Cf L Mg Mj Ml || θαύμαζε τοῦτο Pc || οὕτως σφοδρῶς αὗται θρηνοῦσιν Mg || αὗται οὕτω Pb L Mj Ml || οἰκτρῶς om. Pb Pf Pg Mb Me Mf L Mg Mj Ml || **7** καὶ γὰρ] Pe || ἐπὶ ἀργυρίῳ γὰρ Mb ἐπεὶ γὰρ ἀργυρίου Cf || ὧσι pro ποιοῦσι Pg || **8** Ὁ λόγος (μῦθος Cf L Mg Mj Ml) δηλοῖ (δηλοῖ om. Le) ὅτι ἔνιοι (οὕτως ἔνιοι Le Mj Ml) Pg Mb La Lb Le Mg Mj Ml Ὅτι (Καὶ γὰρ Pe) πολλοὶ διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ὑπὲρ ἀλλοτρίων συμφορῶν κακοπαθεῖν Pe Pf Me Mf || Ὁ μῦθος δηλοῖ ὅτι διὰ φ. omisso ἔνιοι τῶν ἀνθρώπων Cf || ὀκνοῦσιν ἐνίων συμφορὰς Pg Mb || **8** καὶ ante ἀλλοτρίας om. Pb Cf L Mg Mj Ml || ἐργωλαβεῖν Pa Pg Mb Cf ἔργον λαβεῖν Ca.

Aliter.

Πλούσιός τις δύο θυγατέρας ἔχων, συνέβη τελευτῆσαι τὴν μίαν. Καὶ δὴ θρηνητρίας μισθωσάμενος, ᾠδικώτερον ἔκλαιον. Τῆς δὲ ἑτέρας αὐτοῦ θυγατρὸς πρὸς τὴν αὐτῆς μητέρα εἰπούσης· « Ἄθλιαι αὐταί, εἴγε ὧν ἐστι τὸ πάθος θρηνεῖν οὐκ ἴσμεν, αἱ δὲ ⟨μὴ⟩ προσήκουσαι αὗται οὕτω σφοδρῶς κόπτονται. » Πρὸς δὲ ⟨αὐτὴν⟩ ἡ μήτηρ ἔφη· « Μὴ θαύμαζε, τέκνον· ἐπὶ προσδοκίᾳ γὰρ ἀργυρίου τοῦτο ποιοῦσιν. »

Cod. Ce 102.

4 αὗται cod. || **5** μὴ om. cod. || **6** αὐτὴν om. cod.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ⟨ὅτι⟩ διὰ φιλαργυρίαν οὐκ ὀκνοῦσιν ἀλλοτρίας συμφορὰς ἐργολαβεῖν.

9 ὅτι om. cod. || φυλαργυρίου cod.

312

Ποιμὴν καὶ θάλασσα.

Ποιμὴν ἔν τινι παραθαλασσίῳ τόπῳ νέμων, ὡς ἐθεάσατο τὴν θάλασσαν γαληνήν τε καὶ πραεῖαν, ἐπεθύμησε πλεῖν. Διόπερ πωλήσας τὰ πρόβατα, φοίνικας ἐπρίατο καὶ ναῦν ἐμφορτισάμενος ἀνήχθη. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νηὸς περιτραπείσης, πάντα ἀπολέσας, μόλις ἐπὶ γῆς διενήξατο. Πάλιν δὲ γαλήνης γενομένης, ὡς ἐθεάσατό τινα ἐπὶ τῆς ἠϊόνος ἐπαινοῦντα τῆς θαλάσσης τὴν ἠρεμίαν, ἔφη· « Ἀλλ', ὦ οὗτος, αὕτη γάρ σοι φοινίκων ἐπιθυμεῖ. »

Οὕτω πολλάκις τὰ παθήματα τοῖς φρονίμοις γίνονται μαθήματα.

Codd. Pa 208 Pb 203 Pe 63 Pf 116 Pg 130 Mb 185.

1 τόπῳ om. Pa Pb || 2 γαληνιῶσαν Pa || γαλὴν καὶ πραῦαν ἐπεθύμησε κολυμβᾶν Pe || πλεῖν καὶ ἐμπορεύεσθαι Mb || 3 αὐτοῦ τὰ πρόβατα libri exceptis Pa Pe || φοίνικας ἀγοράσας Pg Mb || νῦν pro ναῦν Pa Pb || 4 ἐνφορτισάμενος Pa ἐμφορτη- Pb φορτη- Pe || ἀνήχθη εἰς τὸ πέλαγος Pe || 5 ἐπιτραπείσης Pa || post πάντα desinit Pe || ἐπὶ τὴν γῆν Pb ἐπὶ τῆς γῆς Pg Mb || 7 ἐπὶ τῆς γῆς pro ἐπὶ τῆς ἠϊόνος Pb Pg Mb ἐπὶ τοῦ αἰγιαλοῦ Pf || τὴν τῆς θαλάσσης ἐρημίαν Pb || νηνεμίαν Pg Mb || 8 σου pro σοι Pg Mb || 10 ἀνθρώποις pro φρονίμοις Pg || γίνεται Mb.

Aliter.

Ποιμὴν ἔν τινι τόπῳ παραθαλασσίῳ ποίμνια νέμων, ὡς ἐθεάσατο τὴν θάλασσαν γαληνήν τε καὶ πραεῖαν, ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν. Διόπερ πωλήσας αὐτοῦ τὰ πρό-

Codd. Ca 164 Cb 94 Cd 109 Ce 96 Cf 102 Cg 40 Ch 115.

1 ἐν θαλασσίῳ τόπῳ libri excepto Ca || νέμων, ἑωρακὼς τὴν θάλασσαν γαληνιῶσαν (γαληνῶς Cf) ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν (ἤπειρον Ce) libri excepto Ca || 3 πρὸς ἐμπορίαν om. Ca || Πωλήσας οὖν (δὲ Ce) τὰ πρόβατα αὐτοῦ libri excepto Ca.

Digitized by Google

βατα καὶ φοίνικας ἀγοράσας ναῦν ἐμφορτωσάμενος ἀνήχθη. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νηὸς περιτραπείσης, πάντα ἀπολέσας, αὐτὸς μόλις ἐπὶ τῆς γῆς διεσώθη. Μετ' οὐ πολλὰς οὖν ἡμέρας τῆς θαλάσσης γαληνιώσης, ὡς ἐθεάσατό τινα παριόντα καὶ ἐπαινοῦντα τῆς θαλάσσης τὴν ἠρεμίαν ἔφη· « Ὦ οὗτος, αὕτη γάρ σοι φοινίκων ἐπιθυμεῖ. »

Οὕτω πολλάκις τὰ παθήματα τοῖς φρονίμοις γίνεται μαθήματα.

4 ἀγοράσας φοίνικας (συκᾶ Ce) Cd Ce || ναῦν (νῦν Cg) ἐμφορτισάμενος Cd Cg Ch νηὶ φορτωσάμενος Cb om. Ce Cf || ἀνήχθη ἐπὶ τὴν θάλασσαν (τῆς -σης Cf) Ce Cf || **5** γεγονότος libri excepto Ca || **6** ἅπαντα ἀπολέσας αὐτὸς μόνος ἐσώθη Cb Cf Cg Ch || ἅπαντα ἄρδην (ἄρδην om. Cd) ἀπώλεσεν αὐτὸς μόνος σωθεὶς Cd Ce || **7** γαλινιούσης Cb ἡσυχαζούσης Ce Cf ἡσυχαζούσης καὶ γαληνιώσης Ch || γαληνιώσης ... ἐπαινοῦντα om. Cd || **8** ὡς om. libri excepto Ca || καὶ τῆς (τὴν Cg) θαλάσσης τὴν (τὴν om. Cg) ἠρεμίαν (ἡσυχίαν Ce Cf) ἐπαινοῦντα libri excepto Ca || **9** Ὑπολαβὼν δὲ (δὲ om. Ch) ἔφη αὐτῷ (αὐτὸς ἔφη Ce Cf) libri excepto Ca || αὕτη γὰρ συκᾶ ἐπιθυμεῖ καὶ διὰ τοῦτο γαληνιᾷ Ce || αὐτὴ Ca || σου Cb Cd Cf Ch || **10** τῶν φοινίκων Cd || φοινικία Cb || ἐπιθυμεῖ καὶ διὰ τοῦτο φαίνεται γαληνιῶσα Cf || **11** Ὁ μῦθος δηλοῖ ὅτι τὰ παθήματα Cf || μαθήματα γίνονται Ce Cf || **11-12** Ὅτι μαθήματα (μάθημα Cb) τοῖς πολλοῖς ἢ τοῖς φρονίμοις τὰ παθήματα γίνονται (γ- om. Cb) Cb Cg Τὰ παθήματα τοῖς πολλοῖς καὶ τοῖς φρονίμοις μαθήματα γίνονται Cd Ὁ μῦθος δηλοῖ ὅτι μαθήματα τοῖς φρονίμοις τὰ παθήματα γίνονται Ch.

Aliter.

Ποιμὴν ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακὼς γαληνιῶσαν τὴν θάλατταν, ἐπεθύμησε πλεῦσαι πρὸς ἐμπορίαν. Ἀπεμπολήσας οὖν τὰ πρόβατα καὶ φοινίκων βαλάνους πριάμενος ἀνήχθη. Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς κινδυνευούσης βαπτίζεσθαι, πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλατταν, μόλις κενῇ τῇ νηὶ

Codd. La 49 Lb 111 Lc 23 Ld 31 Le 111 Lf 49 Lg 23 Lh 61 Mc 88 Md 98 Me 150 Mf 125 Mg 135 Mi 14 Mj 132 Ml 138 Mm 120 Mn 31.

1 θαλασσίῳ Le Mf || **2** θάλασσαν Ld Lh Me Mj || **3** ἐμπορείαν Mj || καὶ φοινίκων βαλάνους om. Mn || **4** πριάμενος καὶ ναῦν ἐμφορτισάμενος (ἐν- Me) Me Mf || ἀρήχθη Lc || **5** καὶ νεὼς Lc || νηὸς Me Mf || πάντα φόρτον Me Mf || **6** εἰς θάλασσαν Ld Mc Mn || σὺν κενῇ Ld Mn || σὺν τῇ νηὶ Mc.

διεσώθη. Μετὰ δ' ἡμέρας οὐκ ὀλίγας παριόντος τινὸς καὶ τῆς θαλάττης (ἔτυχε γὰρ αὕτη γαληνιῶσα) τὴν ἠρεμίαν θαυμάζοντος, ὑπολαβὼν οὗτος εἶπεν· « Ὦ λῷστε, φοινίκων αὖθις, ὡς ἔοικεν, ἐπιθυμεῖ, καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα. »

Ὁ μῦθος δηλοῖ ὅτι τὰ παθήματα τοῖς ἀνθρώποις μαθήματα γίνεται.

7 Μετὰ ... τινός om. Mn || **8** τῆς θαλάσσης τὴν ἠρεμίαν θαυμάζοντος (ἔτυχε γὰρ γαληνιῶσα) Ld || ἔτυχε ... γαληνιῶσα om. Mn || γὰρ αὕτη om. Mc || αὕτη om. Md Mm αὖθις pro αὕτη Le Lh Me Mf Ml || **9** Ὦ λῷστε om. La Lb Ld Mc Md Mg Mi Mn || **11** ἐφησυχάζουσα Ml || **12** Ὁ μῦθος ὅτι Le Mi Mm || Ὅτι Mg || Οὕτω πολλάκις τὰ παθήματα τοῖς φρονίμοις γίνονται μαθήματα Me Mf || **13** γίνονται Lh Mc Mg Mm.

313

Ποιμὴν καὶ κύων ⟨τὰ πρόβατα σαίνων⟩.

Ποιμὴν ἔχων κύνα παμμεγέθη τούτῳ εἰώθει τὰ ἔμβρυα καὶ τὰ ἀποθνήσκοντα τῶν προβάτων παραβάλλειν. Καὶ δή ποτε εἰσελθούσης τῆς ποίμνης, ὁ ποιμὴν θεασάμενος τὸν κύνα προσιόντα τοῖς προβάτοις καὶ σαίνοντα αὐτὰ εἶπεν· « Ἀλλ', ὦ οὗτος, ὃ θέλεις σὺ τούτοις ἐπὶ τῇ σῇ κεφαλῇ γένοιτο. »

Πρὸς ἄνδρα κόλακα ὁ λόγος εὔκαιρος.

Codd. Pa 207 Pb 202 Pc 111 Pe 62 Pf 115 Mb 184 Mc 149 Mf 124 Ce 103 Cf 110.

1 παν μεγέθη Pe μέγα Ce || εἴωθε τοῦτον Pe τοῦτον εἴωθε Pf Me || εἴωθε Cf || εἴωθε διδόναι Ce || **2** παραβαλεῖν Mb || **3** εἰσελθὼν τῇ ποίμνῃ ὁ ποιμὴν καὶ θεασάμενος Pb || θεασάμενος ὁ ποιμὴν Ce Cf || τὸν κύνα τοῖς προβάτοις σαίνοντα εἶπεν Pa || **4** προϊόντα Cf || πρόβασιν Pc || καὶ σαίνοντα αὐτὰ om. Pc || περισαίνοντα Mb || σαίνοντα αὐτῷ τὴν οὐρὰν ἔφη Ce || αὐτὸν Pe || **5** ὦ om. Pc || εἴθε ὃ τούτοις θέλεις Ce εἴθε θέλε σὺ τούτοις Cf || σὺ θέλεις Pe || σὺ om. Mb || ἐπὶ τούτοις Pc || ἐπὶ τῆς σῆς κεραλῆς Pe || **7** Ὁ λόγος εὔκαιρός ἐστι (ἐστι om. Mb) πρὸς ἄνδρα κόλακα Pb Mb Ὁ μῦθος δηλοῖ (-λεῖ Ce) πρὸς ἄνδρα κόλακα (κόλακα τοῦτο Cf) Ce Cf Ὁ λόγος δηλοῖ πρὸς ἄνδρα κόλακα λόγοις μὲν φαινόμενον ἥμερον, πονηρὰ δὲ κατὰ νοῦν βουλευόμενον Pe Πρὸς ἄνδρα λόγοις μὲν φίλον φαινόμενον, πονηρὰ δὲ κατὰ νοῦν βουλευόμενον Pf Me Mf.

Digitized by Google

Aliter.

Ποιμὴν καὶ σκύλαξ.

Ποιμὴν σκύλακα εἰώθει τρέφειν ἐκ τῶν θνησκόντων προβάτων. Καὶ δή ποτε ἐγγὺς ἀμνάδος νοσούσης ἱστάμενον εἶδε τὸν κύνα, κατηφῆ καὶ δοκοῦντα δακρύειν, καὶ δμαλίζων αὐτὸν εἶπεν· « Καλῶς ποιεῖς συμπαθῶν· πλὴν ἀλλὰ μὴ γένοιτο μηδὲ συμβαίη ὅπερ θέλεις. »

Ὅτι τοιοῦτός ἐστι πᾶς ὃς κληρονόμος ἐστὶν οὐσίας, τῷ νοσοῦντι συναλγῶν καὶ προσποιούμενος κλαίειν ὑπούλως.

Codd. Ba 123 Bb 74 Mb 189 Mh 86.

1 σκύλικα Mh || εἴωθε Ba Bb Mh || **2** ἀμνάδος γενόμενος νοσούσης ἴδε τὸν κύνα κατηφιῶτα καὶ δακρύοντα Mh || ἱστάμενος Ba Mb || **4** ἔφη Mh || συμπαθῶ Mb om. Mh || πλὴν om. Mh || μὴ γενήτω ἰδεῖν ὅπερ θέλεις Mh μὴ γένηται μηδὲ συμβῇ ceteri, correxit Knöll || **6** Ὁ μῦθος δηλοῖ ὅτι τοιοῦτός ἐστιν ὁ κληρονομῶν οὐσίας θνησκόντων καὶ κλαίειν προσποιούμενος ὑπούλως Mh || τοιοῦτος πᾶς ἐστιν Bb || τῶν νοσούντων Bb τῶν ὀστοῦντι Mb.

314

Ποιμὴν καὶ λυκιδεῖς.

Ποιμὴν εὑρὼν λυκιδεῖς, τούτους μετὰ πολλῆς ἐπιμελείας ἔτρεφεν, οἰόμενος ὅτι τελειωθέντες οὐ μόνον τὰ ἑαυτοῦ πρόβατα τηρήσουσιν, ἀλλὰ καὶ ἕτερα ἁρπάζοντες αὐτῷ οἴσουσιν. Οἱ δέ, ὡς τάχιστα ηὐξήθησαν, ἀδείας τυχόντες πρῶτον αὐτοῦ τὴν ποίμνην διαφθείρειν ἤρξαντο. Καὶ ὡς ταῦτα ᾔσθετο, ἀναστενάξας εἶπεν· « Ἀλλ' ἔγωγε δίκαια πέπονθα· τί γὰρ τούτους νηπίους ὄντας ἔσῳζον οὓς ἔδει καὶ ηὐξημένους ἀναιρεῖν ; »

Codd. Pa 210 Pb 205 Pf 119 Mb 187 Me 154 Mf 129.

1 λυκίδια, τοῦτα Pb || **2** ἀνέτρεφεν Pf Me Mf ἔτρεφον Mb || εἰ ταῦτα θρέψει pro τελειωθέντες Pb || **3** φυλάξουσιν Pb τηροῦσιν Mb || τὰ ἑτέρων Pb τὰ ἕτερα Mb || **4** ἐτράφησαν pro ηὐξήθησαν Pb ᾔδεισαν Mb || **5** πρώτην Pf Me Mf || πρῶτα τὴν ἑαυτοῦ ποίμνην Mb || διέφθειραν omisso ἤρξαντο Pb Mb || **6** Ὁ δὲ (Καὶ ὃς Pb Mb) ἀναστενάξας omisso ὡς .. ᾔσθετο libri excepto Pa || **7** ἔτρεφον pro ἔσῳζον Pb || **8** αὐξαμένους Mb.

Digitized by Google

Οὕτως οἱ τοὺς πονηροὺς περισῴζοντες λανθάνουσι καθ' ἑαυτῶν πρῶτον αὐτοὺς ῥωννύντες.

9 τοῖς πονηροῖς Pa || 10 τούτους, omisso πρῶτον Pf Me Mf || ῥωννύοντες Mb.

Aliter.

Ποιμὴν εὑρὼν λυκίδια, ἔτρεφεν ἐπιμελῶς, οἰόμενος ὅτι μεγαλυνθέντα τηρήσουσι τὰ ἑαυτοῦ πρόβατα, ἀλλὰ καὶ ἔτι προσθήσουσιν ἁρπάζοντες ἕτερα καὶ εἰσάξουσιν ἐν τῇ αὐτοῦ μάνδρᾳ. Οἱ δέ, ὡς ηὐξήνθησαν, πρῶτον αὐτοῦ τὴν ποίμνην διέφθειραν. Καὶ ὃς ἀναστενάξας εἶπεν· « Δίκαια πέπονθα· τί γὰρ μὴ νηπίους ἀπέκτεινον ; »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τοὺς πονηροὺς διασῴζοντες λανθάνουσι καθ' ⟨ἑαυτῶν⟩ πρῶτον αὐτοὺς ῥωννύντες.

Codd. Ce 105 Cf 112.

1 λυκίδα Ce || πιμελῶς Ce || ὅτι τελειωθέντα τὰ ἑαυτοῦ τηρήσουσι πρόβατα Cf || 2 ἔτι ἁρπάζοντες προσάγωσι τῇ μάνδρᾳ Cf || 4 ηὐξήθησαν Cf || 6 ἀπέκταινον Ce ἀπέκτενον Cf || 7 ὅτι om. Ce || οἱ om. Cf. || 8 καθ' ἑαυτῶν nos κατὰ τὸν libri.

315

Ποιμὴν καὶ λύκος σὺν κυσὶ τρεφόμενος.

Ποιμὴν νεογνὸν λύκου σκύμνον εὑρὼν καὶ ἀνελόμενος σὺν τοῖς κυσὶν ἔτρεφεν. Ἐπεὶ δὲ ηὐξήθη, εἴ ποτε λύκος πρόβατον ἥρπασε, μετὰ τῶν κυνῶν καὶ αὐτὸς ἐδίωκε. Τῶν δὲ κυνῶν ἔσθ' ὅτε μὴ δυναμένων καταλαβεῖν τὸν λύκον καὶ διὰ ταῦτα ὑποστρεφόντων, ἐκεῖνος ἠκολούθει, μέχρις ἂν τοῦτον καταλαβών, οἷα δὴ λύκος, συμμετάσχῃ τῆς θήρας· εἶτα ὑπέστρεφεν. Εἰ δὲ μὴ λύκος ἔξωθεν ἁρπάσειε πρόβατον, αὐτὸς λάθρᾳ θύων ἅμα τοῖς κυσὶν ἐθοινεῖτο, ἕως ὁ

Codd. La 72 Lb 112 Lc 41 Le 112 Lf 72 Lg 41 Lh 62 Md 126 Me 153 Mf 128 Mg 136 Mi 100 Mj 133 Ml 139 Mm 124.

2 ηὐξήνθη Mf Mg Mj Mm ηὐξύνθη Lc Lg Md Mi || 3 ἁρπάσῃ Lc Lg -σει Md Mi || 4 μὴ δυναμένων ἔσθ' ὅτε Lg Md Mi μὴ δυναμένων ἔσθ' ὅτε μὴ δυναμένων Mm || 5 ἐκείνων ὑποστρεφόντων Mj || μέχρι ἂν Lh || 8 Καὶ ὁ ποιμὴν Lg.

ποιμὴν στοχασάμενος καὶ συνεὶς τὸ δρώμενον, εἰς δένδρον αὐτὸν ἀναρτήσας ἀπέκτεινεν.

Ὁ μῦθος δηλοῖ ὅτι φύσις πονηρὰ χρηστὸν ἦθος οὐ τρέφει.

9 στοχησάμενος Mi || **11** Ὁ μῦθος ὅτι Mm Ὅτι Md Mi || οὐ om. Le.

316

Ποιμὴν καὶ λύκου σκύμνος.

Ποιμὴν μικρὸν λύκον εὑρὼν ἐθρέψατο, εἶτα σκύμνον γενόμενον ἐδίδαξεν ἁρπάζειν ἐκ τῶν σύνεγγυς ποιμνίων. Ὁ λύκος δὲ διδαχθεὶς ἔφη· « Ὅρα μή πως σὺ ἐθίσας με ἁρπάζειν πολλὰ τῶν σεαυτοῦ προβάτων ζητήσῃς. »

Ὅτι οἱ τῇ φύσει δεινοὶ ἁρπάζειν καὶ πλεονεκτεῖν μαθόντες τοὺς διδάξαντας πολλάκις ἔβλαψαν.

Codd. Ba 127 Mb 190.

2 σύνεγκυς Ba || **4** τῶν προβάτων σεαυτοῦ ζητήσεις Mb || **5** Ὅτι om. Mb || **6** πολλάκις πλείονα ἔβλαψαν Mb.

317

Ποιμὴν καὶ πρόβατα.

Ποιμὴν εἰσελάσας τὰ πρόβατα εἴς τινα δρυμῶνα, ὡς ἐθεάσατο δρῦν παμμεγέθη μεστὴν βαλάνων, ὑποστρώσας τὸ ἱμάτιον αὐτοῦ ἐπὶ ταύτην ἀνέβη καὶ τὸν καρπὸν κατέσειε. Τὰ δὲ πρόβατα ἐσθίοντα τὰς βαλάνους ἔλαθε καὶ τὰ ἱμάτια

Codd. Pa 209 Pb 204 Pc 112 Pf 117 Mb 186 Me 151 Mf 126 Ca 165.

1 ἐλάσας libri exceptis Pa Pc || **2** μεστὴν βαλάνων παμμεγέθη Pa || τὸ om. Pb || τὰ ἱμάτια Pc || **3** αὐτοῦ Pa om. ceteri || ἐπ' αὐτὴν Pb ἐπὶ ταύτῃ Ca || τὸν om. Pb || κατέσειε Halm ἀντέσειε Pa Pb Pc Mb Ca ἐτίνασε Pf -ασσε Me -αξε Mf || **4** ἀντισείοντα τὰς βαλάνους ἤσθιον· ἔλαθε δὲ καὶ τὰ ἱμάτια καταφαγόντα Pc || τοὺς βαλάνους Pf Me Mf || ἔλαθον Pb || λαθόντα συγκατέφαγον αὐτοῦ καὶ (καὶ om. Mf.) τὸ ἱμάτιον Pf Me Mf ἔλαθε διαρρῆξαι καὶ τὰ ἱμάτια (τὸ ἱμάτιον Mb) Mb Ca.

Digitized by Google

συγκαταφαγόντα. Ὁ δὲ ποιμὴν καταβάς, ὡς ἐθεάσατο τὸ γεγονός, εἶπεν· « Ὦ κάκιστα ζῷα, ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτας παρεχόμενα, ἐμοῦ τοῦ τρέφοντος καὶ τὸ ἱμάτιον ἀφείλεσθε. »

Οὕτω τῶν ἀνθρώπων πολλοὶ δι' ἄγνοιαν τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

5 συγκαταφαγεῖν Pb || καταϐάς om. Mb || **6** ἡμεῖς Pa || **7** ἐσθῆτας Pa Pf Me Mf ἐσθῆτα ceteri || παρεχόμενα, ἐμοῦ Pa Pc παρέχετε· ἐμοῦ δὲ ceteri || τοῦ om. Pb Pf || τρέφοντος ὑμᾶς Pf Me Mf || τὸ ἱμάτιον κατεφάγετε καὶ ἀφείλασθε ἀπ' ἐμοῦ Pa || τὰ ἱμάτια Pc || **8** ἀφείλασθε Pb Ca ἀφείλεσθαι Mb διεφθείρατε Pf Me Mf || **9** Οὕτως (-τω Pc) καὶ Pb Pc Ca || Οὕτω καί (καί om. Mf) τινες τῶν ἀνθρώπων Me Mf || πολλάκις pro πολλοὶ Pa Pc || πολλοὶ om. Me Mf Ca || οἱ πολλάκις δι' ἄγνοιαν Mb || δι' ἄνοιαν Me || **10** κατὰ om. Pa || οἰκείων εὐεργετῶν φαῦλα ἐξεργάζονται Me Mf || **9-11** Οὕτω τινὲς τῶν ἀνθρώπων κατὰ τῶν οἰκείων εὐεργετῶν φαῦλα ἐξεργάζονται Pf.

Aliter.

Ποιμὴν νέμων πρόβατα εἰς δρυμῶνα, ὡς ἐθεάσατο δρῦν μεστὴν βαλάνων, ὑπεστρώσατο τὸ ἱμάτιον καὶ ἀνέβη ἐπ' αὐτὴν καὶ τὸν καρπὸν κατασείων ἔρριπτεν. Τὰ δὲ πρόβατα ἐσθίοντα τοὺς βαλάνους συγκατέφαγον καὶ τὸ ἱμάτιον. Ὡς δὲ καταβὰς ὁ ποιμὴν [καὶ] τὸ γεγονὸς ἐθεάσατο, εἶπεν· « Ὦ κάκιστα ⟨ζῷα⟩, ὑμεῖς τοῖς λοιποῖς ἔρια παρέχετε καὶ ἐσθῆτας· ἐμοῦ δὲ τρέφοντος καὶ τὸ ἱμάτιον ἀφείλασθε. »

Ὁ μῦθος δηλοῖ δι' ἄγνοιαν πολλοὺς τοὺς μηδὲ προσήκοντας εὐεργετεῖν καὶ κατὰ τῶν οἰκείων φαῦλα ἐργάζεσθαι.

Codd. Ce 104 Cf 111.

1 καὶ pro νέμων Cf || **2** μεστὸν codd. || βαλάνων ἔχων Cf || ὑποστρώσατο Cf || ἐπ' αὐτῷ omisso καὶ ἀνέϐη Ce || **5** καὶ delendum || θεασάμενος pro ἐθεάσατο Ce || **6** ζῷα addidi || **7** καὶ ἐσθῆτας om. Ce || **8** πολλοὺς nos πολλάκις libri || **9** εὐεργετοῦντα, a quo uocabulo desinit Cf.

Digitized by Google

Aliter.

Ποιμὴν ἐλάσας εἴς τινα δρυμῶνα τὰ πρόβατα, ὑποστρώσας ὑπὸ δρῦν τὸ ἱμάτιον καὶ ἀναβὰς τὸν καρπὸν κατέσειε. Τὰ δὲ πρόβατα ἐσθίοντα τοὺς βαλάνους ἔλαθον καὶ τὰ ἱμάτια συγκαταφαγόντα. Ὁ δὲ ποιμὴν καταβάς, ὡς εἶδε τὸ γεγονός· « Ὦ κάκιστα, ἔφη, ζῷα, ὑμεῖς τοῖς λοιποῖς ἔρια εἰς ἐσθῆτας παρέχετε, ἐμοῦ δὲ τρέφοντος ὑμᾶς καὶ τὸ ἱμάτιον ἀφείλεσθε. »

Ὁ μῦθος δηλοῖ ὅτι καὶ πολλοὶ τῶν ἀνθρώπων δι' ἄνοιαν τοὺς μηδὲν προσήκοντας εὐεργετοῦντες κατὰ τῶν οἰκείων φαῦλα ἐργάζονται.

Codd. La 127 Lb 117 Le 117 Lf 127 Lh 66 Mg 141 Mj 138 Ml 142.

4 καταφαγόντα Ml || **6** ἐσθῆτα Mj || **8** Ὁ μῦθος ὅτι Le || Ὅτι πολλοὶ Mg || **9** τοὺς προσήκοντας μηδὲν Le.

318

Ποιμὴν ⟨λύκον εἰς μάνδραν εἰσάγων⟩ καὶ κύων.

Μάνδρας ἔσω πρόβατα ποιμὴν εἰσάγων
μετ' αὐτῶν καὶ λύκον ἤμελλε συγκλεῖσαι,
εἰ μὴ ⟨ὁ⟩ κύων ἰδὼν πρὸς αὐτὸν εἶπεν·
« Πῶς τὰ πρόβατα τῆς ποίμνης θέλων σῶσαι
τόνδε τὸν λύκον συνεισάγεις τῇ ποίμνῃ; »

Ὅτι μεγίστην βλάβην καὶ θανάτου παραιτίαν οἶδε ποιεῖν τῶν κακῶν ἡ συνοίκησις.

Codd. Ba 89 Bb 57 Ma 183 Md 81 Mh 76 Mm 97.

1 ἔσω Ba Bb εἴσω ceteri || εἰσάγων ποιμὴν Ba Bb || **2** μετ' αὐτῶν καὶ om. M λεληθότως συγκλεῖσαι M || συγκλῆσαι Ba || **3** ὁ μηνύων ἰδὼν pro εἰ μὴ κύων ἰδὼν Ba || ὁ addidi || ἰδὼν τοῦτον εἶπε πρὸς τὸν ποιμένα M || **4** τῆς ποίμνης om. Ba Bb || σῶσαι θέλων M || **5** τοῦτον εἰσάγεις ἔσω Ba Bb || συνεισάγης τῆς ποίμνης Mm || **6** Ὁ μῦθος δηλοῖ ὅτι Mh Mm || θάνατον οἶδε προσφέρειν M || **7** ἡ om. Bb || συνοίκησις Bb συνοικία Ba || ἡ τῶν κακῶν συνουσία M || Epim. deest in Ma.

Digitized by Google

Aliter.

Ποιμὴν εἰς μάνδραν τὰ πρόβατα εἰσάγων
ἔμελλε μετ᾽ αὐτῶν εἰσαγαγεῖν λύκον.
Κύων δὲ ἰδὼν πρὸς αὐτὸν οὕτως λέγει·
« Πῶς ἄγων τοῦτον ἔνδοθεν εἰς τὴν μάνδραν
ποίμνια βούλει σοι τοῦ ζωογονεῖσθαι ; »

Ὅτι μεγίστην βλάβην καὶ θάνατον οἶδε ποιεῖν τῶν κακῶν ἡ συνουσία.

Cod. Mb 192.

2 λύκον μετ᾽ αὐτοῦ εἰσαγαγεῖν ἔμελλε cod. αὐτοῦ in αὐτῶν correxi atque λύκον et ἔμελλε transposui.

319

Ποιμὴν παίζων.

Ποιμὴν ἐξελαύνων αὐτοῦ τὴν ποίμνην ἀπό τινος κώμης πορρωτέρω, διετέλει τοιαύτῃ παιδιᾷ χρώμενος· ἐπιβοώμενος γὰρ τοὺς κωμήτας ἐπὶ βοήθειαν, ἔλεγεν ὡς λύκοι τοῖς προβάτοις ἐπῆλθον. Δὶς δὲ καὶ τρὶς τῶν ἐκ τῆς κώμης ἐκπλαγέντων καὶ ἐκπηδησάντων, εἶτα μετὰ γέλωτος ἀπαλλαγέντων, συνέβη τὸ τελευταῖον τῇ ἀληθείᾳ λύκους ἐπελθεῖν. Ἀποτεμνομένων δὲ αὐτῶν τὴν ποίμνην καὶ τοῦ ποιμένος ἐπὶ βοηθείᾳ τοὺς κωμήτας ἐπικαλουμένου,

Codd. Pa 211 Pb 206 Pg 131 Mb 188 Ca 166.

2 πορροτέρω Pa περαιτέρω Pg || παιδείᾳ χρόνῳ μὲν ὡς Pa || πολιτείᾳ Pg Mb || **3** γὰρ om. Pa || τοὺς πολίτας Ca || **4** ἐπέθυε Pa ἐπήλθοσαν Pg Mb Ca || δὲ om. Ca || τῶν om. Pb Pg || ἐκ τῆς ῥώμης ἐκπλεγέντων Pb || **5** κατεκπηδησάντων Pa || διὰ γέλωτος Pb || **6** ταῖς ἀληθείαις Pa Pb || λύκον ἐπελθεῖν τῇ ἀληθείᾳ Pg Mb || **7** Ἀποτεμνομένων δὲ αὐτῶν nos -νου δὲ αὐτοῦ Pa || Ἀποτεμνομένης (-νος Ca) δὲ αὐτοῦ τῆς ποίμνης (τῆς ἀγέλης τῶν προβάτων Mb) Pb Pg Mb Ca || καὶ αὐτὸς ἐπὶ βοήθειαν βοῶν, ἐκεῖνοι Pb καὶ αὐτοῦ ἐπὶ βοηθείᾳ (-αν Mb) ἐπιβοῶντος, ἐκεῖνοι Pg Mb καὶ αὐτοῦ ἐπιβοῶντος ἐπὶ βοηθείᾳ, ἐκεῖνοι Ca.

Digitized by Google

ἐκεῖνοι ὑπολαβόντες αὐτὸν παίζειν κατὰ τὸ ἔθος, ἧττον ἐφρόντιζον· καὶ οὕτως αὐτῷ συνέβη τῶν προβάτων στερηθῆναι.

Ὁ λόγος δηλοῖ ὅτι τοῦτο κερδαίνουσιν οἱ ψευδολόγοι τὸ μηδὲ ὅταν ἀληθεύωσι, πιστεύεσθαι.

9 ἦθος Ca || οὐδὲν pro ἧττον Pb || **10** ἐφρόντισαν Pb || αὐτοῦ συνέβη ἀπολέσθαι τὰ πρόβατα Pb οὕτω συνέβη αὐτὸν ἀπολέσαι τὰ πρόβατα Pg Mb Ca || **12** Ὅλως δηλοῖ Ca || ψευδόμενοι libri excepto Pa || **13** μηδὲν Mb || μηδ' ὅταν ἀληθεύωνται, πιστεύεσθαι ὑπό τινος Pb || ἀληθεύουσι Ca.

Aliter.

Παῖς ψεύστης.

Παιδίον που πρόβατα νέμον, ⟨ὥσπερ⟩ λύκον ἐρχόμενον πρὸς διαφθορὰν ὁρῶν, ἐπικαλούμενον τοὺς ἀγρότας ἔλεγε· « Βοηθεῖτε ὧδε, ἔρχεται λύκος. » Οἱ δὲ ἀγρόται τρέχοντες τοῦτον εὕρισκον μὴ ἀληθεύειν. Τοῦτο δὲ ποιήσαντος πολλάκις, εὕρισκον ψευδόμενον. Μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος, καὶ τοῦ παιδὸς βοῶντος· « Δεῦτε, λύκος, » οὐκέτι τις πεπίστευκε προσδραμεῖν αὐτῷ καὶ βοηθῆσαι. Ὁ δὲ λύκος εὑρηκὼς ἄδειαν τὴν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.

Ὅτι τοσοῦτον ὄφελος τῷ ψεύστῃ, ὅτι καὶ ἀληθῆ λέγων πολλάκις οὐ πιστεύεται.

Codd. Ma 170 Md 61 Mh 56 Mm 118.

1 Καὶ παιδίον που Md Mh || νέμων Mh || ὥσπερ nos, om. codd. || **2** ἑόρα· ἐπικαλούμενον δὲ Mh || ἀγρότας Mh -ώτας Mm -ῶτες Ma -ότες Md || **3** Οἱ δ' ἀγρῶται Mm || **4** τοῦτο εὕρισκον Mh || ποιήσαντες Mh || **7** ἀπεπίστευκε Ma || αὐτὸ προσδραμεῖν Mh || **10** Ὁ μῦθος δηλοῖ ὅτι Mh Mm || ὅτι πολλάκις κἂν ἀλήθειαν (-θῆ Mm) λέγει Mh Mm || **11** οὐδὲ ἐκείνῃ πιστεύεται Mh.

Aliter.

Καί που παιδίον ποίμνια νέμον ὄρει

Codd. Ch 64 Cb 57 Cd 55 Ce 93 Cf 99 Mc 57 Ml 143.

1 et 2 ποίμνια οὕτως (οὗτος Mc) νέμων ἐφ' ὑψηλοῦ τοῦ (τοῦ om. Mc) τόπου ἀνέκραγεν λέγων (λέγων om. Cb) Cb Mc ποίμνια οὕτως νέμων ἀνερχόμενον ἐφ' ὑψηλοῦ τοῦ τόπου ἀνέκραγε Cd || Παιδίον (omisso καί

Digitized by Google

ἀνακέκραγε· « Βοηθεῖτέ μοι, λύκος. »
Οἱ δὲ ἀγρῶται τρέχοντες εἰς τὴν ποίμνην
τοῦτον ηὕρισκον μὴ ἀληθεύειν ὅλως.
Ὃ καὶ πολλάκις τοῦ παιδὸς πραξαμένου,
ηὕρισκον τοῦτο ψευδὲς ὑπάρχειν πάλιν.
Μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος,
καὶ τοῦ νέου βοῶντος· « Ἔλθετε, λύκος, »
οὐκέτι οὐδεὶς πεπίστευκε τῷ νέῳ,
εἰς τὸ ἀπελθεῖν καὶ χεῖρα ἐπορέξαι.
Εὐθὺς δ' ὁ λύκος τυχὼν πάσης ἀδείας
τὴν ποίμνην πᾶσαν διέφθειρεν εὐκόλως.

Ὁ μῦθος δηλοῖ ὅτι τοσοῦτον ὄφελος τῷ ψεύστῃ ὅτι πολλάκις, κἂν ἀλήθειαν εἴπῃ, οὐδὲ ἐκεῖνο πιστεύεται.

που) ποίμνην νέμων, ἀνερχόμενος ὁ λύκος ἄλλην ὁδόν, τὸ παιδίον ἔλεγε πρὸς τοὺς ἀγρώτας τρέχειν τὸν λύκον (τρέχειν τὸν λύκον om. Cf) Ce Cf || Παιδίον (omisso καί που) ποίμνην νέμον, τοῦ λύκου ἀνερχομένου ἄλλην ὁδόν, ἐκεῖνος πρὸς τοὺς ἀγρώτας ἔλεγε Ml || **2** βοηθεῖτέ μοι ὧδε· ἔρχεται ὁ λύκος Cf Ml || λύκοι Cb Cd || ἐν τῇ ποίμνῃ μου λύκοι Mc || **3** ἀγρόται Mc || ἐν τῇ ποίμνῃ Cb Cd Mc εἰς τὸ ποίμνιον Ce Cf Ml || **4** εὕρισκον Ch Cd || εὗρον (εὕρησκον Ml) αὐτὸν (-τὸ Ce) μὴ ἀληθεύοντα (-εύειν Ml) omisso ὅλως Ce Cf Ml || Post hunc uersum Cd addit : Ὁ δὲ πολλάκις τοῦτον εὑρίσκοντες μὴ ἀλιθεύειν ὅλως || **5** Ὡς δὲ πολλάκις Ce Ὦ καὶ Cf || παιδίου Cb || πραμένου Cd πραξάμενον Ce || **5 et 6** Ὅπερ πολλάκις ποιῆσαν καὶ τούτους ἀπατῆσαν Ml || **6** εὕρισκον Ch Cd || εὕρισκον τὰ ῥήματα αὐτοῦ ψευδῆ Ce || καὶ εὑρίσκοντες τοῦτο ψευδές, omisso ὑπάρχειν πάλιν Cf || **7** δὲ om. Ml || προελθόντος Cd || ἐλθόντος εἰς τὴν ποίμνην Cf ἐλθόντος Ml || πάλιν ἐλθὼν ὁ λύκος εἰς τὴν ποίμνην Ce || **8** παιδὸς Cd Ce Mc Ml παιδίου Cf || Δεῦτε, ὁ λύκος Cb Cd Mc Δεῦτε, λύκος εἰς τὴν ποίμνην Ce Cf Ml || **9** οὐκέτι om. Mc || τὸν παῖδα libri excepto Ch τὸ παράπαν addit Mc || **10** ἔτ' ὀρέξαι Mc hunc uersum om. Ce Cf Ml || **11** τυχὼν πάσης ἀδείας nos εὑρηκὼς ἐπ' ἀδείας (ἐπαδείας Cb Ce ἐπ' ἀδίαν Mc) libri excepto Ml qui scripsit : Ὁ δέ γε λύκος ἀδείας τυχὼν || **12** εὐκέλως Cd || εὐκόλως διέφθειρεν Ml || **13** Ὅτι Cb || ὄφελος τὸ μὴ λαλεῖν ἀληθὲς ὅτι Mc || τὸ ψεῦδος pro τῷ ψεύστῃ Cb || **14** καὶ ἀλήθειαν εἴποτε εἴπω, οὔτε Cb || καὶ ἂν ἀλήθειάν ποτε εἴπῃ, οὐχ ὑπ' ἐκείνου πιστεύεται Mc || **13-14** Ὁ λόγος δηλοῖ ὅτι οἷος ἄνθρωπος συνήθως ἔχῃ τὸ ψεύδεσθαι, τοῦτον οὐδαμῶς πιστεύουσιν, κἂν ἀληθεύει Cd Ὁ μῦθος δηλοῖ ὅτι ὁ ψεύστης, κἂν ἀλήθειαν εἴπῃ ποτέ, οὐ πιστεύεται Ce Ὁ μῦθος δηλοῖ ὅτι οὕτω καὶ τῷ ψεύδει οὐδὲν ὀφέλει, κἂν ἀλήθειαν εἴπῃ ποτέ, οὔτε ποτὲ πιστεύεται Cf Ὁ μῦθος δηλοῖ ὅτι τῷ ψεύδει χρώμενος οὐκ ὀφελεῖται, ἀλλὰ κἂν ἀλήθειαν εἴπῃ ποτέ, οὐδὲ τότε πιστεύεται Ml.

Digitized by Google

Aliter.

Καί που παιδίον ποίμνια νέμον ἐφ' ὑψηλοῦ τόπου ἱστάμενον πολλάκις ἀνέκραγε· « Βοηθεῖτέ μοι, λύκοι. » Οἱ δὲ ἀγρότεροι τρέχοντες ἐν τῇ ποίμνῃ τοῦτον ηὕρισκον μηδαμῶς ἀληθεύοντα. Τοῦτο δὲ πολλάκις τοῦ παιδὸς πραξαμένου, οἱ τοιοῦτοι συνήρχοντο καὶ ἀεὶ ψεῦδος εὑρίσκοντες ἀπήρχοντο. Μετὰ δὲ ταῦτα τοῦ λύκου προσελθόντος, ὁ παῖς ἐβόα· « Ὁ λύκος, δεῦτε. » Ἐπεὶ δὲ οὐδεὶς ἐπίστευεν οὐδ' ἀπήρχετο βοηθῆσαι, ὁ λύκος ἀδείας λαβόμενος, εὐκόλως τὴν ποίμνην πᾶσαν διέφθειρεν.

Ὁ μῦθος δηλοῖ ὅτι τοσοῦτον οὐκ ὠφελεῖ τινα τὸ μὴ λαλεῖν τὰ ἀληθῆ ὅσον δεῖ φοβεῖσθαι μήπως ἐκ τούτου οὐδὲ τὰ ἀληθῆ λέγων εἰσακούσθῃ.

Cod. Mk 59.

1 νέμων cod. || **2** βοηθεῖτέ μου cod. || **5** οἱ τοιοῦτοι cod. uix sanum : forsan οὗτοι τοσάκις || **8** ἀδίας cod. || **10** ὠφελεῖ τινα τὸ μὴ λαλεῖν nos ὀφείλει τις λαλεῖν cod.

Aliter.

Παῖς τις νέμων πρόβατα συνεχῶς ἐπὶ τὸ χῶμα ἀνιὼν ἐβόα· « Λύκος, βοηθεῖτε. » Οἱ δὲ ἀγρόται τρέχοντες ἐκεῖσε εὕρισκον ψεῦσμα. Τοῦ δὲ λύκου ἀληθῶς ἐλθόντος καὶ τοῦ παιδὸς βοῶντος, οὐδεὶς ἐπίστευσε καὶ ἀπῆλθε πρὸς βοήθειαν. Ὁ δὲ λύκος τὰ πρόβατα διέφθειρε.

Ὅτι τοῦτο ὄφελος τῷ ψεύστῃ, ἵνα, κἂν ἀλήθειαν λέγῃ, μὴ πιστεύηται.

Codd. Ba 120 Bb 72.

2 βοηθῆτε Bb -θεῖται Ba || ἀγρῖται Bb || **3** ψέσμα Bb || **4** ἐπίστευσεν ἀπελθεῖν Bb || **6** λέγει Bb || **7** πιστεύεται Bb.

320

Πόλεμος καὶ Ὕβρις.

Θεοὶ πάντες ἔγημαν ἣν ἕκαστος εἴληφεν ἐν κλήρῳ. Πόλεμος παρῆν ἐσχάτῳ κλήρῳ· Ὕβριν δὲ μόνην κατέλαβεν· ταύτης περισσῶς ἐρασθεὶς ἔγημεν. Ἐπακολουθεῖ δὲ αὐτῇ πανταχοῦ βαδιζούσῃ.

Cod. Ba 51.

1 ἔγημον cod.

Digitized by Google

Ὅτι ἔνθα ⟨ἂν⟩ προέλθῃ ὕβρις ἢ ἐν πόλει ἢ ἐν ἔθνεσι, πόλεμος καὶ μάχαι εὐθὺς μετ᾽ αὐτὴν ἀκολουθεῖ.

5 ἄν addidi.

321

Ποταμὸς καὶ βύρσα.

Ποταμὸς δι᾽ αὐτοῦ βύρσαν βοείαν φερομένην ἰδὼν ἠρώτησε· « Τίς καλῇ; » Τῆς δὲ εἰπούσης· « Σκληρὰ καλοῦμαι, » ἐπικαχλάσας τῷ ῥεύματι εἶπεν· « Ἄλλο τι ζητεῖ καλεῖσθαι· ἐγὼ γὰρ ἤδη ἁπαλήν σε ποιήσω. »

Ὅτι τολμηρὸν ἄνδρα καὶ αὐθάδη πολλάκις εἰς γῆν κατήγαγε συμφορὰ βίου.

Codd. Ba 124 Md 100 Mh 87 Mi 16 Mm 122.

1 βοείαν om. Md Mi Mm βοΐαν Ba || ἰδὼν om. Ba || **2** καλεῖται Mi καλεῖσαι (correctum in καλεῖ σε Md) Md Mh καλεῖ σε Mm || Ἡ δὲ εἶπε· Ξηρά omisso καλοῦμαι libri excepto Ba || **3** ἐπικαλάσας δὲ Md ἐπικαγχάσας δὲ Mh ἐπικαγχλάσας δὲ Mi Mm || Ἀλλ᾽ ὅτι Md || **4** ζητεῖ om. Mh || ἁπαλὴν γὰρ ἐγὼ ἤδη ταχὺ ποιήσω σοι (σοι om. Mh) libri excepto Ba || **5** τολμηρῶν ἀνδρῶν καὶ αὐθαδῶν Ba || Ὁ (Ὁ om. Mi) μῦθος δηλοῖ ὅτι εὐχόλως τὰ πράγματα εἰς τὴν αὐτὴν (αὐτῶν Mh) ἀποκαθίσταγται (-τῶνται Md Mi Mm) φύσιν M.

322

Πρόβατον κειρόμενον.

Πρόβατον ἀφυῶς κειρόμενον πρὸς τὸν κείροντα ἔφη· « Εἰ μὲν ἔρια ζητεῖς, ἀνωτέρω τέμνε· εἰ δὲ κρεῶν ἐπιθυμεῖς, ἅπαξ με καταθύσας τοῦ κατὰ μικρὸν βασανίζειν ἀπάλλαξον. »

Codd. Ca 168 Pb 208 Pg 133 Mb 194 Ce 107 Cf 114.

1 εὐφυῶς Cf || πρὸς τὸν κείροντα nos πρὸς τοὺς κείροντας Pb om. ceteri || **2** ἔρια ζητεῖς Pb Ca ἔριον ζ- ceteri || ἄνω Ce Cf || τέμνετε Pb || κρέως Pb || ἐπιθυμεῖτε Pb || **3** καταθύσατε Pb || **4** ἀπαλλάξαντες Pb.

Digitized by Google

Πρὸς τοὺς ἀφυῶς ταῖς τέχναις προσφερομένους ὁ λόγος ἁρμόδιός ἐστι.

5 εὐφυῶς Pb || ταῖς om. Mb || τὴν τέχνην παραφερομένους Ca || περιφερομένους Pb || **6** εὔκαιρος Pb || ἐστι om. Pb Pg Mb || **5-6** Ὁ μῦθος δηλοῖ πρὸς τοὺς ἀφυῶς ταῖς τέχναις (τὰς τέχνας Ce) κεχρημένους Ce Cf.

Aliter.

Χήρα καὶ πρόβατον.

Ἐν τόπῳ τινὶ χήρα τις εἶχε πρόβατον. Τούτου δὲ τὸν πόκον θέλουσα λαβεῖν ἔκειρεν ἀτέχνως σὺν τῷ μαλλῷ καὶ τὴν σάρκα ψαλίζουσα. Τὸ δὲ πρόβατον ἀλγοῦν ἔλεγε· « Τί με βλάπτεις; πόσην γὰρ δλκὴν τὸ ἐμὸν αἷμα προσθήσει; Καὶ εἰ μὲν κρεῶν, ὦ δέσποινα, χρῄζεις, μάγειρος ἔστιν ὃς με συντόμως θύσει· εἰ δὲ ἐρίου καὶ πόκου, κουρεὺς ἔστι πάλιν ὃς καὶ κερεῖ με καὶ σώσει. »

Ὅτι οἱ ἀπειρίαν πράγματός τινος ἔχοντες καὶ διὰ πλεονεξίαν τοῦτο μεταχειριζόμενοι οὐ τοσοῦτον κέρδος ὅσην βλάβην καρποῦνται

Codd. Ba 39 Bb 26 Mg 65.

2 μαλῷ Ba Mg || **3** ψελλίζουσα Ba Mg || **5** μάγειρος ἔσται Ba Mg[1] (ἔστω Mg[2]) || **6** κουρεὺς ἔστω ὃς καὶ πάλιν libri, correxit Halm || **7** κείρει Ba Mg || **8** τινος om. Ba Mg || **9** τοῦτο om. Bb.

Aliter.

Χήρα δέ τις ἦν πρόβατον κεκτημένη.
Ποτὲ οὖν κεῖραι βουληθεῖσα τὸν πόκον
ἅμα τῷ μαλλῷ ἐψάλιζε τὴν σάρκα.
Τὸ δὲ πρόβατον ἀλγοῦν ἐβόα μέγα·
« Βλάπτεις, γύναι, με, ψαλίζουσα τὴν σάρκα.
Χρυσὸν δὲ πόσον ἐξ αἵματος προσθήσεις,
κόπτουσα, ψαλίζουσα τὴν ἐμὴν σάρκα;
Εἰ μὲν κρεῶν, δέσποινα, τῶν ἐμῶν χρῄζεις,
κάλει μάγειρον καὶ θύσει με συντόμως·
εἰ δὲ τὸν πόκον ἐθέλεις ἀποκεῖραι,
ἐλθέτω κουρεὺς πάλιν, ἵνα με κείρῃ. »

Ὅτι οἱ ἀπειρίαν τινὸς ἔχοντες καὶ διὰ πλεονεξίαν μεταχειριζόμενοι τοῦτο βλάβην ⟨μᾶλλον⟩ ἢ κέρδος ἔχουσιν.

Cod. Mb 229 uersus restitui.

1 ἐνκεκτιμένη cod. || **3** ἐψάλλιζε cod. || **8** χρήζει cod. || **11** πάλιν ἵνα με κείρῃ nos ἵνα καὶ πάλιν μέχεις cod. || **13** μᾶλλον addidi.

Digitized by Google

323

Προμηθεὺς καὶ ἄνθρωποι.

Προμηθεὺς κατὰ πρόσταξιν Διὸς ἀνθρώπους ἔπλασε καὶ θηρία. Ὁ δὲ Ζεὺς θεασάμενος πολλῷ πλείονα τὰ ἄλογα ζῷα ἐκέλευσεν αὐτὸν τῶν θηρίων τινὰ διαφθείροντα ἀνθρώπους μετατυπῶσαι. Τοῦ δὲ τὸ προσταχθὲν ποιήσαντος, συνέβη ἐκ τούτου τοὺς μὴ ἐξ ἀρχῆς ἀνθρώπους πλασθέντας τὴν μὲν μορφὴν ἀνθρώπων ἔχειν, τὰς δὲ ψυχὰς θηριώδεις.

Πρὸς ἄνδρα σκαιὸν καὶ θηριώδη ὁ λόγος εὔκαιρος.

Codd. Pa 213 Pf 121 Me 156 Mf 130.

1 τοῦ Διός Pf Me Mf || **3** διαφθείραντα Pf Me Mf || **4** μεταποιῆσαι Mf || **5** συνέβη ἐκ τοὺς πλασθέντας Pf συνέβη ἐκ τῶν πλασθέντων Me Mf || **8** Ἔλεγχον ὁ μῦθος ἔχει πρὸς ἄνδρας θηριώδεις καὶ ὀργίλους Pf Me Mf.

324

Ῥόδον καὶ ἀμάραντον.

Ῥόδῳ παραφυὲν ἀμάραντον ἔφη· « Οἷον ἄνθος εὐπρεπὲς εἶ, καὶ ποθητὸν καὶ θεοῖς καὶ ἀνθρώποις· μακαρίζω σε τοῦ κάλλους καὶ τῆς εὐωδίας. » Τὸ δὲ εἶπεν· « Ἐγὼ μέν, ὦ ἀμάραντον, πρὸς ὀλίγον καιρὸν ζῶ, καί, κἂν μηδεὶς ἐκκόψῃ με, τήκομαι· σὺ δὲ ἀνθεῖς καὶ ζῇς ἀεὶ οὕτω νέον. »

Ὅτι κρεῖσσον ὀλιγαρκούμενόν τινα διαμένειν ἢ πρὸς ὀλίγον τρυφήσαντα μεταβολῆς δυστυχοῦς τυχεῖν ἢ καὶ ἀποθανεῖν.

Codd. Ba 130 Bb 78 Mb 200.

1 παρέφυεν Mb || ἔφη δέ Mb ἔφη πρὸς αὐτό Bb || **2** εἶ om. Mb || καὶ ante ποθητόν om. Ba || καὶ ante θεοῖς om. Mb || θεῷ Ba || καὶ τῆς εὐπρεπείας pro τοῦ κάλλους Mb || **4** καί ante κἄν om. Mb || κόψῃ Bb || **5** ἀνθεῖς ἀεὶ καὶ ζῇς Bb Mb || πνέον Mb || **6** Epim. in Ba fabulae superiori praepositum est, in Bb fabulae praecedenti postpositum.

325

Ῥοιὰ καὶ μηλέα καὶ ἐλαία καὶ βάτος.

Ῥοιὰ καὶ μηλέα καὶ ἐλαία περὶ εὐκαρπίας ἤριζον. Πολλοῦ δὲ τοῦ νεἰκους ἀναφθέντος, βάτος ἐκ τοῦ πλησίον φραγμοῦ ἀκούσασα εἶπεν· « Ἀλλ', ὦ φίλαι, παυσώμεθά ποτε μαχόμεναι. »

Οὕτω παρὰ τὰς τῶν ἀμεινόνων στάσεις καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται δοκεῖν τι εἶναι.

Codd. Pa 215 Pb 209 Pc 114 Pf 122 Pg 134 Mb 201.

1 καὶ ἐλαία om. Pb Pc Pg Mb || περὶ κάλλους Pg Mb || **2** καὶ νείκους pro τοῦ ν- Mb || **3** φίλε Pa || **4** μαχόμενοι Pa || **5** Epim. deest in Mb || περὶ τὰς Pb Pg || στάσεις καὶ οἱ ἐλάχιστοι καὶ μηδενὸς ἄξιοι ἑαυτοὺς παρεισβάλλοντες πειρῶνταί τι εἶναι Pf || **6** πειρῶνταί τινες εἶναι Pb Pc || εἶναί τι Pg.

Aliter.

Ῥοιὰ καὶ μηλέα καὶ βάτος.

Ῥοιὰ καὶ μηλέα περὶ κάλλους ἤριζον. Πολλῆς δὲ φιλονεικίας παρὰ τῶν ἀμφοτέρων γεγονυίας, βάτος ἐκ τοῦ πλησίον φραγμοῦ ἀκούσασα εἶπεν· « Ὦ φίλαι, παυσώμεθά ποτε μαχόμεναι. »

Ὁ μῦθος δηλοῖ ὅτι οὕτως παρὰ τὰς τῶν ἀμεινόνων στάσεις καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

Codd. Ca 176 Cb 95 Cd 111 Cf 115 Ch 117 Mc 89.

1 Ῥοιδέα Cf || Πολλὰς Cf Mc || φιλονικίας Cf Ch || **2** περὶ Cf || τῶν om. Cd || γεγονείας Mc || **3** φίλοι Cd Cf || παυσόμεθά Cd Ch Mc || **4** ποτε, μὴ καυχώμεθα Cf || μαχόμενοι Cb Cd || **5** δηλοῖ om. Cb || οὕτω ἡ Mc || ἀμείνων Ca Mc || καὶ ἐν τῇ τῶν ἀμεινόνων στάσει, ἤγουν μάχῃ, καὶ οἱ μηδενὸς ὄντως ἄξιοι πειρῶνται εἶναί τι Cd || **6** εἶναι πειρῶνταί τι Mc || **5-6** Ὁ μῦθος δηλοῖ ὅτι περὶ τὰς τῶν ἀμεινόνων στάσεις πειρῶνταί τι εἶναι καὶ οἱ μηδενὸς ἄξιοι Cf.

Aliter.

Ῥοιὰ καὶ μηλέα περὶ κάλλους ἤριζον· πολλῶν δ' ἀμφισ-

Codd. La 50 Lb 118 Le 118 Lf 50 Lh 67 Md 102 Me 158 Mf 132 Mg 142 Mi 18 Mj 139 Ml 146 Mm 126.

1 μηλέα καὶ ἐλαία περὶ εὐκαρπίας ἤριζον Me Mf.

Digitized by Google

θητήσεων μέταξυ γενομένων, βάτος ἐκ τοῦ πλησίον ἀκούσασα φραγμοῦ· « Παυσώμεθα, εἶπεν, ὦ φίλαι, ποτὲ μαχόμεναι. »

Ὁ μῦθος δηλοῖ ὅτι ἐν ταῖς τῶν ἀμεινόνων στάσεσι καὶ οἱ μηδενὸς ἄξιοι πειρῶνται εἶναί τι.

2 γεγονότων Mj || φραγμοῦ ἀκούσασα Md Me Mf Mi Mm || **3** εἶπεν· Ἀλλ' ὦ φίλαι, παυσώμεθά ποτε μαχόμεναι Me Mf || **5** Ὁ μῦθος ὅτι Le Me Ὅτι Mg || ἐν ταῖς ἀμεινόνων Le || καὶ οἱ ἐλάχιστοι καὶ μηδενὸς Me Mf || Epim. deest in Md Mi Mm.

326

Σαλπιστής.

Ἦν τις σαλπιστὴς στρατὸν ἐπισυνάγων,
ὅστις κρατηθεὶς ἐβόα τοῖς παροῦσι·
« Μὴ κτείνετέ με εἰκῇ καὶ μάτην, ἄνδρες,
ἐπείπερ ἐγὼ οὐκ ἔκτεινα οὐδένα·
πλὴν γὰρ τούτου τοῦ χαλκοῦ οὐ κτῶμαι ἄλλο. »
Οἱ δὲ πρὸς αὐτὸν ταῦτα οὕτως ἐβόων·
« Διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ ἄρτι,
ὅτι μηδὲν δυνάμενος ἐν πολέμῳ
τοῖς πᾶσι κράζεις πρὸς μάχην ἐπεγείρων. »

Codd. Ca 81 Cb 50 Cd 47 Cf 56 Ch 57 Ma 166 Mc 49 Md 54 Mh 49 Mi 89 Mm 70 Mn 20 Lc 58 Ld 20 Lg 58.

2 κρατυνθεὶς Cb κράτους θεὶς Cd || **3** κτείνητε Mi || μάταιο Lc || ὦ ἄνδρες Lg || **4** ἔκτηνά τινα οὐδ' ὅλως Cd || **5** τοῦ τούτου χαλκοῦ Ca τὸν (τὸ Cb) χαλκοῦν τοῦτο (-τον Cd Cf) Cb Cd Cf τὸν χαλκὸν τοῦτον Ch τοῦ χαλκοῦ τούτου M Lc Ld || τούτου om. Lg || ἄλλον Cb Cd Cf ἄλλω Md || **6** οὕτως om. Lg || ἐβόουν Mh || **7** Ἐν τοῦτο Cd || γὰρ om. Mh || τεθνήξει Mc || **8** ὅτι μὲν δυνάμενος πολέμῳ Cb ὅτι σὺ libri exceptis Ca Cb Mc || μὴ Cd Mh L || πολεμεῖν (μῳ Cf -μου Mc) Cf M L || **9** τοῖς πᾶσι κράζων ἐπεγείρεις omisso πρὸς μάχην Cb τοὺς πάντας κράζεις πρὸς μάχην (πρὸς μάχην om. Ld) διεγείρων (-ρειν Mc ἐγείρων Lc Lg) M L || κράζων πρὸς μάχην διεγείρεις Cd || κράζων pro κράζεις Cf

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι πλεῖστον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας ἐπεγείροντες εἰς τὸ κακοποιῆσαι.

10 Ὅτι πλέον πτέουσιν Cb || πλεῖον Ch Mn πλέον Cf L M excepto Mc || 11 βαροῦς Cb om. Cf || ἐπεγείρουσι Cf || κακοποιεῖν Ch Mi Mm Mn Lc Lg || 10-11 Ὁ λόγος δηλοῖ πλέον πταίουσιν οἱ τοὺς κακοὺς διεγείροντες εἰς τὸ κακόν Cd.

Aliter.

Ἦν τις σαλπιστὴς στρατὸν ἐπισυνάγων, ὅστις κρατηθεὶς ἐβόα τοῖς ἐναντίοις· « Ὦ ἄνδρες, μὴ κτείνετέ με, ἐπεὶ κἀγὼ οὐδένα ἔκτεινα· πλὴν γὰρ τούτου τοῦ χαλκοῦ δι᾿ οὗ αὐλῶ, ἕτερον οὐ πράττω. » Οἱ δὲ πρὸς αὐτὸν ἐβόων· « Διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ, ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν, τοὺς νέους κράζων πρὸς μάχην ἐξήγειρας. »
Ὁ μῦθος δηλοῖ ὅτι πλέον πταίουσιν οἱ τοὺς κακοὺς καὶ δυνάστας ἐπεγείροντες εἰς μάχην.

Cod. Cc 52.

5 Διὰ τούτου cod.

Aliter.

Σαλπιγκτής.

Ἦν τις σαλπιγκτὴς ἐν στρατῷ, ὃς σαλπίζων εἰς παράταξιν καὶ πόλεμον ἐκάλει τὸν στρατόν. Κρατηθεὶς δὲ ὑπὸ τῶν ἐναντίων ἐβόα· « Ἄνδρες, μὴ κτείνετέ με· οὐδένα γὰρ ἐγὼ ἔκτεινα, οὐδ᾿ ἐπίσταμαί τι ἄλλο ἢ χρῆσθαι τῇ σάλπιγγι. » Οἱ δὲ πρὸς αὐτὸν εἶπον· « Τούτου ἕνεκα μάλιστα ἄξιος ὑπάρχεις ἀποθανεῖν, ὅτι μὴ δυνάμενος αὐτὸς πολεμεῖν, τοὺς ἄλλους ἐγείρεις εἰς πόλεμον. »
Ὁ μῦθος δηλοῖ ὅτι πλέον πταίουσι οἱ τοὺς κακοὺς καὶ δυνάστας ἐγείροντες εἰς τὸ κακοποιεῖν.

Cod. Mk 53.

Aliter.

Σαλπιγκτὴς στρατὸν ἐπισυνάγων καὶ κρατηθεὶς ὑπὸ τῶν πολεμίων ἐβόα· « Μὴ κτείνετέ με, ὦ ἄνδρες, εἰκῇ καὶ μάτην· οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα· πλὴν γὰρ τοῦ χαλκοῦ τούτου οὐδὲν ἄλλο κτῶμαι. » Οἱ δὲ πρὸς αὐτὸν

Cod. La 146.

Digitized by Google

ἔφασαν· « Διὰ τοῦτο γὰρ μᾶλλον τεθνήξῃ, ὅτι σὺ μὴ δυνάμενος πολεμεῖν τοὺς πάντας πρὸς μάχην ἐγείρεις. »

Ὁ μῦθος δηλοῖ ὅτι πλέον πταίουσιν οἱ τοὺς κακοὺς καὶ βαρεῖς δυνάστας ἐπεγείροντες εἰς τὸ κακοποιεῖν.

327

Σπάλαξ.

Σπάλαξ (ἐστὶ δὲ τοῦτο τὸ ζῷον τυφλὸν) λέγει πρὸς τὴν ἑαυτοῦ μητέρα ὅτι βλέπει. Κἀκείνη πειράζουσα αὐτὸν χόνδρον λιβανωτοῦ δοῦσα ἐπηρώτα τί ποτε εἴη. Τοῦ δὲ εἰπόντος ψηφῖδα, ἔφη· « Ὦ τέκνον, οὐ μόνον τοῦ βλέπειν ἐστέρησαι, ἀλλὰ καὶ τὰς ὀσφρήσεις ἀποβέβλησαι. »

Οὕτως ἔνιοι τῶν ἀλαζόνων, [μέχρις οὗ] τὰ ἀδύνατα κατεπαγγέλλονται, καὶ ἐν τοῖς ἐλαχίστοις ἐξελέγχονται.

Codd. Pa 219 Pb 210 Pe 65 Pf 124 Pg 135 Ma 131 Me 162 Ca 177.

1 Σπάλαξ (Σφάλαξ Pe) ζῶόν ἐστι πηρόν (πονηρόν Pe)· εἶπεν δὲ τῇ αὐτοῦ (ἑ- Pe Me) μητρὶ Pe Pf Me || τὸ om. Pa || λέγει τῇ μητρὶ (μητέρι Pg Ca) αὐτοῦ Pb Pg Ma Ca || **2** βλέπω libri exceptis Pa Pe Pg || βλέπω σε ταράσσουσάν με· χόνδρον λιβανωτὸν ἐπιδίδουσά με ἡ δὲ ἐπηρώτα Pe || **3** δοῦσα (ἐπι- Pf Me) αὐτῷ libri excepto Pa || ἐπερώτα Ca || τί τοῦτο εἴη Pb || **4** ψηφίς ἐστι, ἔφη αὐτῷ Pe || ἡ μήτηρ εἶπεν Pb || εἶπεν libri excepto Pa || τὸ βλέπειν Pe || **5** τὰς φρένας Ma || ἀπώλεσας libri excepto Pa || **6** τινὲς (τινῶν Pe) libri exceptis Pa Pb Ca || ἀνθρώπων ἀλαζόνων Ma || μέχρις οὗ Pa Pb om. celeri || τὰ ἀδύνατα κατεπαγγελλόμενοι ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται Pe Pf Me || καὶ (καὶ om. Ma) τὰ ἀδύνατα κατεπαγγέλλονται καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται Pg Ma Ca || **7** καὶ om. Pe || ἐλέγχονται Pb.

Aliter.

Σπάλαξ (ἐστὶ δὲ τυφλὸν τοῦτο τὸ ζῷον) λέγει τῇ μητρί· « Συκαμινέαν ὁρῶ. »

Codd. Ch 118 Cb 96 Cd 112 Ce 109 Cf 117.

1 Σφάλαξ Ce Ἐσφάλαξ Cf || ἐστὶ δὲ (δὲ om. Cb) τοῦτο τὸ (τὸ om. Cb) ζῶον τυφλόν Ch Cb Cf τυφλόν transposui || ἐστὶ ζῶον τυφλόν (τ- δὲ πάντη Cd) Cd Ce || **2** λέγει τῇ μητρὶ (-τέρι Ch) αὐτοῦ Ch Cb Cf : αὐτοῦ seclusi || Λέγει οὖν τῇ μητρὶ αὐτοῦ Ce Εἶπε δέ ποτε τῇ μητέρι αὐτοῦ Cd || Συκαμινέαν Ce Καμιναίαν Ch Cd Cf.

Digitized by Google

'Εκ δευτέρου δὲ ἔφη· « Χονδρολιβάνου
ὀσμῆς πεπλήρωμαι. » 'Εκ τρίτου ⟨δὲ⟩ πάλιν
λέγει· « Ψηφῖδος χαλκῆς κτύπον ἀκούω. »
'Η δὲ μήτηρ αὐτοῦ ἔφη αὐτῷ· « Τέκνον,
ὡς δρῶ, οὐ μόνον τὸ βλέπειν στερίσκῃ,
ἀλλὰ καὶ τὰς ἀκοὰς καὶ τὰς ὀσφρήσεις. »

'Ο μῦθος δηλοῖ ὅτι οὕτως ἔνιοι τῶν ἀλαζόνων ἀνθρώπων τὰ ἀδύνατα κατεπαγγέλλονται καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

2-4 'Οσμῆς πεπλήρωμαι. 'Εκ δευτέρου λέγει· Καμινέαν ὁρῶ Cb || **3** δὲ Ce om. ceteri || Χονδρωλιβάνου Ch Χονδρολιβάνων Ce om. Cb Cd || Χονδρολιβάνου ... λέγει om. Cf || **4** 'Εκ τρίτου πάλιν λέγει Cd δὲ addidi 'Εκ τρίτου ἔφη ceteri || **5** ψηφῖδα (-δη Cb -δους Cf) χαλκοῦ (-κοῦν Cb -κῆς Cf) Ch Cb Cf || ψόφον Cb Cd || **6** θαυμάσασα ἔφη Cd || ὮΩ τέκνον libri ὮΩ resecui || **7** τοῦ βλέπειν Ch Cb || στερίσκῃ nos ἐστέρησαι libri || **8** ἀλλὰ καὶ τοῦ ἀκούειν καὶ τοῦ ὀσφραίνεσθαι Ch || τὰς ὀφρύσεις Cb || **9** Ὅτι Cb || Ὅτι καὶ ἔνιοι τῶν ἀνθρώπων τὰ ἀδύνατα αὐτοῖς ἐκτεπαγγέλονται καὶ ἐν τοῖς ἐλαχίστοις ἤγουν μικροῖς ἐλέγχονται Cd 'Ο μῦθος δηλοῖ ὅτι οὕτως ὑπάρχει (ἔνι pro ὑπάρχει Cf.) ἡ τῶν ἀλαζόνων φύσις· τά ἀδύνατα κατεπαγγέλονται (-τες Ce) καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται Ce Cf.

Aliter.

'Ασπάλαξ.

'Ο ἀσπάλαξ τυφλὸν ζῷόν ἐστι. Φησὶν οὖν ποτε τῇ μητρί· « Συκαμινέαν, μῆτερ, δρῶ. » Εἶτα αὖθις φησι· « Λιβάνου ὀσμῆς πεπλήρωμαι. » Κἀκ τρίτου πάλιν· « Χαλκῆς, φησί, ψηφῖδος κτύπον ἀκούω. » 'Η δὲ μήτηρ ὑπολαβοῦσα εἶπεν· « ὮΩ τέκνον, ὡς ἤδη μανθάνω, οὐ μόνον ὄψεως ἐστέρησαι, ἀλλὰ καὶ ἀκοῆς καὶ ὀσφρήσεως. »
'Ο μῦθος δηλοῖ ὅτι ἔνιοι τῶν ἀλαζόνων τὰ ἀδύνατα κατεπαγγέλλονται καὶ ἐν τοῖς ἐλαχίστοις ἐλέγχονται.

Codd. La 51 Lb 94 Le 94 Lf 51 Md 113 Me 143 Mg 143 Mi 29 Mj 117 Ml 122 Mm 34.

1 Σπάλαξ Mg || **2** Καμινέαν Le Lf[1] Me Mj Ml Mm κἀγὼ (ἐγὼ Md) νέαν Md Mi || μερῶν pro μῆτερ Lf Mj Ml || **3** Καὶ ἐκ τρίτου Le || **4** Χαλκῆς ψηφῖδος, φησί Mj || κτύπον ψηφῖδος Le || **5** μανθάνω La Lb Mi καταμανθάνω ceteri || ὅτι οὐ μόνον Mi Mm || **7** 'Ο μῦθος ὅτι Lb Ὅτι Md Mi.

Digitized by Google

Aliter.

Πηρὸν ἀσπάλαξ καὶ τυφλὸν ζῷον. Εἶς οὖν τὴν μητέρα θέλων φιλῆσαι, ἀντὶ τοῦ στόματος τῷ αἰδοίῳ προσψαύει. Τοῦτο δὲ ποιῶν τοὺς ἄλλους ἀδελφοὺς οὐκ ἔλαθεν. Εἷς δὲ αὐτῶν εἶπεν ὡς « θέλων τι μέγα ποιῆσαι καὶ πνοῆς ἧς εἶχες ἐστέρησαι δικαίως. »

Ὅτι πονηρὰ γνώμη καὶ αὐτὴν τὴν φύσιν ἀλλοιοῖ καὶ βλάπτει.

Cod. Ba 121.

1 Πηρὸν Knöll Πικρὸν cod. || 4 θέλων τι Knöll θέλοντι cod. || 6 ἀλλοιεῖ cod.

328

Σῦς ἄγριος καὶ ἀλώπηξ.

Σῦς ἄγριος ἑστὼς παρά τι δένδρον τοὺς ὀδόντας ἠκόνα. Ἀλώπεκος δὲ αὐτὸν ἐρομένης τὴν αἰτίαν δι᾿ ἥν, μηδενὸς αὐτῷ μήτε κυνηγέτου μήτε κινδύνου ἐφεστῶτος, τοὺς ὀδόντας θήγει, ἔφη· « Ἀλλ᾿ ἔγωγε οὐ ματαίως τοῦτο ποιῶ· ἐὰν γάρ με κίνδυνος καταλάβῃ, οὐ τότε περὶ τὸ ἀκονᾶν ἀσχοληθήσομαι, ἑτοίμοις δὲ οὖσι χρήσομαι. »

Ὁ λόγος διδάσκει δεῖν πρὸ τῶν κινδύνων τὰς παρασκευὰς ποιεῖσθαι.

Codd. Pa 217 Pb 222 Pc 116 Pd 40 Pe 64 Pf 123 Pg 142 Mb 210 Me 161 Mf 135.

1 Ὗς Pb Pd Pg Mb || περί Pb Pc || τινι δένδρῳ Pe || 2 ἐρωτώσης Pb || ἐρωτωμένης πῶς μηδενὸς Pd || τὴν αἰτίαν διὰ τί μήτε κυνηγοῦ μήτε κινδύνου ἐνεστῶτος Pb || δι᾿ ἣν αἰτίαν Pe Pf Me Mf || μηδ᾿ ἑνὸς Pe || 3 ὄντος pro αὐτῷ Pd Pg Mb || 4 θήγεις Pc ἀκονᾷ Pa || ἔφησεν Pe || ἔγωγε Pa om. ceteri || 5 με om. Pe Pf Me Mf || περὶ τοῦ Pe Pg Mb || ἀκονεῖν Pb ἀκονοῦν Pd || 6 ἀσχολήσομαι Pb -ληθώσομαι Pc -λησθήσομαι Pe -ληθησόμεθα Pg || δὲ om. Pd || ἀλλ᾿ ἑτοίμοις γὰρ οὖσί μου χρήσομαι Pe || 7 Ὅτι δεῖ Pe Pf Me Mf || δηλοῖ Pc Pg Mb || ὅτι δεῖ (δεῖ om. Mb) Pb Pg Mb || πρὸς τὸν κίνδυνον Pc || 7-8 Οὕτω πρὸ τῶν κινδύνων τὰς παρασκευὰς δεῖ ποιεῖσθαι Pd.

Digitized by Google

Aliter.

Ὗς ἄγριος καὶ ἀλώπηξ.

Ὗς ἄγριος ἑστὼς παρά τι δένδρον τοὺς ὀδόντας ἠκόνα. Ἀλώπεκος δὲ αὐτὸν ἐρωτησάσης τὴν αἰτίαν, ὅτι, « μηδεμιᾶς ἀνάγκης οὔσης, μήτε κυνηγοῦ, μήτε κινδύνου ἐφεστῶτος, τοὺς ὀδόντας τί θήγεις ; » ἔφη· « Ἀλλ' οὐ ματαίως τοῦτο ποιῶ· ἐὰν γάρ με κίνδυνος καταλάβῃ, οὐ τότε περὶ τὸ ἀκονᾶν ἀσχοληθήσομαι, ἑτοίμοις δὲ οὖσι χρήσομαι. »

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ πρὸ τῶν κινδύνων τὰς παρασκευὰς ποιεῖν.

Codd. Ca 185 Cb 101 Cd 116 Ce 77 Cf 81 Ch 124 Mc 94.

1 Ὗος Mc || Μόνιος (ὄνυος Cf) ἄγριος Ce Cf || ἐπί τινος δένδρου, τοὺς (τὰς Cf) ὀδόντας αὐτοῦ (τοὺς αὐτοῦ Ch) ἔθηγε libri excepto Ca || **2** αὐτὸν om. C excepto Ca || ἐρωμένης (-ομένης Ch) Cb Cd Ce Ch ἐρωτομένης Cf || **3** ἀνάγκης ἢ κινδύνου προκειμένου τοὺς Cb Ch Mc μηδενὸς κινδύνου προκειμένου ἢ ἀνάγκης τοὺς Cd ἀνάγκης οὔσης (οὔσης om. Cf) προκειμένης τοὺς Ce Cf || **4** τί om. Cd || Ἀλλ' om. Cd Ce Cf Ch Mc || μάτην libri excepto Ca || τούτω ποιῶ, φησίν omisso ἔφη Mc || **5** περιάγει Cb παραλάβῃ Cd Ch περιλάβοι Ce -βῃ Cf παραλάβοι Mc || οὔτω τε περὶ τὸν ἀκωνᾶν ἀσχολήσωμε omisso ἑτοίμοις .. χρήσομαι Cb οὐ τότε ἀκονῶ, ἀλλ' ἑτοίμους αὐτοὺς ἔχω ἐν τῇ ἀμύνῃ Cd οὐ τότε ἀκονᾶν ἀσχοληθήσομαι, ἀλλὰ μᾶλλον ἑτοίμοις (-μως Cf) οὖσι (οὖσι om. Ce Cf) χρήσομαι (συγχρή- Cf) Ce Cf Ch οὐ τότε ἄκωνες ἀσχολήσομε θυγεῖν Mc || **7** Ὅτι Cb || δεῖ om. Cb || κινδύνων παρασκευάζεσθαι Ce Cf || **7-8** Δεῖ τοὺς φρονίμους πρὸ τῶν κινδύνων τὰς παρεσκέβας ποιεῖν Cd.

Aliter.

Μόνιος καὶ ἀλώπηξ.

Μόνιος ἄγριος ἐπί τινος ἑστὼς δένδρου τοὺς ὀδόντας ἔθηγεν. Ἀλώπεκος δ' ἐρομένης τὴν αἰτίαν, ὅτι, μηδεμιᾶς προκειμένης ἀνάγκης, τοὺς ὀδόντας θήγει, ἔφη· « Οὐκ ἀλόγως τοῦτο ποιῶ· εἰ γάρ με κίνδυνος περισταίη, οὔκουν με τηνικαῦτα πρὸς τὸ τοὺς ὀδόντας ἀκονᾶν ἀσχολεῖσθαι δεήσει, ἀλλὰ μᾶλλον ἑτοίμοις οὖσι χρῆσθαι. »

Codd. La 54 Lb 83 Le 83 Lf 54 Lh 39 Md 114 Me 113 Mg 114 Mi 30 Ml 108 Mm 99.

1 τοὺς ὀδόντας αὐτοῦ Ml || **2** εἰρομένης Le εἰρη- Lb Lh ἐρωμένης Mm || **3** προσκειμένης La Mg || τί τοὺς ὀδόντας La Lb Le Lh Md Mi Mm || θήγεις Le || **5** τὸ om. Le || **6** δεήσῃ Mm || ἑτοίμους Mm.

Digitized by Google

Ὁ μῦθος δηλοῖ ὅτι δεῖ πρὸς τὸν κίνδυνον παρασκευάζεσθαι.

7 Ὁ μῦθος ὅτι Lb Mm Ὅτι Md Mg || πρὸ τῶν (τῶν om. Md Mi Mm) κινδύνων Lf Lh Md Me Mi Mm πρὸ τοῦ κινδύνου Ml.

329

Σῦς ⟨ἄγριος⟩ καὶ ἵππος καὶ κυνηγέτης.

Σῦς ἄγριος καὶ ἵππος ἐν ταὐτῷ ἐνέμοντο. Τοῦ δὲ συὸς παρ' ἕκαστα τὴν πόαν διαφθείροντος καὶ τὸ ὕδωρ θολοῦντος, ὁ ἵππος βουλόμενος αὐτὸν ἀμύνασθαι [ἐπὶ] κυνηγέτην σύμμαχον παρέλαβε. Κἀκείνου εἰπόντος μὴ ἄλλως δύνασθαι αὐτῷ βοηθεῖν, ἐὰν μὴ χαλινόν τε ὑπομείνῃ καὶ αὐτὸν ἐπιβάτην δέξηται, ὁ ἵππος πάντα ὑπέστη. Καὶ ὁ κυνηγέτης ἐποχηθεὶς αὐτῷ καὶ τὸν σῦν κατηγωνίσατο καὶ τὸν ἵππον προσαγαγὼν τῇ φάτνῃ προσέδησεν.

Οὕτω πολλοὶ δι' ἀλόγιστον ὀργήν, ἕως τοὺς ἐχθροὺς ἀμύνασθαι θέλουσιν, ἑαυτοὺς ἑτέροις ὑπορρίπτουσιν.

Cod. Pa 218. Idem est argumentum quod Ba 117. Cf. fabulam 144.

2 διαφθείραντος cod. || 3 ἐπὶ resecandum || 4 παρέλαβε Sternbach κατέλαβε cod.

330

Σφῆκες καὶ πέρδικες καὶ γεωργός.

Σφῆκές ποτε καὶ πέρδικες δίψει συνεχόμενοι ἧκον πρὸς γεωργὸν καὶ παρὰ τούτου ποτὸν ᾔτουν ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος, οἱ μὲν πέρδικες περισκάψειν τὰς ἀμπέ-

Codd. Pa 220 Pb 211 Pc 117 Pe 67 Pf 126 Pg 136 Me 159 Mf 133.

1 Σφίξ Pe || Σφῆκες καὶ πέρδικές ποτε Mf || συνεχόμεναι Pa Pe Pg || 2 τὸν γεωργὸν Pe Pf Me Mf || παρ' αὐτοῦ ποτὸν ᾐτοῦντο Pe || ἐπαγγελλόμεναι αὐτῷ (αὐτῷ om. Pg) Pc Pg || ἐπαγγειλάμεναι Pc || 3 ὕδατος ταύτην τὴν χάριν ἀποδώσειν Mf Me² in margine || αἱ μὲν πέρδικες Pe || περισκάπτειν Mf || τὸν ἀμπελῶνα αὐτοῦ Pe τοὺς ἀμπελῶνας Pg.

Digitized by Google

λους καὶ τοὺς βότρυας εὐπρεπεῖς ποιήσειν, οἱ δὲ κύκλῳ περιστάντες τοῖς κέντροις τοὺς κλέπτας ἀπώσεσθαι. Κἀκεῖνος ὑποτυχὼν εἶπεν· « Ἀλλ' ἔμοιγέ εἰσι δύο βόες, οἵτινες μηδέν μοι κατεπαγγελλόμενοι πάντα ποιοῦσιν· οἷς ἄμεινόν ἐστιν ἢ ὑμῖν τὸ ποτὸν παρασχεῖν.

Πρὸς ἄνδρα ἀχάριστον ὁ λόγος εὔκαιρος.

4 βότρυς Pb || ποιεῖσθαι Pa Pc Pe ποιῆσαι Pb Pf Me Mf || κύκλωπα pro κύκλῳ Pa || αἱ δὲ σφῆκες (σφῆκες om. Pc Pg) κύκλῳ (κύκλῳ om. Pb Mf) περιστᾶσαι libri exceptis Pa et Pe αἱ δὲ σφίκες κύκλῳ τοῦ ἀμπελῶνος περιστᾶσαι Pe || **5** τοὺς κλέπτας ἀποσοβεῖν τοῖς κέντροις Mf || ἀπώσεσθαι Pb -σασθαι Pa Pc Pe ἀπολέσασθαι Pf ἀπολέσεσθαι Me || **6** ὑπολαβὼν Pe Pg om. Pc || ἔφη Pb Pf || εἰσι om. Pa || βόες δύο Pe || **7** με pro μηδὲν Pe || μοι om. Pb Pc Pg || ταῦτα pro πάντα Pb || ποιοῦντες Pc ποιεῖν Pe || **8** ἄμεινον, μὴ ὑμῖν Pc || ἢ ὑμῖν om. Pe ἡμῖν pro ἢ ὑμῖν Pa || τὸν ποτὸν Pf Me Mf ποτὸν sine τὸ Pg || παρέχειν Pe || **9** Οὗτος ὁ λόγος εὔκαιρος (εὔκαιρος om. Pg) πρὸς ἄνδρα ἀχάριστον Pb Pg || ἁρμόδιος pro εὔκαιρος Pc || Πρὸς ἄνδρα ἴταμον καὶ ἀχάριστόν ἐστιν (ἐστιν om. Mf) ὁ μῦθος εὔκαιρος Pe Pf Me Mf || Me addit alterum epim., quale est in La.

Aliter.

Σφῆκές ποτε καὶ πέρδικες δίψει συνεχόμενοι ἧκον πρὸς γεωργὸν καὶ παρ' αὐτοῦ ποτὸν ᾔτουν, ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος χάριν αὐτῷ ποιῆσαι. Καὶ οἱ μὲν πέρδικες περισκάψειν τοὺς ἀμπελῶνας καὶ τοὺς βότρυας εὐπρεπεῖς ποιήσειν, αἱ δὲ σφῆκες κύκλῳ περιιοῦσαι τοῖς κέντροις τοὺς κλέπτας ἀπώσεσθαι ἔλεγον. Κἀκεῖνος ὑποτυχὼν ἔφη· « Ἀλλ' ἔμοιγέ εἰσι δύο βόες, οἵτινές μοι μηδὲν κατεπαγγελ-

Codd. Ca 178 Cb 97 Cd 113 Ce 110 Cf 118 Ch 119 Mc 90.

1 Σφίξ Cb || ποτε om. Ce Cf || συνεχόμεναι Cb Cd || ἥκασι Cb Cd Ch Mc ἦλθον Ce Cf || **2** τινα γεωργὸν Cd || πιεῖν (ποιεῖν Cb Ce) ἐζήτουν libri excepto Ca || ἐπαγγελλόμεναι (-ελόμεναι Cf) Cd Ce Cf || **3** Καὶ αἱ μὲν Cd || Αἱ μὲν πέρδικες Ce Cf || **4** περισκάψαι (σκάψαι Ce Cf) ... ποιῆσαι ... ἀπώσασθαι (uel ἀποσοβῆσαι) libri, sed futurum est necessarium || τοὺς (τὰς Ce) ἀμπελῶνας (τὸν ἀμπελῶνα Cb Mc) αὐτοῦ (αὐτοῦ Ce Cf soli) ἔλεγον, omisso ἔλεγον in fine sententiae, libri excepto Ca || **5** οἱ δὲ σφῆκες κύκλῳ περιιόντες (περιόντες Cb Mc) Cb Cd Ch Mc || **6** ἀποσοβῆσαι pro ἀπώσεσθαι libri excepto Ca || Ὁ δὲ γεωργὸς ἔφη libri excepto Ca || **7** εἰσι om. Cb Cd Mc || βόες δύο libri excepto Ca || μοι om. libri excepto Ca || κατεπαγγελόμεναι Cf.

λόμενοι πάντα ποιοῦσιν, οἷς ἄμεινόν ἐστιν ἢ ὑμῖν ποτὸν παρέχειν. »
Οὗτος ὁ λόγος πρὸς ἄνδρα ἀχάριστον.

8 ταὐτοὶ Cb ταῦτα Mc || εἰ ὤμενον ἐκείνοις δοῦναι ὕδωρ ἢ ὕδωρ ὑμῖν Cb οἷς ἄμεινον δοῦναι ὕδωρ ἢ ὑμῖν Cd ἄμεινόν ἐστιν ἐκείνοις δοῦναι ὕδωρ ἢ ὑμῖν, omisso οἷς Ce Cf || ἐστι δοῦναι ὕδωρ ἢ ὑμῖν Ch || 10 Ὁ λόγος πρὸς Cb Ὁ μῦθος δηλοῖ πρὸς Ce Cf Mc || ἄχρηστον Mc || Ὁ λόγος οὗτος ἁρμόζει πρὸς ἄνδρα ἄχρηστον τὸν μὴ ἐπιστάμενον ἔργου τινὸς καὶ ἐπαγγελλομένου εἰδέναι Cd.

Aliter.

Σφῆκες καὶ πέρδικες δίψῃ συνεχόμενοι πρὸς γεωργὸν ἦλθον παρ' αὐτοῦ αἰτοῦντες πιεῖν, ἐπαγγελλόμενοι ἀντὶ τοῦ ὕδατος ταύτην τὴν χάριν ἀποδώσειν· οἱ μὲν πέρδικες σκάπτειν τὰς ἀμπέλους, οἱ δὲ σφῆκες κύκλῳ περιιόντες τοῖς κέντροις ἀποσοβεῖν τοὺς κλέπτας. Ὁ δὲ γεωργὸς ἔφη· « Ἀλλ' ἔμοιγέ εἰσι δύο βόες, οἳ μηδὲν ἐπαγγελλόμενοι πάντα ποιοῦσιν· ἄμεινον οὖν ἐστιν ἐκείνοις δοῦναι ἤπερ ὑμῖν. »
Ὁ μῦθος πρὸς ἄνδρας ἐξώλεις ὠφελεῖν μὲν ἐπαγγελλομένους, βλάπτοντας δὲ μεγάλα.

Codd. La 52 Lb 119 Lc 25 Le 119 Lf 52 Lg 25 Lh 68 Md 103 Mg 144 Mi 19 Mj 140 Ml 149 Mm 127.

1 δίψει Md Mi Mj Ml || 2 αἰτοῦντος Lh || ποιεῖν Le Lh ἐν πιεῖν Mi || ἐπαγγελλόμενοι δὲ Md Mi || 3 τὴν om. Lc || 4 σκάψειν Lh Md Mj || περιιόντες (περιόντες Md) κύκλῳ Md Mi Mm || περιόντες Mj || 5 ἔφη om. Lc Lg || 6 βόες δύο Le || 7 ἐστιν om. Mg || ὑπὲρ Lc || 9 Ὁ μῦθος δηλοῖ πρὸς Lc Lg Mj Πρὸς Mg || ἐξάλεις Mm.

331

Σφὴξ καὶ ὄφις.

Σφὴξ ἐπὶ κεφαλὴν ὄφεως καθίσας καὶ συνεχῶς τῷ κέντρῳ πλήττων ἐχείμαζε. Ὁ δὲ περιώδυνος γενόμενος

Codd. Pb 212 Pg 137 Ma 132 Mj 141 Ce 108 Cf 116 Lb 120 Le 120.

1 καθιστᾶσα Pb καθήσασα Ma πατήσας Ce Cf || τοῖς κέντροις Pg τὸ κέντρον Ce Cf || 2 πλήττουσα Pb πλῆττον Ce || ἐχείμαζε πλείσσων Ma ||διηνώχλει (-όχλει Mj) Mj Lb Le || Ὁ δὲ περικίνδυνος Ma.

καὶ τὸν ἐχθρὸν οὐκ ἔχων ἀμύνασθαι, τὴν κεφαλὴν ἁμάξης τρόχῳ ὑπέθηκε, καὶ οὕτω τῷ σφηκὶ συναπέθανεν.

Ὁ λόγος δηλοῖ ὅτι τινὲς τοῖς ἐχθροῖς αἱροῦνται συναποθνήσκειν.

3 καὶ post γενόμενος om. Pb Ce Cf || μὴ ἔχων τὸν ἐχθρὸν ἄλλως ἀμύνασθαι Ce Cf || **4** περιέθηκεν Ce Cf || τῇ σφηκὶ Pb Mj || **5** Ὁ μῦθος δηλοῖ (δηλοῖ om. Le) ὅτι οὕτω τινὲς Mj Le Ὅτι οὕτω τινὲς Lb || ἀνθρώποις pro ἐχθροῖς Pb || αἱροῦνται τοῖς ἐχθροῖς συναπολλύσθαι Ma || Πρὸς (Ὁ μῦθος δηλοῖ ὅτι πρὸς Ce Cf) τοὺς συναποθνήσκειν τοῖς (τοῖς om. Ce Cf) ἐχθροῖς ὑπομένοντας Pg Ce Cf.

Aliter.

Σφὴξ ἐπὶ κεφαλὴν ὄφεως καθίσας καὶ συνεχῶς τῷ κέντρῳ πλήσσων ἐχείμαζεν. Ὁ δὲ περιώδυνος γενόμενος καὶ τὸν ἐχθρὸν οὐκ ἔχων ἀμύνασθαι, ἐξελθὼν ἐν τῇ ὁδῷ καὶ ἰδὼν ἅμαξαν ἐρχομένην, τὴν κεφαλὴν τῷ τρόχῳ ὑπέθηκε, φάσκων· « Συναπόλλυμαι τῷ ἐχθρῷ μου. »

Πρὸς τοὺς συγκινδυνεύειν τῷ ἐχθρῷ ἐπιχειροῦντας.

Codd. Pe 66 Pf 125 Me 160 Mf 134 Ca 179.

1 Σφήξ ποτε Ca || καθίσας Ca καθήσασα Pe καθίσασα Pf Me Mf || τοῖς κέντροις Ca || **2** πλήσσων Ca πλήττουσα ceteri || δηνώχλει Me Mf || **3** πῶς (τοῦ Pf) ἀμύνασθαι Pe Pf || ἀμύνασθαι καὶ ἀποσοβῆσαι Ca || ἐξελθὼν ἐν τῇ ὁδῷ om. Ca || **4** ὡς ἐθεάσατο ἅμαξαν μεστὴν ξύλων, ἀμηχανῶν, τῇ κεφαλῇ τῷ τρόχῳ Ca || ἀρχομένην Mf || **5** ὅτι συναπώλυμαι Pe || συναπόλωμαι Pf Me -απόλομαι Mf || Συντελευτῶ κἀγὼ τῷ ἐχθρῷ μου. Καὶ οὕτω τῷ σφηκὶ συναπέθανεν Ca || **6** Πρὸς τοὺς συγκινδυνεύειν τοῖς ἐχθροῖς πειρωμένους Pf Ὁ μῦθος ὅτι οὕτω τινὲς τοῖς ἐχθροῖς αἱροῦνται συναποθνήσκειν Me Mf Ὅλως δηλοῖ πρὸς τοὺς συναποθήνσκειν τοῖς ἐχθροῖς ὑπομένοντας Ca.

332

Ταῦρος καὶ αἶγες ἄγριαι.

Ταῦρος διωκόμενος ὑπὸ λέοντος κατέφυγεν εἴς τι σπήλαιον, ἐν ᾧ ἦσαν αἶγες ἄγριαι. Τυπτόμενος δὲ ὑπ' αὐτῶν

Codd. Pa 223 Pb 214 Pg 138 Ma 134 Mb 202 Ca 181 Ce 115 Cf 123.

1 τι om. Pb τινα Ma Ce Cf || **2** ἄγριοι Ma || δὲ om. Pf || ὑπ' αὐτῶν ὁ ταῦρος Pb.

Digitized by Google

καὶ κερατιζόμενος ἔφη· « Ἀλλ' οὐχ ὑμᾶς φοβούμενος ἀνέχομαι, τὸν δὲ πρὸ τοῦ στομίου ἑστῶτα [λέοντα]. »

Οὕτω πολλοὶ διὰ φόβον τῶν κρειττόνων καὶ τὰς ἐκ τῶν ἡττόνων ὕβρεις ὑπομένουσιν.

3 ἔφη om. Pa ἔφη post ἀνέχομαι Pg Mb || Ἀλλ' om. Pb || **4** ἀλλὰ τὸν Cf || ἀλλὰ τὸν πρὸ τοῦ σπηλαίου Pb ἀλλὰ τὸν πρὸ τοῦ στόματος τοῦ σπηλαίου Pg Ma Mb Ce Cf || πρὸ τοῦ στόματος τοῦ σπηλαίου Ca || ἑστῶτα om. Ma || δράκοντα ἢ λέοντα pro ἑστῶτα λέοντα Ce || λέοντα Pa Ce om. ceteri || **5** Ὁ (Ὁ om. Ce) μῦθος δηλοῖ ὅτι οὕτω (οὕτω om. Ce) Ce Cf || καὶ τὰς ἐκ τῶν ἡττόνων om. Pb || καὶ om. Ca || τὰς om. Ma || ἐκ τῶν (τῶν om. Mb) γειτόνων Pa Mb Ca Cf || ἐκ τῶν ἐλάττω ὕβρεις ὑποφέρουσι Ce || **6** ὑποφέρουσι Cf

Aliter.

Ταῦρος καὶ τράγος.

Λέοντα φεύγων ταῦρος εἰς σπήλαιον ἔδυ· τράγος δὲ τοῦτον τοῖς κέρασιν ἐξώθει. Ὁ δὲ εἶπεν· « Οὐ σέ, ἀλλὰ τὸν λέοντα φοβοῦμαι· ἐπεὶ παρελθέτω, καὶ τότε γνώσῃ τίς ἡ δύναμις ταύρου καὶ τράγου. »

Ὅτι πολλάκις καὶ δυνατοὺς ἄνδρας αἱ συμφοραὶ ταπεινοῦσιν ⟨ὥστε⟩ τὰς ἐξ εὐτελῶν καὶ δειλῶν ὑπομένειν αἰκίας.

Codd. Ba 72 Bd 46 Mb 93.

1 εἰσῆλθεν εἰς σπήλαιον Bb || εἰσέδυ Mb || **6** ὥστε addidit Coraës || τοῦ pro τὰς Ba || Epim. deest in Mb.

333

Ταὼν καὶ γέρανος.

Ταὼν γεράνου κατεγέλα, κωμῳδῶν τὴν χροιὰν αὐτοῦ καὶ λέγων ὡς « ἐγὼ μὲν χρυσὸν καὶ πορφύραν ἐνδέδυμαι, σὺ δὲ οὐδὲν καλὸν φέρεις ἐν πτεροῖς ». Ὁ δέ· « Ἀλλ' ἐγώ, ἔφη, τῶν ἀστέρων ἔγγιστα φωνῶ, καὶ εἰς τὰ οὐράνια ὕψη ἵπταμαι· σὺ δέ, ὡς ἀλέκτωρ, κάτω μετ' ὀρνίθων βαίνεις. »

Ὅτι κρεῖττον περίβλεπτον εἶναί τινα ἐν πενιχρᾷ ἐσθῆτι ἢ ζῆν ἀδόξως πλούτῳ γαυρούμενον.

Cod. Pb 219.

Digitized by Google

Aliter.

Ἤριζεν εὐφυεῖ γεράνῳ ταὼς χρυσόπτερος, σκώπτουσα τὴν χροιὰν τῆς γεράνου. Ἡ δὲ ἔφη· « Ἀλλ' ἐγὼ ἄστρων ἐγγὺς ἵπταμαι καὶ φωνῶ· σὺ δέ, ὡς ἀλέκτωρ, χαμαὶ πτερύσσῃ οὐδ' ἄνω φαίνῃ. »

Ὅτι κρεῖσσον περίβλεπτόν τινα εἶναι σὺν πενιχρᾷ ἐσθῆτι ἢ ζῆν ⟨ἀδόξως⟩ σὺν πλουσίᾳ ἐσθῆτι.

Cod. Ba 47.

4 φαίνει cod || **6** ἀδόξως addidit Knöll.

Aliter.

Ταὼν ⟨δέ⟩ ποτε γεράνου κατεγέλα,
ἐκκωμῳδοῦσα τὴν χροιὰν τοῦ ὀρνέου,
λέγουσα πολλοὺς μυκτηρισμοὺς ἀθέσμους,
ὡς αὐτὴ χρυσὸν καὶ πορφύραν φοροῦσα,
ὥσπερ τις ἄναξ ⟨οὖσα⟩, φησί, τυγχάνω.
Ὁ δὲ πρὸς αὐτὴν τοιαῦτα οὕτως λέγει·
« Ἀλλ' ἐγὼ φωνῶ ἔγγιστα τῶν ἀστέρων,
καὶ εἰς οὐρανῶν ἀνίπταμαι τὰ ὕψη·
σὺ δ', ὡς ἀλέκτωρ, κάτωθεν βηματίζεις
μετὰ ὀρνίθων καὶ τῶν ἀλεκτορίδων. »

Ὅτι κρεῖσσόν ἐστι περίβλεπτόν τινα εἶναι ἐν πενιχρᾷ ἐσθῆτι ἢ ζῆν ἀδόξως ἐν πλούτῳ γαυρούμενον.

Cod. Mb 207.

1 δέ addidi, ut reperitur in initio fabularum uersibus scriptarum || **2** χρείαν cod. || **3** πολλοὺς nos : πάλιν cod. || **4** αὕτη cod. || **5** τι cod. || addidi οὖσα.

334

Ταὼς καὶ κολοιός.

Τῶν ὀρνέων βουλευομένων περὶ βασιλείας, ταὼς ἠξίου αὐτὸν χειροτονῆσαι βασιλέα διὰ τὸ κάλλος. Ὡρμημένων δὲ

Codd. Pa 226 Pb 216 Pf 131 Pg 140 Mb 171.

1 βουλευσαμένων Pb -λομένων Pf || βασιλέως Pa || ὡς pro ταὼς Pa || **2** αὐτὸν om. Pb || ἑαυτὸν χειροτονηθῆναι Pg Mb || Ὁρμωμένων Pb.

Digitized by Google

ἐπὶ τοῦτο τῶν ὀρνέων, κολοιὸς εἶπεν· « Ἀλλ' ἐάν, σοῦ βασιλεύοντος, ἀετὸς ἡμᾶς διώκῃ, πῶς ἡμῖν ἐπαρκέσεις; »

Ὁ λόγος δηλοῖ ὅτι οὐ μεμπτοὶ ὅσοι προειδότες τοὺς μέλλοντας κινδύνους, πρὶν παθεῖν, φυλάττονται.

3 ἐπὶ τούτων Mb || 4 ὁ ἀετὸς Pb || 5 Epim. deest in Pb Ὅτι οὐ δεῖ τοὺς δυνάστας μεγέθει καὶ κάλλει κοσμεῖσθαι, ἀλλὰ φρονήσει καὶ ἀνδρείᾳ Pf Ὁ λόγος δηλοῖ ὅτι ἀεὶ τοὺς δυνάστας μὴ κάλλει, ἀλλὰ δυνάμει δεῖ νομίζεσθαι Pg Mb.

Aliter.

Τῶν ὀρνέων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἠξίου ἑαυτὸν χειροτονεῖσθαι βασιλέα διὰ τὸ κάλλος. Ἀρεσθέντων δὲ πάντων ἐπὶ τούτῳ τῶν ὀρνέων, κολοιὸς αὐτῷ εἶπεν· « Ἀλλ' ἐάν, σοῦ βασιλεύοντος, ἀετὸς ἡμᾶς καταδιῶξαι ἐπιχειρήσῃ, πῶς ἡμῖν ἐπαρκέσεις; »

Ὁ λόγος δηλοῖ ὅτι ἀεὶ τοὺς δυνάστας μὴ κάλλει, ἀλλὰ φρονήσει καὶ δυνάμει δεῖ κομεῖσθαι.

Codd. Ca 183 Ce 111 Cf 119 Ch 120.

1 βουλευομένων Ch || 2 χειροτονειθῆναι (-τονῆσαι Cf) εἰς βασιλέα (-έαν Cf) διὰ τὸ κάλλος αὐτοῦ Ce Cf || Τρεσθέντων Ca || Ἀρέσαντο δὲ τὸ βούλευμα πᾶσι, κολοιὸς Ce || 3 ἐπὶ τούτῳ τῶν ὀρνέων om. Cf || τῶν ὀρνέων om. Ch || κολοιὸς ὑπολαβὼν ἔφη Ce Cf || ἔφη αὐτῷ Ch || 4 Ἀλλά, βασιλεύοντός σου, ἐὰν ὁ ἀετὸς ἡμᾶς καταδιῶξαι ἐπιχειρίσει Ce || 5 ἐπιχειρήσεις καὶ πῶς Cf || 6 Ὁ μῦθος Ce || Ὅτι Cf || ὅτι ἀεὶ om. Cf || ἀεὶ om. Ce || 7 φρονήσει καὶ om. Ce Cf || κεκοσμεῖσθαι Cf || 6-7 Ὁ λόγος δηλοῖ ὅτι οὐ δεῖ τοὺς δυνάστας ἐν κάλλει, ἀλλ' ἐν φρονήσει κοσμεῖσθαι Ch.

Aliter.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ἠξίου διὰ τὸ κάλλος χειροτονεῖν. Αἱρουμένων δὲ τοῦτον πάντων, κολοιὸς ὑπολαβὼν ἔφη· « Ἀλλ' εἰ, σοῦ βασιλεύοντος, ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἡμῖν ἐπαρκέσεις; »

Ὁ μῦθος δηλοῖ ὅτι τοὺς ἄρχοντας οὐ διὰ κάλλος μόνον, ἀλλὰ καὶ ῥώμην καὶ φρόνησιν ἐκλέγεσθαι δεῖ.

Codd. La 53 Lb 121 Lc 29 Le 121 Lf 53 Lg 29 Lh 69 Md 104 Me 168 Mf 139 Mg 147 Mi 20 Mj 142 Ml 150 Mm 129.

2 δὲ om. Lh || τοῦτο La Lf Lh Md Mg Mj Mm αὐτὸν Mf || 4 ἐπιχειρεῖ Lc -ρῇ Lg || ὅπως Mi || 6 Ὁ μῦθος ὅτι Le || μόνον om. Md Mi Mm || Ὁ μῦθος ὅτι οὐ δεῖ τοὺς δυνάστας μεγέθει καὶ κάλλει κοσμεῖσθαι, ἀλλὰ φρονήσει καὶ ἀνδρείᾳ Me.

Digitized by Google

335

Τέττιξ καὶ ἀλώπηξ.

Τέττιξ ἐπί τινος ὑψηλοῦ δένδρου ᾖδεν. Ἀλώπηξ δὲ βουλομένη αὐτὸν καταφαγεῖν τοιοῦτόν τι ἐπενόησεν. Ἄντικρυς στᾶσα ἐθαύμαζεν αὐτοῦ τὴν εὐφωνίαν, καὶ παρεκάλει καταβῆναι, λέγουσα ὅτι ἐπιθυμεῖ θεάσασθαι πηλίκον ζῷον τηλικαύτην φωνὴν φθέγγεται. Κἀκεῖνος ὑπονοήσας αὐτῆς τὴν ἐνέδραν, φύλλον ἀποσπάσας καθῆκε. Προσδραμούσης δὲ ὡς ἐπὶ τὸν τέττιγα, ἔφη· « Ἀλλὰ πεπλάνησαι, ὦ αὕτη, εἰ ὑπέλαβές με καταβήσεσθαι· ἐγὼ γὰρ ἀπ᾽ ἐκείνου ἀλώπεκας φυλάττομαι ἀφ᾽ οὗ ἐν ἀφοδεύματι ἀλώπεκος πτερὰ τέττιγος ἐθεασάμην. »

Ὅτι τοὺς φρονίμους τῶν ἀνθρώπων αἱ τῶν πέλας συμφοραὶ σωφρονίζουσι.

Codd. Pa 224 Pe 69 Pf 129 Me 166 Mf 137.

1 Ἀλώπηξ δὲ στᾶσα ἐθαύμαζεν αὐτοῦ τὴν ἐφῆαν, παρεκάλει δὲ αὐτὸν καταβῆναι, λέγουσα ὅτι ἐπιθυμῶ ἀκοῦσαι πηλίκον Pe || **5** τηλικαῦτα φθέγγεται (-εσθαι Pe) libri excepto Pa || Κἀκείνου ὑπονοήσαντος τὴν ἐκείνου ἐνέδραν Pe || αὐτοῦ pro αὐτῆς Pa || **6** τὴν ἐνέδραν ... Προσδραμούσης δὲ om. Pf Me Mf || Προσδραμούσης δὲ τῆς ἀλώπεκος Pe || **8** εἰ om. Pe || τὰς ἀλώπεκας Pe || **9** ἀμφόδῳ Pe || **11** τῶν πέλας αἱ Pf Me Mf || Ὁ λόγος δηλοῖ ὅτι πάσης προνοίας ἡ τύχη δυνατωτέρα καθέστηκεν Pa, quod epim. non conuenit nostrae fabulae, sed fabulae Παῖς καὶ λέων γεγραμμένος.

336

Τέττιξ καὶ μύρμηκες.

Ὥρας δέ ποτε χειμῶνος τυγχανούσης,
μύρμηκες σῖτον ἡλίαζον βραχέντα.
Τέττιξ δὲ τούτους οὕτως ἰδὼν ποιοῦντας,
αὐτὸς λιμώττων καὶ μέλλων τεθνηκέναι,
δραμὼν παρ᾽ αὐτοὺς ἐδωδὴν ἐπεζήτει.
Τῶν δὲ φησάντων· « Τῷ θέρει πῶς οὐκ ἔσχες,

Digitized by Google

ἀλλ᾽ ἐρρᾳθύμεις, καὶ προσαιτεῖς ἀρτίως ; »
τέττιξ ἀντεῖπεν· « Ἀλλ᾽ ἐτερπόμην τότε,
αὐλῶν καὶ τέρπων ὅλους τοὺς ὁδοιπόρους. »
Οἱ δὲ αὐτίκα ταῦτα ἀκηκοότες
ἐμειδίασαν καὶ πρὸς αὐτὸν ἐβόων·
« Χειμῶνος ὀρχοῦ, εἴπερ ηὔλεις ἐν θέρει·
ἀλλ᾽ ἐν θέρει σὺ τὸν σῖτον ἀποτίθει
καὶ μὴ λυρίζων ἡδύνῃς ὁδοιπόρους. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἢ ὀκνεῖν ἐπί τινος πράγματος, ἀλλὰ τὰ δέοντα ποιεῖν, μή πως ὀκνήσας κινδύνῳ περιπέσῃ.

Cod. Ca 198.

14 ἡδύνῃς nos ἡδύνεις cod.

Aliter.

Ὥρας δέ ποτε χειμῶνος τυγχανούσης,
μύρμηκες σῖτον ἡλίαζον βραχέντα.
Ἰδὼν δὲ τέττιξ τούτους οὕτως ποιοῦντας,
αὐτὸς λιμώττων καὶ μέλλων ἀποθνήσκειν,
δραμὼν εὐθέως τροφὴν αὐτοὺς ἐζήτει.
Τῶν δὲ φησάντων· « Τὸ θέρος πῶς οὐκ ἔσχες,
ἀλλ᾽ ὅλως ἤργεις καὶ προσαιτεῖς ἀρτίως ; »
τέττιξ ἀντεῖπεν· « Οὐκ ἤργουν, ἀλλὰ ηὔλουν
τέρπων ὁδίτας πάντας παρερχομένους. »
Οἱ δὲ αὐτίκα ταῦτα ἀκουτισθέντες
ἐμειδίασαν καὶ πρὸς αὐτὸν ἐβόων·
« Εἰ θέρους ηὔλεις, ὀρχοῦ ἄρτι χειμῶνος·
σῖτον γὰρ θέρους ταῖς ἀποθήκαις βάλλε,
καὶ μὴ λυρίζων ὁδίτας κατατέρπῃς. »

Codd. Ch 130 Cb 107 Cd 121.

1 Ὥρα δέσποτα χειμόνως τυχανούσης Cb || **5** τροφεῖν αὐτοῖς Cb || αὐταῖς Cd || **6** ἔχεις Cb || **7** ἤργαις καὶ προσαστεῖς Cd || **8** τέττιξ δ᾽ οὐκ ἤργουν omisso ἀντεῖπεν Cb || ὁ τέττιξ εἶπεν Cd || **9** ὁδόντας Cd || παρερχόμενος Cb || **10** ἀκούσαντες Cb || **11** ἐβόουν Cb || **12** θέρος Cb || ὤρχουν νῦν θέρους ἀπελθόντος καὶ χειμὼν ὄντως σε τοῦ ζῆν ἀπαλλάξει Cd || **13** τοῦ γὰρ θέρους τὰς ἀποθήκας βάλε Cb || βάλλε Fedde βάλε libri || **14** λυρίζου ὁδοίτας κατατέρπεις Cd || κατατέρπῃς nos κατατέρπεις, ut uidetur Ch κατατέρπων Cb.

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ τινα ὀκνεῖν ἢ ἀμελεῖν ἐπί τινος πράγματος, ἀλλὰ τὰ δέοντα ποιεῖν, μή πως ὀκνῶν κινδύνῳ περιπέσῃ.

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ hic desinit Ch || Ὅτι Cb || μηδὲ ἀμελεῖν Cd || **16** μὴ ὠκνήσας ὅλως ἢ ἀμελήσας κινδύνων περιπεσεῖν Cd.

Aliter.

Χειμῶνος ὥρᾳ τὸν σῖτον βραχέντα οἱ μύρμηκες ἔψυχον. Τέττιξ δὲ λιμώττων ᾔτει αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες εἶπον αὐτῷ· « Διὰ τί τὸ θέρος οὐ συνῆγες καὶ σὺ τροφήν ; » Ὁ δὲ εἶπεν· « Οὐκ ἐσχόλαζον, ἀλλ' ᾖδον μουσικῶς. » Οἱ δὲ γελάσαντες εἶπον· « Ἀλλ' εἰ θέρους ὥραις ηὔλεις, χειμῶνος ὀρχοῦ. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐ δεῖ τινα ἀμελεῖν ἐν παντὶ πράγματι, ἵνα μὴ λυπηθῇ καὶ κινδυνεύσῃ.

Codd. La 138 Lc 40 Mh 94 Mi 25 Mm 140 Ba 146.

1 Ὥρᾳ χειμῶνος Mm || ὥραν Mh || τῶν σίτων βραχέντων libri excepto Ba || ἔφυγον Mh Ba || **2** ᾔθει Lc || αὐτοῖς Lc Mh Mm Ba || μύρμηκες om. Mm Ba μύρακες Mh || **3** αὐτῷ om. Ba || τῷ θέρει Ba || συνήγαγες Mh || καὶ σὺ Ba om. ceteri || τροφήν om. Mm Ba || **4** Ὁ δὲ ἔφη Mm || εἶδον μουσικά Ba || **5** ὥραις om. Ba || **6** post ὀρχοῦ Ba addit: σῖτον δὲ ἐν θέρει ἀποτίθει, καὶ μὴ τοὺς ὀδίτας λυρίζων τέρπεις (lege τέρπῃς). || **7** Ὅτι Ba || πράγματι, ἀλλὰ τὰ δέοντα ποιεῖν, μή πως κινδύνων καὶ λύπης πειραθῇ Ba || **8** κινδυνεύσῃ καὶ λυπηθῇ Mh.

Aliter.

Μύρμηξ καὶ τέττιξ.

Ψύχος ἦν καὶ χειμὼν κατ' Ὀλύμπου. Μύρμηξ δὲ πολλὰς συνάξας τροφὰς ἐν ἀμητοῖς ἐν ἰδίοις οἴκοις ἀπέθηκε. Τέττιξ δὲ ἐπὶ τρώγλης ἐνδύνας ἐξέπνεε τῇ πείνῃ, λιμῷ κατεχόμενος καὶ ψύχει πολλῷ· ἐδέετο δὲ τοῦ μύρμηκος τροφῆς μεταδοῦναι, ὅπως καὶ αὐτὸς γευσάμενός τινος

Codd. Ca 195 Cf 132 (truncus) Pg 151 Ma 143. Haec fabula primitus uersibus scripta certo fuit.

1 ἦν Ma om. ceteri || χειμῶνα Ma || πολλὰς om. Ma || **2** ἀμητῷ Pg || τροφὰς ἐν οἴκῳ ἀπέθετο· θέρους ἦν ἀκμήν hic desinit narratio in Cf || ἦν pro ἀπέθηκε Ma ἀπέθηκε om. Pg || **3** εἰσδύνας Pg || πείνει Ma || **4** ἐδεῖτο Ma || δὲ om. Ma οὖν Pg || **5** μεταδιδόναι Ma μεταδοῦναι αὐτῷ Pg || ὅπερ καὶ αὐτός τινος γευσάμενος σωθείη Pg ὅπως αὐτός, εἰ εὕρει τινὸς γευσάμενος σωθείη Ma.

Digitized by Google

σωθείη. Ὁ μύρμηξ δὲ πρὸς αὐτόν· « Ποῦ, φησίν, ἧς τῷ θέρει; πῶς δ' οὐ συνῆξας τροφὰς ἐν ἀμητῷ; » Ὁ δὲ τέττιξ· « Ἧδον καὶ ἔτερπον τοὺς ὁδοιποροῦντας. » Ὁ δέ μύρμηξ γέλωτα πολὺν καταχέας ἔφη· « Οὐκοῦν χειμῶνος ὀρχοῦ. »

Ὁ λόγος δηλοῖ ὅτι οὐδὲν κρεῖττον τοῦ φροντίζειν τῶν ἀναγκαίων τροφῶν, καὶ μὴ ἀπασχολεῖσθαι εἰς τέρψιν καὶ κωμασίαν.

6 Ὁ δὲ μύρμηξ φησὶ πρὸς αὐτόν· Ποῦ ἧς τῷ θέρει; Ma || **7** δ' om. Pg Ma || ἐν ἀμητῷ om. Pg || Ὁ δὲ ἔφη Pg Καὶ ὁ τέττιξ φησί Ma || **8** Ὁ δὲ μύρμηξ ... ὀρχοῦ om. Ma || **9** γέλωτι πολλῷ Ca || **11** Ὅλως δηλοῖ Διδάσκει ἡμᾶς ὁ μῦθος (λόγος Ma) Pg Ma || **12** τροφήν || **13** κωμάσας Pg -σίας Ma || **11-13** Ὁ μῦθος δηλοῖ ὅτι δεῖ φροντίδα ποιῆσθαι καί μὴ ἀμελεῖν καὶ ἐπὶ ταῖς ῥαστόνην διατρίβειν Cf.

337

Τοῖχος καὶ πάλος.

Τοῖχος σπαραττόμενος ὑπὸ πάλου βιαίως ἐφώνει· « Τί με σπαράττεις μηδὲν ἠδικηκότα; » Καὶ ὅς· « Οὐκ ἐγώ, φησίν, αἴτιος τούτου, ἀλλ' ὁ ὄπισθεν σφοδρῶς με τύπτων. »

Cod [illegible]b 208 (epim. deest).

338

Τοξότης καὶ λέων.

Ἀνῆλθέ τις εἰς ὄρος τοξότης ἔμπειρος κυνηγῆσαι. Πάντα δὲ τὰ ζῷα ἔφυγον, λέων δὲ μόνος προεκαλεῖτο αὐτὸν πρὸς μάχην. Ὁ δὲ βέλος πέμψας καὶ τὸν λέοντα βαλὼν εἶπεν· « Ἰδὲ τὸν ἐμὸν ἄγγελον οἷός ἐστιν, καὶ δὴ τότε ἐπέρχομαί σοι κἀγώ. » Ὁ δὲ λέων βληθεὶς ὥρμησε φεύγειν.

Codd. Ba 11 Ma 156 Md 31 Mg 24 Mm 31.

1 τοξότης Ba Mg τοξικῆς ceteri || **2** τοῦτον θεασάμενα ἔφυγε (-γον Mm) Ma Md Mm || προσεκαλεῖτο Ba Mg Mm || **3** εἰς μάχην Ma Md Mm || **4** ἔφη· Δέξαι καὶ ἰδὲ Ma Md Mm || καὶ τότε κἀγὼ ἐπέρχομαί σοι Ma Md Mm || **5** φοβηθεὶς pro βληθεὶς Mm.

Digitized by Google

Ἀλώπεκος δὲ τούτῳ θαρρεῖν καὶ μὴ φεύγειν λεγούσης, ἔφη ὁ λέων· « Οὐδαμῶς με πλανήσεις· ὅπου γὰρ τοιοῦτον πικρὸν ἄγγελον ἔχει, ἐὰν αὐτὸς ἐπέλθῃ μοι, τί ποιήσω ; »

Ὅτι ἐκ τῆς ἀρχῆς τὰ τέλη δεῖ προσκοπῆσαι καὶ τότε δὴ λοιπὸν ἑαυτοὺς περισῴζειν.

6 Ἀλώπεκος ... φεύγειν om. **Ma** || τοῦτον θαρρεῖν **Ba Mg** || **7** ὁ λέων ἔφη· Ὦ οὗτος, οὐδαμῶς **Ma Md Mm** || **8** εἰ αὐτὸς ἐπέλθοι (-θει **Ba**) μοι, τί ἂν ποιήσω ; **Ba Mg** ἐὰν αὐτὸς ἐπέλθῃ, οὐκ ἂν ὑποίσω ceteri ἂν resecui || **10** ἑαυτοῖς **Ba Mg** || **9-10** Ὁ μῦθος δηλοῖ μηδαμῶς πλησιάζειν (πλ- δεῖν **Mm**) τοὺς πόρρωθεν χαλεπὰ πράττοντας **Ma Md Mm**.

Aliter.

Ἀνῆλθέ τις ἐν ὄρει κυνηγίου χάριν. Ἰδόντα δὲ αὐτὸν ἅπαντα τὰ θηρία μακρὰν ᾤχοντο· λέων δὲ μόνος πρὸς μάχην μετεκαλεῖτο αὐτόν. Ὁ δὲ τὸ βέλος ἀφεὶς καιρίως τὸν ἰσχυρὸν ἐτραυμάτισεν, εἰπών· « Ἰδὲ τὸν ἐμὸν ἄγγελον πρῶτον οἷός ἐστι καὶ αὖθις δὴ τὴν ἐμὴν ἰσχὺν δοκιμάσεις. » Ὁ δὲ λέων βληθεὶς φεύγειν ὥρμησε ἀμεταστρεπτί. Ἀλώπηξ δὲ τούτῳ συνήντησε καὶ θαρρεῖν συνεβούλευεν. Ἔφη δὲ οὗτος· « Οὐδαμῶς με πλανήσεις, δολία· ἐπεὶ γὰρ τοιοῦτον πικρὸν ἄγγελον ὁ ἄνθρωπος ἔχει, ἐὰν αὐτός μοι ἐπέλθῃ, τί ποιήσω ; »

Ὅτι ἐκ τῆς ἀρχῆς τὸ τέλος δεῖ προιδεῖν καὶ ἑαυτοὺς περισῴζειν.

Cod. **Bc** 9.
6 φεύγων cod. || **9** τί ἂν ποιήσω ; cod. ἂν resecui.

Aliter.

Τοξότης δέ τις ἀπῆλθε κυνηγήσων·
ἐξ οὗ ἀπέδρα εὐθὺς πάντα τὰ ζῷα.
Ἄναξ δ' ὁ λέων τοῦτον προσεκαλεῖτο.
Ὁ δὲ τὸ βέλος ἀποστείλας τοῦ τόξου,
λαβὼν ὁ λέων αὖθις ἔφυγε λέγων·
« Ὢ τῆς συμφορᾶς, τί συνέβη τῷ τάλᾳ ; »
Τοῦ δὲ θρηνοῦντος, τοῦτ' ἡ ἀλώπηξ λέγει·
« Ἵνα τι οὕτως ἀκράτως δραπετεύεις ;
στῆθι, προσμεῖνον, ἵνα σοι ὁμιλήσω. »
Ὁ δὲ πρὸς αὐτὴν μέγα στενάξας λέγει·

Cod. **Mb** 206.
3 τοῦτο cod. || **7** τοῦτο cod.

Digitized by Google

« Εἰ ὁ τοξότης ἄγγελον τοῦτον κτᾶται,
[τὸ σιδήριον μετὰ μικροῦ τοῦ ξύλου],
εἰ ἴδω αὐτὸν ὀφθαλμοῖς τοῖς ἰδίοις,
τί δ' ἄρα, εἰπέ μοι, καινὸν οὐ ποιήσει
μετὰ μαχαίρας καὶ κόντου ὃν βαστάζει; »

Ὅτι ἐκ τῆς ἀρχῆς χρὴ σκοπεῖν τὰ τέλη ὅπως καὶ αὐτοὶ περισωθῶσι πάνυ.

11 τοῦτο cod. || **12** τοσηδήριον cod.; hic uersus est glossema || **14** ποιήσω cod.

339

Τράγος καὶ ἄμπελος.

Τράγος ἐν τῇ ἐκβολῇ τῆς ἀμπέλου τὴν βλάστην ἔτρωγε. Τούτῳ δὲ προσεῖπεν ἡ ἄμπελος· « Τί με βλάπτεις; μὴ γὰρ οὐκ ἔστι χλόη; Ὅμως ὅσον σοῦ θυομένου οἶνον χρῄζουσιν, ἐγὼ παρέξω. »

Τοὺς ἀχαρίστους καὶ βουλομένους τοὺς φίλους πλεονεκτεῖν ὁ μῦθος ἐλέγχει.

Codd. Ba 133 Bb 80.
2 δὲ om. Ba || **5** Ὅτι τοὺς Ba || **6** ἐλέγχει ὁ λόγος Bb.

Aliter.

Τράγος δέ ποτε βλάστην ἀμπέλου τρώγων,
τούτῳ προσεῖπε· « Τί με βλάπτεις ἀδίκως;
μὴ γάρ, ὦ τράγε, οὐκ ἔστιν ἄρτι χλόη;
Ὅμως, πάναφρον, ποτὲ σοῦ θυομένου,
ἐγὼ τὸν οἶνον παρέξω τῷ σῷ φόνῳ. »

Cod. Mb 204.
4 Ὅμως, πάναφρον nos ὅπως πανάφρων cod.

340

Ὕαιναι.

Τὰς ὑαίνας φασὶ παρ' ἐνιαυτὸν ἀλλάττειν τὴν φύσιν καὶ

Digitized by Google

ποτὲ μὲν ἄρρενας γίνεσθαι, ποτὲ δὲ θηλείας. Καὶ δή ποτε ὕαινα ἄρσην ⟨πρὸς⟩ ὕαιναν θήλειαν παρὰ φύσιν διετέθη. Ἡ δὲ ὑποτυχοῦσα ἔφη· « Ἀλλ', ὦ οὗτος, οὕτω ταῦτα πράττε ὡς ἐγγὺς τὰ αὐτὰ πεισόμενος. »

Τοῦτο εἰκότως εἴποι ἄν τις πρὸς τὸν ἤδη ἄρχοντα ὁ μετ' ἐκεῖνον μέλλων, εἴ πλημμελές τι πάσχοι.

Codd. Pa 222 Pf 127 Me 164 Mf 136.

2 Καὶ δή ποτε ἄρσην ὕαινα (ὕ- om. Me) θηλείᾳ παρὰ φύσιν Pf Me Mf || **3** πρὸς addidit Sternbach || **4** ἀποτυχοῦσα Pf || ὦ οὗτος, μὴ ταῦτα Pf Me Mf || **5** πράττετε Pa || εἶναι ὦτα pro ἐγγὺς τὰ Pa || **6** Πρὸς ἄρχοντας λογοθετοῦντας τοὺς ὑπ' αὐτοὺς καὶ πάλιν ἐκ τοῦ συμβεβηκότος τούτους ὑπ' ἐκείνων λογοθετουμένους Pf Me Mf.

Aliter.

Ὕαιναν λέγουσι διττὴν εἶναι φύσει·
χρόνῳ γὰρ αὐτή, φασίν, ἄρρην τυγχάνει
καὶ μετὰ χρόνον θήλεια. Φασὶ μίαν,
κακῶς αὐτῇ ἄρρενος διατεθέντος,
εἰπεῖν· « Ὦ φίλε, μέμνησο πρόσθεν τόδε,
αὖθις τὸν αὐτόν ποτε ἀρρενωθῆναι. »

Ὁ λόγος τοὺς ἄρξαντας ἐπὶ χρόνον τινὰ ἐδίδαξεν ὅτι κριθέντες ἄνθρωποί ποτε ὕστερον ἔκριναν τοὺς πάλαι διδασκάλους.

Cod. Mb 213.

2 αὐτήν cod. || **3** Φασὶ γοῦν cod. || **4** αὐτῇ nos ἐκείνην cod. || **5** Ὦ φίλε nos Φίλος, cod. || **6** ἀρρενωθῆναί ποτε cod. rectius esset ἀρρενωθήσεσθαι.

341

Ὕαινα καὶ ἀλώπηξ.

Τὰς ὑαίνας φασί, παρ' ἐνιαυτὸν ἀλλασσομένης αὐτῶν

Codd. Pf 128 Me 165 Pe 68 cujus duae primae sententiae ad fabulam praecedentem pertinent.

1 Τὰς ὑαίνας λέγουσι παρ' ἐνιαυτὸν ἀλλάττειν τὴν φύσιν καὶ ποτὲ μὲν ἄρρενας, ποτὲ δὲ θηλείας γενέσθαι. Καὶ δήποτε ὕαινα ἄρσενα ὕαινα θήλειαν παρὰ φύσιν διετίθη· ἡ δὲ ὑποτυχοῦσα ἔφη· « Ἀλλ' ὦ οὗτος, ἀλώπεκα θεασαμένη ἐμέμφετο αὐτὴν ὅτι ἐσπούδακε φίλην αὐτῷ γενέσθαι καὶ οὐ προσίετο. Ὑποτυχοῦσα δὲ εἶπεν· Pe.

Digitized by Google

τῆς φύσεως, ποτὲ μὲν ἄρσενας, ποτὲ δὲ θηλείας γίνεσθαι. Καὶ δὴ ὕαινα θεασαμένη ἀλώπεκα ἐμέμφετο αὐτὴν ὅτι φίλην θέλουσαν αὐτῇ γενέσθαι οὐ προσίεται. Κἀκείνη ὑποτυχοῦσα εἶπεν· « Ἀλλ' ἐμὲ μὴ μέμφου, τὴν δὲ σὴν φύσιν, δι' ἣν ἀγνοῶ πότερον ὡς φίλῃ ἢ ὡς φίλῳ σοι χρήσομαι. »

Πρὸς ἄνδρα ἀμφίβολον.

4 αὐτῇ γενέσθαι θέλουσαν Me || 5 ἐμοῦ Pe || 6 ἀγνοεῖς Pe || 7 χρή-σομαι om. Pe || 8 ἀμφίβολον ὁ μῦθος εὔκαιρος Me || Περὶ ανδρὸς ἀμφιβόλου Pe.

342

Ὗς καὶ κύων ⟨ἀλλήλαις λοιδορούμεναι⟩.

Ὗς καὶ κύων πρὸς ἀλλήλας διεφέροντο. Τῆς δὲ ὑὸς ὀμνυούσης τὴν Ἀφροδίτην, ἐὰν μὴ παύσηται, τοῖς ὀδοῦσιν αὐτὴν ἀνατεμεῖν, ἡ κύων ἔλεγε καὶ κατ' αὐτὸ τοῦτο αὐτὴν ἀγνωμονεῖν, εἴγε Ἀφροδίτη μισεῖ, ὥστε καὶ ἐὰν φάγῃ τις ὑὸς κρέα, τοῦτον οὐκ ἐᾷ εἰς τὸ ἱερὸν αὐτῆς εἰσιέναι. Καὶ ἡ ὗς ὑποτυχοῦσα ἔφη· « Ἀλλὰ τοῦτό γε οὐ στυγοῦσά με ποιεῖ, προνοουμένη δέ, ἵνα μηδείς με θύῃ. »

Οὕτως οἱ φρόνιμοι τῶν ῥητόρων πολλάκις καὶ τὰ ὑπὸ

Codd. Pa 227 Pb 220 Pc 118 Pf 133 Mb 211 Me 170 Mf 141.

1 ἀλλήλας nos ἀλλήλους libri || 2 ἐὰν Pb ὅτι ἐὰν ceteri || ὕδασιν Pa || 3 αὐτὴν om. Pb Pc || ἀνατεμεῖν Halm ἀνατέμνειν Pa Pb Mf -νει Pc Pf Me κατατεμεῖ Mb || ὁ κύων Mb || κἂν κατ' αὐτὸ Pa || καὶ om. Mb || αὐτὴν om. Pb Pf Me Mf || ἀγνωμονεῖν αὐτὴν Mb || 4 ὗν δὲ ἡ Ἀ- pro εἴγε Ἀ- Pc || εἴγε … μισεῖ om. Pf Me Mf || μισεῖν, ἄλλως τὲ καὶ Pa || καὶ om. Pb || κἂν φάγῃ τις (τις om. Mb) κρέα (-ας Mb) ὑός Pf Mb Mc Mf || 5 υἱός Pa || κρέας ὑός Pb ὑὸς κρέας Pc || τοῦτον om. Pf Mb Me Mf || εἰσελθεῖν Mb || 6 ὑποτυχοῦσα om. Pc ὑπολαβοῦσα Mb || ἔφη· Ἀλλ' ὅτι τοῦτο οὐ στυγοῦσα ποιεῖ, προνοουμένη ἵνα μή τίς με θύσῃ Pb || γε Pa om. ceteri || στυγέουσά Pe Mf || με om. Pb Mb || 7 μεθύῃ Pa || θύσῃ Pf Me Mf θύσει Mb || 8 ἀνθρώπων pro ῥητόρων Pf Mb Me Mf || καὶ om. Pb || τὰ ἐκ τῶν Pf Me Mf.

Digitized by Google

τῶν ἐχθρῶν προσφερόμενα ὀνείδη εἰς ἐπαίνους μετασχηματίζουσιν.

9 φερόμενα Pb Pc Mb || εἰς om. Pa Pb Mb || ἐπαίνοις Pa ἐπαίνους Pb Mb εἰς οἰκείους ἐπαίνους Pf Me Mf.

Aliter.

Σὺς καὶ κύων ⟨ἀλλήλαις λοιδορούμεναι⟩.

Σῦς καὶ κύων ἀλλήλαις διελοιδοροῦντο. Καὶ ἡ μὲν σῦς ὤμνυε κατὰ τῆς Ἀφροδίτης ἦ μὴν τοῖς ὀδοῦσιν ἀναρρήξειν τὴν κύνα. Ἡ δὲ κύων πρὸς ταῦτα εἰρωνικῶς εἶπε· « Καλῶς κατὰ τῆς Ἀφροδίτης ἡμῖν ὀμνύεις· δηλοῖς γὰρ ὑπ' αὐτῆς ὅτι μάλιστα φιλεῖσθαι, ἣ τὸν τῶν σῶν ἀκαθάρτων σαρκῶν γευόμενον οὐδ' ὅλως εἰς ἱερὸν προσίεται. » Καὶ ἡ σῦς· « Διὰ τοῦτο μὲν οὖν μᾶλλον δήλη ἐστὶν ἡ θεὸς στέργουσά με· τὸν γὰρ κτείναντα ἢ ἄλλως λυμαινόμενον παντάπασιν ἀποστρέφεται· σὺ μέντοι κακῶς ὄζεις καὶ ζῶσα καὶ τεθνηκυῖα. »

Ὁ μῦθος δηλοῖ ὅτι οἱ φρόνιμοι τῶν ῥητόρων τὰ ὑπὸ τῶν ἐχθρῶν ὀνείδη εὐμεθόδως εἰς ἔπαινον μετασχηματίζουσιν.

Codd. La 69 Lb 122 Le 122 Lf 69 Md 123 Me 163 Mg 145 Mi 97 Mj 143 Ml 147 Mm 132.

1 ἀλλήλαις nos -λοις libri || **2** ὤμνυ Md Me Ml -νη Mi || **3** τὸν κύνα Md Mi || εἰρηνικῶς Mj || **4** ἦ μὴν ὀμνύεις Mg || ἡμῶν Mm || **6** οὐ προσίεται οὐδ' ὅλως εἰς ἱερόν Le || Διὰ τούτου Le || **7** ἡ θεός ἐστι Ml || **8** κτείναντά με Md Mi Mj κτείνοντα (κ- με Ml Mm) Lb Le Ml Mm || **9** καὶ ὄζεις Mg || **10** Ὁ μῦθος ὅτι Le Mm Ὅτι Md Mi || καὶ οἱ φρόνιμοι Md Mi Ml Mm.

343

Ὗς καὶ κύων ⟨περὶ εὐτοκίας⟩.

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. Τῆς δὲ κυνὸς εἰπούσης ὅτι μόνη τῶν τετραπόδων ταχέως ἀποκύει, ἡ ὗς

Codd. Pa 228 Pb 221 Pc 119 Pe 70 Pf 134 Pg 143 Ma 136 Mb 212 Me 171 Ca 186 Ce 117 Cf 125.

1 Τῶν ὀρνέων βουλευομένων περὶ εἷς καὶ κύων Ma || εὐτεχνίας Pa Ce εὐτοκίνι Pf εὐτολμίας Cf || **2** μόνη om. Ca μόνον Ce μόνων Cf || ὅτι πάντων τετραπόδων Ca || ταχέως om. Pa Pc καλῶς Pe || κύει Pb || ἡ om. Pa || καὶ ἡ ὗς Pc || ἡ ὗς ὑποτογοῦσα om. Ce Cf.

Digitized by Google

ὑποτυχοῦσα εἶπεν· « Ἀλλ', ὅταν τοῦτο φράζῃ, γίνωσκε ὅτι τυφλὰ τίκτεις. »

Ὁ λόγος δηλοῖ ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἐν δὲ τῇ τελειότητι κρίνεται.

3 ὑποτυχοῦσα om. Pc ἀποτυχοῦσα Pe ὑπολαβοῦσα Pg Mb || ἔφη Pb Pg Ma Mb Ca || ἔφη· κύε Cf || ἔφη κύων· τάχιστα κύεις, ἀλλὰ τοῦτο γίνωσκε ὅτι τυφλὰ κύεις Ce || ὅτι pro ὅταν Cf || λέγῃς Pb Pf Me Ca Ce λέγεις Pe Pg Ma Mb Cf πράξῃ Pc || **4** τίκτεις om. Pg Mb γεννᾷς Ca || **5** Ὁ μῦθος Cf Ὅλως Ca || Ὅτι Pe Pf Me || ἐν τάχει δηλοῖ (δηλοῖ om. Ce), ἀλλ' ἐν τελειότητι τὰ πράγματα κρίνεται Ce Cf || ἀλλ' ἐν τῇ Pb Pe Pf Pg Ma Me Ca || **6** κρίνονται Pc Pe Ma γίνονται Pb || κρίνονται, ἀλλ' ἐν τῇ τελειότητι Mb.

Aliter.

Ὗς καὶ κύων περὶ εὐτοκίας ἤριζον. Ἔφη δ' ἡ κύων εὔτοκος εἶναι μάλιστα πάντων τῶν πεζῶν ζῴων. Καὶ ἡ ὗς ὑποτυχοῦσα πρὸς ταῦτα φησίν· « Ἀλλ', ὅταν τοῦτο λέγῃς, ἴσθι ὅτι καὶ τυφλοὺς τοὺς σαυτῆς σκύλακας τίκτεις. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐκ ἐν τῷ τάχει τὰ πράγματα, ἀλλ' ἐν τῇ τελειότητι κρίνεται.

Codd. La 70 Lb 123 Le 123 Lf 70 Lh 70 Md 124 Me 171 bis in margine, Mf 142 Mg 148 Mi 98 Mj 144 Ml 148 Mm 133.

1 Ἔφη δὴ Lh || ὁ κύων Md Mi Mm || **2** πάντων μάλιστα Mf || κάλλιστα Mj || πάντων om. Md Mj Mm || παιζόντων pro πεζῶν ζῴων Mi || σῦς Mi Mm || **3** πρὸς τοῦτο Lh M excepto Mg om. Mf || εἶπε Mf || σὺ τοῦτο Mf || λέγεις Mf Mm || **4** τοὺς αὑτῆς Md Mi Mm || τρέφεις Mm τρέφεις ἢ τίκτεις Md Mi || **5** Ὁ μῦθος ὅτι Le Md Mi Mm Ὅτι Mf Mg || τὰ om. Mi || **6** κρίνονται Mf γίνεται Md Mi Mm || Epim. om. Me 171 bis.

344

Φαλακρὸς ἱππεύς.

Φαλακρός τις τρίχας ξένας τῇ ἑαυτοῦ κορυφῇ περιθεὶς

Codd. Ba 141 Bb 86 Mb 218 Mc 96 Md 107 Mh 93 Mi 23 Mm 134 Mn 33.

1 Φαρακλός Bb || τρίχας ξένας Ba Mb ξένας τρίχας ceteri || τῇ ἑαυτοῦ κορυφῇ Ba τὴν .. κορυφὴν Bb || τῇ (τῆς Mb) ἑαυτοῦ περιθεὶς κεφαλῇ (-λῆς Mb -λῇ περιθεὶς Mn) M.

Digitized by Google

ἵππευεν. Ἄνεμος δὲ φυσήσας ἀφείλετο ταύτας· γέλως πλατὺς δὲ τοὺς παρεστῶτας εἶχεν. Κἀκεῖνος εἶπε τοῦ δρόμου παύσας· « Τὰς οὐκ ἐμὰς τρίχας τί ξένον φεύγειν με, αἳ καὶ τὸν ἔχοντα ταύτας, μεθ' οὗ καὶ ἐγεννήθησαν, κατέλιπον ; »

Ὅτι μηδεὶς λυπείσθω ἐπὶ συμφορᾷ ἐπελθούσῃ· ὃ γὰρ γεννηθεὶς οὐκ ἔσχεν ἐκ φύσεως, τοῦτο οὐδὲ παραμένει· γυμνοὶ γὰρ ἤλθομεν, γυμνοὶ καὶ ἀπελευσόμεθα.

2 ἵππευσεν Mc Mh Mi Mm Mn || φυσείσας Ba φυσίας Mc πνεύσας Mm || ἀφεῖλε Bb -λατο Md Mi ἀλείλετο Mn || ταῦτα Mm || γέλως πλατὺς δὲ Ba Bb γ- δὲ π- ceteri || **3** εἶπεν εὐθὺς Mb || **7** Ὁ μῦθος δηλοῖ ὅτι Mc Mm Ὁ μῦθος ὅτι Mn || ἐπὶ συμφοραῖς ἐπελθούσαις αὐτῷ Bb || **8** Post τοῦτο desinit Mb, post παραμένει desinunt ceteri M || **9** ἤλθομεν πάντως οἱ πάντες Bb || οὖν καὶ Bb.

345

Φιλάργυρος.

Φιλάργυρός τις τὴν οὐσίαν ἐξαργυρισάμενος βῶλον χρυσοῦν ὠνήσατο καὶ τοῦτον πρὸ τοῦ τείχους κατορύξας διετέλει συνεχῶς ἐρχόμενος καὶ ἐπισκεπτόμενος. Τῶν δὲ περὶ τὸν τόπον ἐργατῶν τις παρατηρησάμενος αὐτοῦ τὰς ἀφίξεις καὶ ὑπονοήσας τὸ ἀληθές, ἀπαλλαγέντος αὐτοῦ,

Codd. Pa 229 Pb 223 Pc 120 Pe 71 Pf 135 Pg 144 Ma 137 Mb 217 Ca 188.

1 τις om. Pa Pc Pe Pf || οὐσίαν αὐτοῦ Pe Ma οὐσίαν ἅπασαν Pg Mb || ἐξαργυρωσάμενος Pb -ρασάμενος Pe -ριζόμενος Ca || βόλον χρυσοῦ Pf || **2** πρὸς τὸ τεῖχος Pe || τοίχου Ca || κατορύξας διέβαλε· διετέλει δὲ συχνῶς ἐρχόμενος ἐπισκεπτόμενος Pb || **3** διετέλει συνερχόμενος Mb || ἐπισκέπτων Pe || Τοῦτον δὲ περὶ (παρὰ Pg Mb) τὸν τόπον τις τῶν ἐργατῶν Pb Pg Ma Mb || **4** ἐπὶ τὸν τόπον Pa περὶ τόπον Ca || πολλάκις βλέπων παρατηρησάμενός τε αὐτοῦ τὰς ἀφίξεις καὶ καταλαβὼν αὐτοῦ τὸν χρυσὸν ἀφείλατο Pb || ἐργατῶν καὶ καταλαβὼν τὸ χρυσίον ἀνείλετο Mb || παρατηρησάμενος αὐτὸν καὶ τὰς ἀφίξεις, ὑπονοήσας Pe || παρατηρησάμενος καὶ καταλαβὼν τὸ χρυσίον ἀνείλετο Pg || **5** ἀφίξεις καὶ καταλαβὼν τὸ χρυσίον ἀνείλατο Ma || ὑπενόησε τὸ ἀληθές. Ἀπαλλαγέντος οὖν αὐτοῦ Ca || ἀπαλλαγέντος αὐτοῦ om. Pf.

Digitized by Google

τὸ χρυσίον ἀνείλατο. Ὁ δέ, ὡς ἐπανελθὼν εὗρε τὸν τόπον κενόν, ἔκλαιε καὶ τὰς τρίχας ἐσπάρασσεν. Ἰδών δέ τις αὐτὸν ὑπερπαθοῦντα καὶ μαθὼν τὴν αἰτίαν ἔφη πρὸς αὐτόν· « Μὴ λυποῦ, λαβὼν δὲ λίθον κατάθες ἐν τῷ αὐτῷ τόπῳ καὶ νόμιζε τὸ χρυσίον κεῖσθαι· οὐδὲ γάρ, ὅτε ἦν, ἐχρῶ αὐτῷ. »

Ὁ λόγος δηλοῖ ὅτι τὸ μηδέν ἐστιν ἡ κτῆσις, ἐὰν μὴ καὶ ἡ χρῆσις παρῇ.

6 ἀνείλατο αὐτοῦ τὸ χρυσίον Pf || τὸν χρυσὸν Pe || ἀνείλετο Pc Ca || Ὁ δὲ (Ὃς Pe) ἐπανελθὼν καὶ κενὸν εὑρὼν τὸν τόπον ἔκλαιέ τε καὶ τὰς τρίχας ἔτιλλεν (ἐσπάραττε Pe) Pb Pe || εὗρε τὸν τόπον κενόν Pc κενὸν εὗρεν τὸν τόπον Pf Pg Mb κενὸν τὸν τόπον εὗρεν Ma || **7** κενὸν om. Pa || ἔκλαιέ τε Pf Ma Mb || ἔτιλλεν Pg Mb Ca || **8** ὑπερπαθοῦντα om. Pb Pf -παθόντα Pa Ma Ca θρηνοῦντα Pe ὑπεραλγοῦντα Pg Mb περιπαθῆ ὄντα Pc || καταμαθὼν Pb || καὶ τὴν αἰτίαν μαθὼν Ca || πρὸς αὐτόν om. Ma || **9** λυποῦ, ἑταῖρε Pb || ἀλλὰ λαβὼν Pb Ca || ἀλλὰ λαβὲ λίθον καὶ κατάθες αὐτὸν ἐν τῷ τόπῳ Pe || τούτου λίθον Pa || ἐν τῷ τόπῳ Pf || τῷ (omisso ἐν) αὐτῷ τόπῳ κατάθες Ca || **10** καὶ ante νόμιζε om. Ma || τὸν χρυσὸν εἶναι Pe || εἶναι κείμενον Pc ἔχειν Pf || οὐδὲν Pb || οὐδὲν γὰρ ἦν, ὅτε αὐτῷ ἔχρω Pc οὐδὲ γὰρ ἔχρω αὐτῷ Pe || **12** Οὕτως (Ὅτι Pf) ματαία ἡ κτῆσις (κτί- Pe) Pe Pf || ὅτι om. Pg || κτίσις Pa || ἡ κτῆσις οὐδέν ἐστι Pb || καὶ om. Pb Pc Pg Mb || **12-13** Ὁ μῦθος δηλοῖ ὅτι οὐδέν ἐστιν ἡ κτῆσις, ἐὰν μὴ καὶ χρηστά τις ἐπάρῃ Ca.

Aliter.

Φιλάργυρός τις τὴν οὐσίαν αὐτοῦ ἅπασαν ἐξαργυρωσάμενος καὶ βῶλον χρυσοῦν ποιήσας καὶ τοῦτον ἔν τινι τοίχῳ κατορύξας, καθ' ἑκάστην ἐρχόμενος ἑώρα αὐτόν. Καὶ δὴ τῶν ἐργατῶν τις παρατηρήσας, καταλαβὼν τὸν τόπον καὶ τὸ χρυσίον εὑρὼν ἀνείλατο. Μετὰ μικρὸν δὲ ἐλθὼν ὁ ἴδιος δεσπότης καὶ μὴ εὑρὼν αὐτὸ ἤρξατο κλαίειν καὶ τίλλειν

Codd. Cb 125 Cb 102 Cd 118 Mc 95.

1 πᾶσαν Cd Mc || ἐξαργυρώσας καὶ πάντα βῶλον ἕνα Cd || **2** χρυσὸν Mc || **3** αὐτήν Cb τοῦτον Cd || **4** τις τῶν ἐργατῶν αὐτῶν παρατηρήσας καὶ καταμαθὸν τὸν τόπον ἐν ᾧ ὁ βῶλος ἐκέκρυπτο, τὸ χρυσίον ἀνείλετο Cd || παρατηρήσας τοῦτον Cb Mc || **5** ἀρὸν pro εὑρὼν Cb || ἀνείλατο om. Cb || δὲ om. Cb || **6** δεσπότης Cd om. ceteri || μὶ ἐρῶν Cb || καὶ τὸν χρυσὸν μὴ εὑρὼν Cd || κλαίων καὶ τύλη τὰς τύχας χυτοῦ Cb.

Digitized by Google

τὰς τρίχας αὐτοῦ. Ἰδὼν δέ τις αὐτὸν οὕτως ὀλοφυρόμενον ἐπυνθάνετο τὴν αἰτίαν καὶ μαθὼν ἔφη αὐτῷ· « Ὦ οὗτος, μὴ λυποῦ, ἀλλὰ λαβὼν λίθον, θὲς ἀντ' αὐτοῦ καὶ νόμιζε τὸ χρυσίον εἶναι· ὡς γὰρ ὁρῶ, οὐδὲ ὅτε ἦν, ἔχρηζες αὐτοῦ. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐδέν ἐστιν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις παρῇ.

7 αὐτὸν om. Cb || οὕτως om. Cb Mc || **9** βαλὼν λίθων ἄλλον θὲς αὐτοῦ Cb || βαλὼν λίθον Mc || νόμιζε ὅτι τὸ χρυσίον ἐστί Cd || τὸ ante χρυσίον om. Mc || **10** ἔχρηζες Ch Cd ἔχριζες (-ζης Mc) Cb Mc || αὐτό Ch Mc αὐτόν Cb Cd || **11** Ὅτι Cb || λόγος Cd || κτίσις Mc || κτῆσις τῶν χρημάτων, ἐὰν μὴ παρῇ ἡ χρεία Cd || χρῆσίς ἐστιν Cb Mc.

Aliter.

Φιλάργυρός τις τὴν οὐσίαν αὐτοῦ πᾶσαν ἐξαργυρώσας ᾠὸν χρυσοῦν ὠνήσατο. καὶ τοῦτο πρὸς τὸ τεῖχος ὀρύξας κατέθετο, συνεχῶς πρὸς ἐπίσκεψιν ἐρχόμενος. Εἷς δέ τις παρατηρήσας τὰς ἀφίξεις καὶ καταλαβὼν τὸ χρυσίον ἀφείλατο. Ὁ δέ, ὡς ἐπανελθὼν κενὸν εὗρε τὸν τόπον, κλαίων τὰς τρίχας ἔτιλεν. Ἰδὼν δέ τις αὐτὸν οὕτως πάσχοντα καὶ μαθὼν τὴν αἰτίαν ἔφη· « Μὴ λυποῦ· λαβὼν γὰρ λίθον κατάθες ἐν τῷ αὐτῷ τόπῳ καὶ νόμιζε τὸ χρυσίον κεῖσθαι· οὐδὲ γάρ, ὅτε ἦν, ἔχαιρες αὐτῷ. »

Ὁ μῦθος δηλοῖ ὅτι εἰς οὐδέν ἐστιν ἡ κτῆσις, εἰ μὴ ἡ χρῆσις παρῇ.

Codd. Ce 118 Cf 126 contaminati ex P et C.

1 τὴν οὐσίαν ἐξαργυριζόμενος λαβὼν ὠνήσατο Cf || **2** τοῦτον πρὸς τὸ τοῦ τείχους ὠρύξας Cf || **3** ἐρχόμενος πρὸς ἐπίσκεψιν Cf || **4** τηρήσας Cf καὶ ante καταλαβὼν om. Cf || **5** κλαίων δὲ ἐπειρᾶται τὰς τρίχας Cf || **9** ἐχάρεις (ἐχαίρεις Cf) αὐτό Ce Cf || **10** κτίσης Ce κτίσις Cf || **11** χρίσης Cf || παρεῖ Ce παρῆν Cf.

Aliter.

Φιλάργυρός τις, ἅπασαν αὐτοῦ τὴν οὐσίαν ἐξαργυρισάμενος καὶ χρυσοῦν βῶλον ποιήσας, ἔν τινι τόπῳ κατώρυξε συγκατορύξας ἐκεῖ καὶ τὴν ψυχὴν ἑαυτοῦ καὶ τὸν νοῦν,

Codd. La 59 Lb 124 Lc 48 Le 124 Lf 59 Lg 48 Lh 71 Md 108 Me 172 Mf 143 Mg 150 Mi 24 Mj 145 Ml 151 Mm 135.

1 τις om. Lc Lg || τὴν αὐτοῦ Lc Lg || τὴν οὐσίαν αὐτοῦ Le || **2** καὶ ante χρυσοῦν om. Mj || **3** καὶ ψυχὴν La Lb Lc Le Lf Me Mf Mm.

Digitized by Google

καὶ καθ' ἡμέραν ἐρχόμενος αὐτὸν ἔβλεπε. Τῶν δὲ ἐργατῶν τις αὐτὸν παρατηρήσας καὶ τὸ γεγονὸς συννοήσας, ἀνορύξας τὸν βῶλον ἀνείλετο. Μετὰ δὲ ταῦτα κἀκεῖνος ἐλθὼν καὶ κενὸν τὸν τόπον ἰδὼν θρηνεῖν ἤρξατο καὶ τίλλειν τὰς τρίχας. Τοῦτον δέ τις ὀλοφυρόμενον οὕτως ἰδὼν καὶ τὴν αἰτίαν πυθόμενος· « Μὴ οὕτως, εἶπεν, ὦ οὗτος, ἀθύμει· οὐδὲ γὰρ ἔχων τὸν χρυσὸν εἶχες. Λίθον οὖν ἀντὶ χρυσοῦ λαβὼν θὲς καὶ νόμιζέ σοι τὸν χρυσὸν εἶναι· τὴν αὐτὴν γάρ σοι πληρώσει χρείαν· ὡς ὁρῶ γάρ, οὐδ', ὅτε ὁ χρυσὸς ἦν, ἐν χρήσει ἦσθα τοῦ κτήματος. »

Ὁ μῦθος δηλοῖ ὅτι οὐδὲν ἡ κτῆσις, ἐὰν μὴ ἡ χρῆσις προσῇ.

4 καὶ ante καθ' om. Lc || Τῶν δὲ παρὰ τὸν τόπον ἐργατῶν τις παρατηρησάμενος αὐτοῦ τὰς ἀφίξεις καὶ ὑπονοήσας τὸ γεγονὸς ἀνωρύξας τὸν βῶλον (εὗρε καὶ, omisso ἀνωρύξας τὸν βῶλον Mf) ἀνείλετο Me Mf || **6** ἐκεῖνος Mj || **7** κενὸν om. Mj || εὑρὼν pro ἰδὼν Me Mf || ἤρξατο θρηνεῖν Lc Lg Md Mi Mm || **9** ἔφη πρὸς αὐτόν· « Ἀλλ', ὦ οὗτος, μὴ οὕτως ἀθύμει Me Mf || ὦ, εἶπεν. οὗτος Lg Md Mi Mm || οὗτος additum est supra inter ὦ et εἶπεν in Lc || **10** ἀντὶ τοῦ χρυσοῦ Ml || **12** σοι ante πληρώσει om. Le || **13** ἐν χρήσει ἐχρῶ αὐτῷ Me Mf || οἶσθα Lh || **14** Ὁ μῦθος ὅτι Le Mm || **15** παρῇ Ml || **14-15** Ὅτι ματαία ἡ κτῆσις, ἐὰν μὴ καὶ ἡ χρῆσις παρῇ Me Mf.

346

Χαλκεὺς καὶ κυνάριον.

Ἦν δέ τις χαλκεὺς κυνάριον κατέχων.
Ὁ δὲ χαλκεύων, ὁ κύων ἐκοιμᾶτο·
πάλιν ἐσθίων, ὁ κύων παρειστήκει.
Οὗτος ἐπέρριψεν ὀστοῦν λαλῶν ταῦτα·

Codd. Ch 58 Ca 82 Cb 51 Cd 48 Cf 57 Ma 167 Mb 223 Mc 50 Md 55 Mh 50 Mi 90 Mm 71.

1 δέ Ch Cb Cd om. ceteri || Χαλκεύς τις ἦν Mb || ἔχων Ca Mb κεκτημένος Ma Md Mh Mi Mm || **2** Τοῦτου δὲ (δὲ om. Ca) χαλκεύοντος Ca Mb || τὸ κυνάριον Ca || **3** καὶ αὖ πάλιν ἐσθίοντος ὁμοίως ἐκοιμᾶτο Ca πάλιν δὲ ... ἐγρηγόρει Ma Md Mh Mi Mm ἐσθίοντος δέ, ὁ κύων προειστήκει Mb || παρεστήκει Cb παριστήκην Cd || **4** Οὗτος Ca Ὃς Ch Cd Cf Mc Ὃ Cb Ὁ δ' Mb || Καὶ ὁ χαλκεύς· Ὦ ταλαίπωρον Ma Md Mh Mi Mm || ἀπέρριψεν Cf || ὀστοῦν αὐτῷ Cf || ὀστοῦν τῷ κυνὶ λέγων Mb || ταῦτα λαλῶν Ca ταῦτα transposuit Fedde ταῦτα λαλοῦντος Cb Mc ταῦτα λαλοῦντι Ch Cd Cf.

Digitized by Google

« Ὦ ταλαίπωρον κυνάριον ὑπνῶδες,
τί σοι ποιήσω ὄκνῳ κατεχομένῳ ;
τῷ γὰρ ἄκμονι ἐμοῦ προσκεκρουκότος,
ἐπανακλίνεις σαυτὸ ἐπὶ κραββάτου,
μὴ θέλοντός σου ἀναστῆναι καθόλου·
ὅταν δὲ πάλιν τοὺς ὀδόντας κινήσω,
εὐθὺς ἐγείρῃ καὶ τὴν κέρκον μοι σείεις. »

Τοὺς ὑπνώδεις καὶ ἀργοὺς τοὺς ἐξ ἀλλοτρίων πόνων ἐφιεμένους ἐσθίειν ὁ μῦθος ἐλέγχει.

5 Ὦ ταλέπωρε κύων ὑπνώδη Cb Mc Ὦ ταλαίπωρε κύων καὶ ὑπνώδη καὶ ἀκίνητε Cf Ὦ ταλαίπωρον σὺ κυνάριον Ma Md Mh Mi Mm Ὦ ταλαίπωρον κυνίδιον ὑπνῶττον Mb || **6** ὕπνῳ pro ὄκνῳ Cd Mb || **7** ὅτε μὲν γὰρ τὸ ἀκμώνιόν μου προσκρούσω Ca || τὸν γὰρ ἄκμονά μου (μου Cb om. ceteri) ἐμοῦ Cb Ma Mb Md Mh Mi Mm τὸ γὰρ ἀκμώνιμον ἐμοὶ Mc || **8** ἐπανακλίνῃς Ch Cb Ma -νῃ Md Mh Mi Mm || σαυτὸ Cd αὐτὸν Cb Ma ἑαυτὸν Ca Mb Mc σαυτὸν ceteri || κραβάτου Ch κραββάτῳ Cb Mc τῆς κλίνης Ma Md Mh Mi Mm || **9** om. Ca Cf μηδ' ὅλως Mb καθόλως Mm || **10** ὅτε Ch Ca Cb Cd Mb || **11** εὐθὺς ἐγείρῃ om. Ca || ἐγείρει Cd || ἐγείρῃ κέρκον μοι ἐπισείων Cf || σου pro μοι Ma Md Mh Mi Mm || **12** Ὁ μῦθος δηλοῖ ὅτι τοὺς ... ὁ μῦθος ἐλέγχει Ch Ὁ μ. δ. ὅτι deleui || Ὁ μῦθος οὗτος τοὺς ὑπνώδεις καὶ ἀργώδεις καὶ εἰς ἀλλοτρίου πόνους ἀποβλέποντας ἐλέγχει Ca Ὅτι (ὅτι om. Cd Mc) τοὺς ὑπνώδεις καὶ ἀργοὺς τοὺς ἐξ ἀλλοτρίων (-ίους Cb Mc) πόνων (πόνους Cb Mc) ἐφιεμένους ὁ μῦθος (λόγος Cd) ἐλέγχει Cb Cd Mc sed Mc habet in initio ὁ μῦθος ἐλέγχει Ὁ μῦθος δηλοῖ ὅτι τοὺς ὑπνώδεις καὶ ἀργοὺς ἐμένους ἀλλοτρίων πόνων ἐλέγχῃ Cf Ὁ μῦθος ἐλέγχει τοὺς ὑπνώδεις καὶ ἀργοὺς τοὺς ἐξ ἀλλοτρίων πόνων (πάντων Ma Md) τρέφεσθαι ἐφιεμένους Ma Md Mh Mi Mm Ὁ μῦθος δηλοῖ τοὺς ὑπνώδεις καὶ ἅρπαγας τοὺς ἐξ ἀλλοτρίων τρεφομένους Mb.

Aliter.

Ἦν τις χαλκεὺς κυνάριον ἔχων. Χαλκεύων δέ, τὸ κυνάριον ἐκοιμᾶτο· ὅταν δὲ τράπεζα παρετίθετο, εὐθὺς ὁ κύων ἕτοιμος εἰς παράστασιν σείων τὸ οὐραῖον ἐφαίνετο. Μιᾷ γοῦν τῶν ἡμερῶν παρεστηκὼς τῷ χαλκεῖ, ἔρριψεν ὁ χαλκεὺς αὐτῷ ὀστοῦν λέγων· « Ὦ ταλαίπωρε κύων, ὑπνῶδες καὶ ὀκνηρέ, τί σοι ποιήσω ; τὸ γὰρ ἀκμόνιον προσκεκρουκώς,

Cod. Cc 53.

3 οὐρέον cod. || **5** ὑπνώδη καὶ ὄκνε cod. || **6** τῷ γὰρ ἀκμόνιμον cod.

Digitized by Google

εὐθὺς ἐπανακλίνεις σαυτὸν ἐπὶ κραββάτου, μὴ θέλοντός σου ἀναστῆναι· ὅταν δὲ τοὺς ὀδόντας μου πρὸς τροφὴν κινήσω, εὐθὺς ἕτοιμος τὴν κέρκον μοι ἐπισείεις. »
Ὁ μῦθος [δηλοῖ ὅτι] τοὺς ὑπνώδεις καὶ ἀργοὺς ὁ τῶν ἀλλοτρίων πόνος ἐλέγχει.

9 ἐπισύων cod. || 10 δηλοῖ ὅτι delendum.

Aliter.

Ἦν τις χαλκεὺς ἔχων κύνα. Οὗτος οὖν χαλκεύων τὸν κύνα ἔβλεπε κοιμώμενον· πάλιν ἐσθίων ἑώρα παριστάμενον. Τότε λοιπὸν εἶπε πρὸς αὐτόν· « Ὦ ταλαίπωρε κύων ὑπνῶδες, τί σοι ποιήσω ὕπνῳ κατεχομένῳ ; τῷ γὰρ ἄκμονί μου προσκρούοντος τῇ σφυρᾷ, αὐτὸς ἐπανακλίνεις σαυτὸν ὡς ἐπὶ κραββάτῳ· ὅταν δ᾿ ἐσθίω, εὐθὺς ἐπεγείρῃ καὶ τὴν κέρκον μοι σείεις. »
Ὁ μῦθος δηλοῖ ὅτι τοὺς ὑπνώδεις καὶ ἀργοὺς τοὺς ἐξ ἀλλοτρίων πόνων ἐλπίζοντας χρὴ ἀποδιώκειν.

Cod. Mk 54.

4 ὑπνώδη cod. || 6 κραβάτῳ cod.

Aliter.

Χαλκεὺς εἶχε κύνα, καὶ ὅτε μὲν ἐχάλκευεν, ὁ κύων ἐκοιμᾶτο· ὅτε δὲ ἤσθιεν, παρίστατο αὐτῷ. Ὁ δὲ ὀστοῦν ῥίψας αὐτῷ εἶπεν· « Ταλαίπωρε, ὑπνῶδες, ὅταν μὲν τὸν ἄκμονα κρούω, ὑπνοῖς· ὅταν δὲ τοὺς ὀδόντας κινήσω, εὐθὺς ἐγείρῃ. »
[Ὅτι] τοὺς ὑπνώδεις καὶ ἀργοὺς καὶ ἐξ ἀλλοτρίων πόνων τρεφομένους ὁ μῦθος ἐλέγχει.

Cod. Ba 143 Bb 87.

2 ὅτε δὲ ἤρξατο τοῦ ἐσθίειν, εὐθέως ὁ κύων ἀφυπνιζόμενος παρίστατο αὐτῷ. Ὁ δὲ αὐτοῦ κύριος ὁ χαλκεὺς ὀστοῦν ῥίψας αὐτῷ εἶπεν Bb || 4 ὑπνῶδες nos ὑπνώδη libri || 3 μὲν om. Bb || 4 ὅτε δὲ Bb || 7 λόγος Bb.

Digitized by Google

347

Χειμὼν καὶ ἔαρ.

Χειμὼν ἔσκωψε εἰς τὸ ἔαρ καὶ αὐτὸ ὠνείδισεν ὅτι εὐθὺς φανέντος ἡσυχίαν ἄγει ἔτι οὐδείς, ἀλλ' ὁ μέν τις ἐπὶ λειμῶνας καὶ ἄλση γίνεται, ὅτῳ ἄρα φίλον δρέπεσθαι ἀνθέων καὶ κρίνων, ἢ καὶ ῥόδον τι περιαγαγεῖν τε τοῖς ἑαυτοῦ ὄμμασιν, καὶ παραθέσθαι [ἢ] παρὰ τὴν κόμην· ὁ δὲ ἐπιβὰς νεὼς καὶ διαβαίνων πέλαγος, ἂν τύχῃ, παρ' ἄλλους ἤδη ἀνθρώπους ἔρχεται· καὶ ὅτι ἅπαντες ἀνέμων ἢ πολλοῦ ἐξ ὄμβρων ὕδατος ἔχουσι φροντίδα οὐκέτι. « Ἐγώ, ἔφη, ἄρχοντι καὶ αὐτοδεσπότῃ ἔοικα, καὶ οὐδὲ εἰς οὐρανόν, ἀλλὰ κάτω που καὶ εἰς τὴν γῆν ἐπιτάττω βλέπειν καὶ δεδιέναι καὶ τρέμειν καὶ ἀγαπητῶς διημερεύειν ἔστιν ὅτε οἴκοι ἠνάγκασα. — Τοιγαροῦν, ἔφη τὸ ἔαρ, σοῦ μὲν κἂν ἀπαλλαγεῖεν ἄνθρωποι ἀσμένως· ἐμοῦ δὲ αὐτοῖς καλὸν καὶ αὐτὸ εἶναι δοκεῖ τοὔνομα, καὶ νὴ μὰ Δία γε ὀνομάτων κάλλιστον, ὥστε καὶ ἀπόντος μέμνηνται καὶ φανέντος ἐπαγάλλονται. »

Cod. Mb 221.

1 Χειμῶνα σκῶψαι ... ὀνειδίσθαι cod. Furia correxit || **2** οὐδὲ εἷς cod. || **5** ἢ delendum est || **13** καὶ ἀπαλλαγεῖεν cod. || δὲ Furia τε cod. || **14** αὐτὸ τὸ εἶναι cod. Furia correxit.

348

Χελιδὼν καὶ δράκων.

Χελιδὼν ἔν τινι δικαστηρίῳ νεοττοποιησαμένη ἐξέπτη· δράκων δὲ προσερπύσας κατέφαγεν αὐτῆς τοὺς νεοττούς.

Codd. Pa 231 Pb 225 Pc 123 Pg 147 Mb 228 Ca 190 Ce 119 Cf 127.

1 ἔν τι Mb || δικαστηρίῳ φωλεὰν οἰκοδομήσασα καὶ νεοττὰ τέξασα ἐξέπτη Ce || νεοττοποιουμένη Cf || ἐξέστη Pb || **2** ὄφις Pb || δέ τις ἑρπύσας Pg || αὐτῆς om. Ce Cf.

Digitized by Google

Ἡ δὲ ἐπανελθοῦσα καὶ τὴν καλιὰν κενὴν εὑροῦσα ὑπερπαθῶς ἔστενεν. Ἑτέρας δὲ χελιδόνος παρηγορεῖν αὐτὴν πειρωμένης καὶ λεγούσης ⟨ὅτι⟩ οὐ μόνον αὐτὴν τέκνα ἀποβαλεῖν συμβέβηκεν, ὑποτυχοῦσα εἶπεν· « Ἀλλ' ἔγωγε οὐ τοσοῦτον ἐπὶ τοῖς τέκνοις κλαίω ὅσον ὅτι ἐν τούτῳ τῷ τόπῳ ἠδίκημαι ἐν ᾧ οἱ ἀδικούμενοι βοηθείας τυγχάνουσιν. »

Ὁ λόγος δηλοῖ ὅτι πολλάκις χαλεπώτεραι γίνονται τοῖς πάσχουσιν αἱ συμφοραί, ὅταν ὑφ' ὧν ἥκιστα προσεδόκησαν ὑφίστωνται.

3 καὶ θεασαμένη (-νος Cf) τὴν καλιὰν κενὴν ἔστενε Ce Cf || ἰδοῦσα Pg Mb || ὑπερπαθοῦσα Pb Mb || ἔστενεν ὑπερπαθοῦσα Pg περιπαθῶς ἐστέναζεν Ca || **5** βουλομένης pro πειρωμένης Pb Pg Mb Ce Cf || ὅτι om. libri || Μόνον ἄρα σοὶ τὰ τέκνα ἀποβαλεῖν συμβέβηκεν; Pb || οὐ μόνην τέκνα ἀποβαλεῖν αὐτὴν Ca || Οὐ μόνον ἐν σοὶ τοῦτο συνέβη, ἔφη Ce Οὐ μόνον σοι τοῦτο συμβέβηκεν, ἔφη Cf || **6** συμβέβηκεν, ἀλλὰ καὶ τὸν ἄρρενα ὑπολαβοῦσα ἔφη Pg Mb || ὑπολαβοῦσα Ca || ἔφη Pb Pc Ca || Ἀλλ' ἔγωγε om Ce Cf || **7** κλαίω om. Ce Cf || ἀλλ' ὅτι pro ὅσον ὅτι Pg Mb Ca || ὅσον ἐν τῷ τόπῳ τοῦτο ἠδίκημαι Ce Cf || **8** οἱ om. Pc || βοηθοῦνται Pb Pg Mb Ce Cf || **9** Ὅλως Ca || πολλάκις om. Pb Mb C || τοῖς πάσχωσιν Mb (hic desinit) || **10** ἀφ' ὧν Pc || ὅταν οἱ κριταὶ δι' αἰσχροκέρδειαν προσωποληπτοῦσι Pb || προσεδόκησαν om. Pg Mb || **11** ὑφίστανται Pa ἐπιφέρωνται Pc πάσχωσι Pg Mb πάσχουσι Ca || **9-11** Ὁ μῦθος δηλοῖ ὅτι χαλεπότερον τοῖς πάσχουσιν αἱ (αἱ om. Cf) συμφοφαί, ὅταν ἐν τόπῳ διακρινομένῳ τὸ δίκαιον ἀδικοῦνται (ὅταν ὑφ' ὧν οἵκιστα προσεδόκησαν ἐπιφαίνονται Cf) Ce Cf.

Aliter.

Ξένη χελιδὼν ἡ τοῖς ἀνθρώποις συνοικοῦσα ἐν δικαστηρίῳ τὴν καλιὰν ἑαυτῆς ἔπηξεν ἐν τοίχῳ, κἀκεῖσε νεοττῶν ἕπτα γίνεται μήτηρ. Ὄφις δὲ ἐκ τρώγλης συρεὶς πάντας κατέφαγεν. Ἡ δὲ χελιδὼν θρηνοῦσα· « Οἴμοι, ἔλεγεν, ὅτι ἔνθα πάντες δικαιοῦνται, ἐγὼ ἠδικήθην. »

Codd. Ba 96 Bb 60 Ma 185 Md 86 Mh 78 Mi 2 Mm 104.

1 ἡ om Bb || ἐνοικοῦσα Mm || **2** τὴν ἑαυτῆς (-τοῖς Ma Mi) ἔπηξε καλλιὰν M || αὐτῆς Ba || κἀκεῖσε Ba Bb κἀκεῖ M || κἀκεῖ γίνεται τῶν ἑαυτῆς (-τοις Mh) νεοττῶν μήτηρ M || **3** συρεὶς τοὺς ἑαυτῆς (-τοῖς Mh) κατέφαγε νεοσσούς (νεοττούς Mi) M || **4** θρηνοῦσα ἐκεκράγει· Οἴμοι τῇ ξένῃ' ὅτι M || **5** ἔνθους Mh || μόνη ἔγωγε (ἐγὼ Ma Mh) ἠδίκημαι ἀδίκως M.

Digitized by Google

Τοὺς ἀδίκῳ γνώμῃ τυραννοῦντας τοὺς πέλας ἐν παραβάσει νόμου ὁ μῦθος ἐλέγχει.

6 Ep. deest in Ma Md Mi Mm Ὅτι τοὺς Ba || 7 νόμον Bb || ὁ μῦθος om. Bb || 6-7 Ὁ μῦθος δηλοῖ ὅτι ἐν τόπῳ ἐκδικήσεως ἀδικεῖταί τις Mh.

349

Χελιδὼν καὶ κορώνη ⟨περὶ κάλλους φιλονεικοῦσαι⟩.

Χελιδὼν καὶ κορώνη περὶ κάλλους ἐφιλονείκουν· ὑποτυχοῦσα δὲ ἡ κορώνη πρὸς αὐτὴν εἶπεν· « Ἀλλὰ τὸ μὲν σὸν κάλλος τὴν ἐαρινὴν ὥραν ἀνθεῖ, τὸ δὲ ἐμὸν σῶμα καὶ χειμῶνι παρατείνεται. »

Ὁ λόγος δηλοῖ ὅτι ἡ τοῦ σώματος παράτασις εὐπρεπείας καλλίων.

Codd. Pb 228 Pe 74 Pf 138 Ma 140 Mb 225 Me 175 Mf 146 Ca 192 La 80 Lb 128 Le 128 Lf 80 Lh 74 Md 133 Mg 154 Mi 107 Mj 149 Ml 155 Mm 138.

Manca est fabula, nam quae dixit hirundo desunt. || 1 ἤριζον Ca || ἀπολαβοῦσα δὲ ἡ χελώνη εἶπεν· Τὸ μὲν Pe || ὑπολαβοῦσα Mb || 2 πρὸς αὐτὴν om. Pe Pf Me Mf || μὲν om. Pb || σὸν om. Le || 3 τῇ ἐαρινῇ ὥρᾳ Ma || ἀνθεῖ om. Mb || τὸ δὲ ἐμὸν μετὰ χειμῶνος παράτασιν Pe τὸ δὲ σῶμα καὶ χειμὼν παρατάσσεται Ma || 4 χειμῶνος Pf Me Mf ἐν χειμῶνι omisso καὶ Md Mi Mm || παρατάσσεται Pb -τάσεται Pf ἀντιτάσσεται Pb[2] Mb Ca || 5 Ὅλως δηλοῖ Ca || Ὁ μῦθος δηλοῖ (δ- om. Le) ὅτι L Mj Ml Ὅτι Md Mg Mi Mm || ἡ παράτασις (-ταξις Ma Ca) (-στασις Mb) τοῦ (τοῦ om. Ma) σώματος Ma Mb Ca L Md Mg Mi Mj Ml Mm || παράταξις Pb || 6 καλλονή Ca κρείττων ἐστί L Md Mg Mi Mj Ml Mn || 5-6 Ὅτι βέλτιον ἀνδρεῖον σῶμα εἴπερ εὐπρεπές Pe Ὅτι βέλτιον ἀνδρεία σώματος ὑπὲρ εὐπρέπειαν Pf Me Mf.

350

Χελιδὼν καὶ ὄρνιθες.

Ἄρτι τοῦ ἰξοῦ φυομένου, χελιδὼν αἰσθομένη τὸν ἐνιστά-

Codd. Pa 40 Pb 39.

1 ἡ χελιδὼν Pb.

Digitized by Google

μενον τοῖς πετεινοῖς κίνδυνον, συναθροίσασα πάντα τὰ ὄρνεα, συνεβούλευσεν αὐτοῖς μάλιστα μὲν ταῖς ἰξοφόροις δρυσὶν ἐκκόψαι· εἰ δ' ἄρα τοῦτο αὐτοῖς ἀδύνατον, ἐπὶ τοὺς ἀνθρώπους καταφυγεῖν καὶ τούτους ἱκετεῦσαι, ὅπως μὴ χρησάμενοι τῇ τοῦ ἰξοῦ ἐνεργείᾳ συλλαμβάνωσιν αὐτά. Τῶν δὲ γελασάντων αὐτὴν ὡς ματαιολογοῦσαν, αὐτὴ παραγενομένη ἱκέτις τῶν ἀνθρώπων ἐγένετο. Οἱ δὲ ἀποδεξάμενοι αὐτὴν ἐπὶ τῇ συνέσει καὶ σύνοικον αὐτὴν προσελάβοντο. Οὕτως συνέβη τὰ μὲν λοιπὰ ἀγρευόμενα ὑπὸ τῶν ἀνθρώπων κατεσθίεσθαι, μόνην δὲ τὴν χελιδόνα ὡς πρόσφυγα καὶ ἐν ταῖς αὐτῶν οἰκίαις ἀδεῶς νεοττοποιεῖσθαι.

Ὁ λόγος δηλοῖ ὅτι οἱ τὰ μέλλοντα προορώμενοι εἰκότως τοὺς κινδύνους διακρούονται.

2 πτηνοῖς Pb || 3 συνεβούλευεν Pb || μὲν om. Pa || τὰς ἰξοφόρους δρῦς Pa || 6 συλλαμβάνωσιν Schneider συλλαμβάνωνται Pa -λάμβονται Pb || 7 Τῶν δὲ ἐγκαλεσάντων αὐτῇ ὡς ματαιολογούσῃ Pb || αὕτη libri || 8 ἱκέτης Pa || 9 σύνοικον αὐτοῖς προσλαβόμενοι, οὕτω συνέβη τὰ λοιπὰ ὄρνεα Pb || 10 ἀγρευόμενα om. Pb || 11 πρόσφυγον Pb.

Aliter.

Χελιδὼν ἐκκλησίαν τῶν ὀρνέων συναθροίσασα παρῄνει, φάσκουσα κράτιστον εἶναι τὸ μὴ προσκόπτειν ἀνθρώποις, ἀλλὰ φιλίαν συνθεμένους οἰκείως διακεῖσθαι πρὸς αὐτούς. Τῶν δὲ ὀρνέων τις τὰ ἐναντία τῇ χελιδόνι ἔλεγεν· « Ἀλλὰ τὸ σπέρμα τοῦ λίνου μᾶλλον κατεσθίοντες ἀναλίσκωμεν καὶ ἀφανὲς ποιῶμεν, ἵνα μηκέτι ἔχωσι πλέκειν δίκτυα καθ' ἡμῶν. » Ἡ μὲν οὖν χελιδὼν ἀρίστην γνώμην ἔχουσα

Codd. Pf 139 Pc 122 Pe 75 Pg 146 Mb 227 Me 176 Mf 147.

1 ἐκκλησίαν συναθροίσασα ὀρνέων παρῄνει φάσκουσα ὅτι Pe || κινήσας Pg -σασα Mb pro συναθροίσασα || 2 προκόπτειν Mb || τοῖς ἀνθρώποις Pg || 3 συντιθεμένους Pg || διοικεῖσθαι Pe || 4 Τῶν δὲ εἰρηκότων τις τὰ ἐναντία τὴν χελιδῶνα λέγειν Pe || τῇ χελιδόνι τὰ ἐναντία λέγει Pc || τὴν χελιδόνα λέγειν Pf Me Mf Furia correxit τῇ χελιδόνι ἔλεγεν, quod accepimus || τὰ ἐναντία αὐτὴν (αὐτὴν om. Pg) φάσκειν ἔλεγεν Pg Mb || Ἀλλ' ἢ Pc Pe Me Mf Ἀλλ' εἰς (εἰ Mb) Pg Mb || 5 κατεσθίωμεν καὶ ἀφανὲς ποιῶμεν ἀλίσκοντες Pc || ἀναλίσκομεν Mf om. Pe || 6 ἀφανῆ Pf Pc Pe Me Mf || ποιοῦμεν Pe || δίκτυα πλέκειν Pc Pe || 7 πλέκειν om. Pg Mb || 7 οὖν om. Pg δὴ pro οὖν Pe.

Digitized by Google

ἀκίνδυνος ἐγένετο ἐν ταῖς πόλεσι διατρίβουσα, καὶ ἐν ταῖς οἰκίαις τίκτουσα παρ' ἀνθρώποις οὐδὲν ὑπ' αὐτῶν πάσχει κακόν. Τὰ δὲ λοιπὰ ὄρνεα, ὡς μᾶλλον ὑπομείναντα κατεσθίειν τὸ σπέρμα, ὡς πάντων ὄντος τοῦ λίνου κακῶν αἰτίου, συμβαίνει λιπαρὰ γενέσθαι καὶ μάλα δικαίως ὑπὸ τῶν ἀνθρώπων συλλαμβανόμενα δαπανᾶσθαι. Οὕτως τε ταύτην τὴν κακογνωμοσύνην ὑπομείναντα, μετενόησε μὴ μετ' ἀνθρώπων μένειν, ἀλλ' ἐν ἀέρι πέτεσθαι.

Οὕτω καὶ τῶν ἀνθρώπων ὅσοι ἐν τοῖς βιωτικοῖς πράγμασι τῷ τῆς ἀγχινοίας βουλεύματι ἐχρήσαντο ἀκίνδυνοι διεφυλάχθησαν.

8 ἀκίνδυνος om. Pg Mb ἀκινδύνως Me Mf || ἐν δὲ (τε Pe) ταῖς οἰκίαις Pc Pe || καὶ om. Pf Pg Me Mf || **9** παρὰ δὲ ἀνθρώποις οὐδὲν πάσχειν δεινὸν ὑπ' αὐτῶν Pe || καὶ οὐδὲν πάσχει δεινόν Pg || ὑπ' αὐτῶν om. Pc Pg Mb || **10** ὡς μᾶλλον om. Pc Pg Mb || ὑπομένοντα Pg || κατήσθιον Pe || **11** τοῦ λίνου om. Pg Mb || **12** γίνεσθαι Me || λιπαρὰ εἶναι τῶν ἀνθρώπων συλλαμβανόμενα δαπανᾶσθαι, οὔτε ταύτην τὴν κακογνωμοσύνην ὑπομείναντα μὴ μετὰ ἀνθρώπων μένειν οὐ μετενόησαν, ἀλλ' Pe || γενέσθαι οὕτω τε ἁλίσκεσθαι καὶ κατεσθίεσθαι Pg Mb || **13** Οὕτως οὖν Pc Οὔτε τε pro Οὕτως τε Me Mf || Ταύτην οὖν (τὴν οὖν Mb) τὴν κακογνωμοσύνην ὑπομείναντα μετενόησαν Pg Mb || **14** μετενόησαν Pc || **15** παραμένειν Pg Mb || ἐν ἀέρι (ἀέρια Pg) ἵπτασθαι Pg Mb || **16** ὅσοι ἐν τοῖς om. Mb || ἐν τοῖς om. Pg || ἐν om. Pf Me Mf || **17** τὸ τῆς Mb || βουλήματι Pc || ἀκινδύνως Mb || **16-18** Οὕτως καὶ οἱ τῶν ἀνθρώπων παῖδες ὅσοι τῆς βιωτικῆς πράγμασι τῷ τῆς ἀσβόλης ἀχωνίσματι ἐγρήσαντο ἀκίνδυνοι διεφυλάχθησαν Pe.

Aliter.

Ὅτε δρῦς ἰξὸν ἔφυε, βλάβην ὀρνέων, ἡ φρονιμωτάτη χελιδὼν εἶπε πᾶσιν ὀρνέοις τοῦτο κωλύειν. Τὰ δὲ ὡς οὐδὲν φρονοῦσαν ταύτην παρελογίσαντο καὶ ἠμέλησαν. Τότε ἡ χελιδὼν ἱκέτευσε τοὺς ἀνθρώπους σύνοικον αὐτὴν εἰσδέξασθαι. Διὰ τοῦτο μόνης αὐτῆς τοῖς πτεροῖς ἰξὸς οὐδέποτε ἐκολλήθη.

Ὅμοιον. reliqua desunt.

Cod. Ba 114.

2 κωλύειν nos -λύσειν cod.

Digitized by Google

351

Χελιδὼν ⟨κομπάζουσα⟩ καὶ κορώνη.

Ἡ χελιδὼν ἔφη πρὸς τὴν κορώνην· « Ἐγὼ παρθένος καὶ Ἀθηναία καὶ βασίλισσα καὶ βασιλέως τῶν Ἀθηνῶν θυγάτηρ ⟨εἰμί⟩, » καὶ προσέθηκε καὶ τὸν Τηρέα καὶ τὴν βίαν καὶ τὴν ἀποκοπὴν τῆς γλώττης. Καὶ ἡ κορώνη· « Τί ἄν, ἔφη, ἐποίησας, εἰ τὴν γλῶτταν εἶχες, ὅπου, τμηθείσης, τοσαῦτα λαλεῖς ; »

Ὅτι οἱ ἀλαζόνες διὰ τοῦ λόγου ψευδολογοῦντες αὐτοὶ ἑαυτοῖς ἔλεγχος καθίστανται.

Codd. Ba 45 Bb 29 Mb 226.

1 Ἡ om. Bb Mb || 3 εἰμί addidi || προσέθηκε δὲ Mb || τοῦ Τηρέως τὴν βίαν Mb || 4 ἡ κορώνη ἔφη· Τί ἂν ἐποιήσας Mb || 7 οἱ διὰ τοῦ λόγου ἀλαζόνες Mb || ψευδολογοῦνται Ba Bb || αὐτοὶ om. Mb.

Aliter.

Χελιδὼν πρὸς τὴν κορώνην ἐκόμπαζε λέγουσα· « Ἐγὼ παρθένος καὶ Ἀθηναίων βασιλέως θυγάτηρ εἰμί, » καὶ προσέθηκε τὸν Τηρέα καὶ τὴν παρ' αὐτοῦ βίαν καὶ τὴν τῆς γλώττης ἀποκοπήν. Ἡ δὲ κορώνη ἔφη· « Εἰ οὕτω λαλεῖς, ἔχουσα ἀποκεκομμένην τὴν γλῶτταν, τί ἂν ἐποίησας, εἰ μὴ τετμημένην αὐτὴν εἶχες ; »

Cod. Bd 23.

352

Χελώνη καὶ ἀετός.

Χελώνη θεασαμένη ἀετὸν πετόμενον ἐπεθύμησε καὶ αὐτὴ πέτεσθαι. Προσελθοῦσα δὲ τοῦτον παρεκάλει ἐφ' ᾧ βούλεται μισθῷ διδάξαι αὐτήν. Τοῦ δὲ πείθοντος καὶ λέγοντος

Codd. Pb 229 Pg 149 Ma 141 Mb 230 Ca 193.

1 καὶ om. Ma || 2 πετᾶσαι pro πέτεσθαι Ca || ἐπὶ μισθῷ διδάξαι αὐτήν, ἐφ' ᾧ βούλεται Pg Mb || 3 Τοῦ δὲ λέγοντος ἀδύνατον Pg Mb Ca.

Digitized by Google

ἀδύνατον εἶναι, καὶ ἔτι αὐτῆς ἐπικειμένης καὶ ἀξιούσης, ἄρας αὐτὴν καὶ μετέωρος ἀναβὰς ἀφῆκεν ἐπί τινος πέτρας, ὅθεν κατενεχθεῖσα ἀπερράγη καὶ τέθνηκεν.

Ὅτι πολλοὶ ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακούσαντες ἑαυτοὺς ἔβλαψαν.

4 ἐπ' pro ἔτι Ma || ἔτι αὐτοῦ ταύτης Pb || **5** ἄρασα Ma || ἀρθεὶς pro ἀναβὰς Pg Ma Mb Ca || ἀφῆκεν αὐτὴν (-τῆς Pg) Pg Mb || ἐπί τινας πέτρας Ca || **6** διερράγη Ca || ἀπέθανεν Ma Mb Ca || **7** Epim. deest in Ma || παρακρούσαντες Pb || **7-8** Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ τῶν ἀνθρώπων ἐν ταῖς φιλονεικίαις τῶν φρονιμωτέρων αὐτῶν παρακούσαντες (τῶν φρο- α- παρ- om. Pg Mb) ἑαυτοὺς καταβλάπτουσι Pg Mb Ca.

Aliter.

Χελώνη θεασαμένη ἀετὸν πετόμενον ἐπεθύμησεν καὶ αὐτὴ πέτεσθαι· καὶ προσελθοῦσα παρεκάλει αὐτὸν ἐφ' ᾧ βούλεται μισθῷ διδάξαι αὐτήν. Τοῦ δὲ λέγοντος ἀδύνατον τοῦτο γενέσθαι, ἔτι ἐπέμενεν δυσωποῦσα αὐτὸν ἆραι πρὸς τὸ διδάξαι αὐτήν. Ὁ δὲ ἐκκακήσας ἦρεν αὐτὴν καὶ μετέωρος ἀρθεὶς ἀφῆκεν πέτεσθαι. Ἡ δὲ κατενεχθεῖσα ἐπί τινος πέτρας ἀπερράγη καὶ ἀπέθανεν.

Ὅτι οἱ τὰ ἀδύνατα ἐπιθυμοῦντες ἑαυτοῖς ἑκουσίως κίνδυνον ἐπιφέρουσιν.

Codd. Pf 137 Pe 73 Me 174 Mf 145.

1 ἀετὸν θεασαμένη Pe || **2** πετασθῆναι Pe || **3** πρός τὸ διδάξαι Pe || αὐτήν. Τοῦ δὲ παραινοῦντος πόρρω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέχειτο. Τοῦ δὲ λέγοντος ἀδύνατον... Me Mf || **4** αὐτὸν om. Me Mf || **5** ἐκκακίσας Pe || αὐτὴν τοῖς ὄνυξι Me Mf || **6** ἀρθεὶς ἐφ' ὑψηλοῦ Pe || ἀφῆκεν αὐτὴν Pe || κατενεχθεῖσα καὶ κρούσασα Pe || ἐπί τινας Pe Me Mf || **7** ἀπέψυξεν Pa || **8** Οὕτως οἱ Pe || καθ' ἑαυτῶν τὸν θάνατον ἐπιφέρεσθαι Pe || Alterum epim. habet in margine Me : Ὅτι πολλοὶ ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακούσαντες ἑαυτοὺς ἔβλαψαν.

Aliter.

Χελώνη ἀετὸν θεασαμένη πετόμενον ἐπεθύμησε καὶ αὐτὴ πέτεσθαι. Προσελθοῦσα δὲ πρός τινα παρεκάλει αὐτὸν

Codd. Ch 127 Cb 104 Mc 98.

1 Χέλος ἄρρεν (ἄρεν Cb) θεασάμενος ἀετὸν Cb Mc || θεασάμενος Ch καὶ αὐτὸς Cb Mc || **2** πετασθῆναι Ch || Προσελθὼν Cb Mc.

Digitized by Google

ἐπὶ μισθῷ διδάξαι αὐτὴν πέτεσθαι. Τοῦ δὲ λέγοντος ἀδύνατον εἶναι, ἐκεῖνος παρακούσας, ἀναβὰς εἰς ὕψος ἀφῆκεν αὐτήν, καὶ παράχρημα ἐπὶ πέτρας πεσοῦσα διερράγη.

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ ἐν ταῖς φιλονεικίαις τῶν φρονιμωτέρων αὐτῶν παρακούσαντες ἑαυτοὺς κατέβλαψαν.

3 ἐπὶ μισθὸν Mc || αὐτὸν τοῦ πετάσαι (-τᾶσθαι Mc) Cb Mc || 5 ἀφῆκεν αὐτόν (ἑαυτὸν Ch Cb) libri || πέτραν Cb || πεσὼν libri || πεσὼν ἐπὶ πέτραν Mc || 7 Ὅτι πολλοὶ Cb.

Aliter.

Χελώνη θεασαμένη ἀετὸν πετόμενον ἐπεθύμησε καὶ αὐτὴ πετασθῆναι. Προσελθοῦσα δὲ τοῦτον παρεκάλει ἐφ' ᾧ βούλεται μισθῷ διδάξαι αὐτήν. Τοῦ δὲ λέγοντος ἀδύνατον εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀναγαγοῦσα ἀφῆκεν· ἡ δὲ καταπεσοῦσα συνετρίβη.

Ὁ μῦθος δηλοῖ ὅτι οἱ τοῖς ἀδυνάτοις ἐπιχειροῦτες κίνδυνον ἑαυτοῖς προξενοῦσιν.

Codd. Ce 121 Cf 130.

2 ἐφ' ὃν .. μισθὸν libri || 3 διδάξαι αὐτῇ libri || τὸ ἀδύνατον Cf || 5 ταύτην Cf || ἐνάγουσα Ce || 6 κατὰ πετρῶν πεσοῦσα Cf || 7 ὅτι πολλοὶ ἐν ταῖς φιλονικίαις ἑαυτοὺς βλάπτουσι Cf.

Aliter.

Χελώνη ἀετοῦ ἐδεῖτο ἵπτασθαι αὐτὴν διδάξαι. Τοῦ δὲ παραινοῦντος πόρρω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀνενεγκὼν εἶτ' ἀφῆκεν. Ἡ δὲ κατὰ πετρῶν πεσοῦσα συνετρίβη.

Ὁ μῦθος δηλοῖ ὅτι πολλοὶ ἐν φιλονεικίαις τῶν φρονιμωτέρων παρακούσαντες ἑαυτοὺς ἔβλαψαν.

Codd. La 61 Lb 127 Le 127 Lf 61 Lh 73 Md 111 Mg 153 Mi 27 Mj 148 Ml 154 Mm 137.

1 ταύτην ἵπτασθαι διδάξαι Le || ταύτην pro αὐτὴν libri || 3 οὖν ταύτην libri || 4 καὶ om. Md Mm || 6 Ὁ μῦθος ὅτι Le Mm Ὅτι Md Mg || προτέρων pro φρονιμωτέρων Md Mi Mm.

353

Χελώνη καὶ λαγωός.

Χελώνη καὶ λαγωὸς περὶ ὀξύτητος ἤριζον. Καὶ δὴ προθεσμίαν στήσαντες καὶ τόπον ἀπηλλάγησαν. Ὁ μὲν οὖν λαγωὸς διὰ τὴν φυσικὴν ὠκύτητα ἀμελήσας τοῦ δρόμου, πεσὼν παρ' ὁδὸν ἐκοιμᾶτο. Ἡ δὲ χελώνη συνειδυῖα ἑαυτῇ βραδύτητα, οὐ διέλιπε τρέχουσα, καὶ οὕτω κοιμώμενον τὸν λαγωὸν παραδραμοῦσα ἐπὶ τὸ βραβεῖον τῆς νίκης ἀφίκετο.

Ὁ λόγος δηλοῖ ὅτι πολλάκις φύσιν ἀμελοῦσαν πόνος ἐνίκησεν.

Codd. Pa 230 Pb 224 Pc 121 Pe 72 Pf 136 Pg 145 Ma 138 Me 173 Mf 144.

1 ὠκύτητος Pc || 2 τόπων Pa τὸν τόπον Me Mf || τοῦ τόπου ἀπαλλαγέντες, ὁ μὲν λαγωὸς Pe || 3 καὶ διὰ Pf Ma Me Mf || ὀξύτητα Pf Me Mf || 4 παρὰ τὴν ὁδὸν Pb Pf Me Mf || εἰδυῖα Pc συνιδοῦσα Ma || ἑαυτῆς τὴν βραδύτητα Pb τὴν ἑαυτῆς βραδύτητα Pe ἑαυτὴν βραδυτάτην Pf Me Mf || 5 διέλειπε Pc Pf Ma Me Mf διέλλιπε Pe || 6 περιδραμοῦσα Pg || εἰς τὸ Pb Pf Me Mf || 7 Ὅτι πολλάκις Pf Me Mf Οὕτως πολλάκις Pe || μέλλουσαν Pe ἀμιλοῦσαν Pe || ὁ πόνος Pb.

Aliter.

Ποδῶν χελώνης λαγωὸς κατεγέλα.
Ἡ δὲ πρὸς αὐτὸν ταῦτα γελῶσα ἔφη·
« Ἐγὼ τὸν ταχυδρόμον σε ἐκνικήσω. »
Ὁ δὲ ἔφησε· « Τοῦτο οὐκ ἀληθεύεις·
ὅμως ἔριζε καὶ γνώσῃ μου τοὺς πόδας.
— Τίς δὲ τὸν ὅρον ἀποτάξει, ἀντέφη,
καὶ τὰ τῆς νίκης τίς ἡμῖν ἐπιδώσει ; »

Codd. Ch 111 Cg 36 Ca 173 Cb 91 Cd 105.

1 Πόδας χελώνας Cd || 2 βοῶσα Cb Cd || 3 secundum Cb Cd dedi || τὸν ταχὺν σὸν δρόμον Ch Cg || τὸν ταχὺν σε ἐν δρόμῳ νικήσω Ca || 4 Ὁ δέ φησιν Cb || ταύτην μὴ ἀληθεύειν Ca || οὐκ ἀληθεύεις τοῦτο Cd || 5 ὅμως, φησίν, Ca || ἐρίζει Cb || γνῶθι (-θει Cb) Cg Cb Cd || 6 Εἴ τις τὸ ὅρος προφθάσει ἐν ἀνέβη Cd || τῶν ὁρῶν πράξιεν Cb || προστάξειεν Ch Cg Ca ἀποτάξει nos || ἀντεφύσησεν ἡ χελώνη Ca || 7 τὰ τῆς νίκης γε βραβείας Cd || ὑμῶν ἐπιδώσεις Cb.

Digitized by Google

Τὸ δὲ φρόνιμον τῶν ζωνῷ, ἡ ἀλώπηξ
συνετάξατο τὴν ἀρχὴν καὶ τὸ τέλος,
ἅμα δείξασα τὸν δρόμον καὶ τὸν τόπον.
Ἡ οὖν χελώνη μηδ' ὅλως κατοκνοῦσα
εὐθὺς ὁδεύουσ' εἰς τὸν ὅρον ἀνῆλθεν.
Ὁ δὲ λαγωὸς ποσὶ θαρρῶν ἐφύπνου·
μετὰ δὲ ταῦτα ἐξαναστὰς τῆς κοίτης
δρομαῖος ἧκεν εἰς τὸν τόπον τοῦ ὅρου,
ὅστις καὶ εὗρε τὴν χελώνην ὑπνοῦσαν.

Ὁ μῦθος δηλοῖ ὅτι πολλαὶ φύσεις ἀνθρώπων εἰσὶν εὐφυεῖς, ἀλλ' ἐκ ῥαθυμίας καὶ ὄκνου ἀπόλλυνται· ἐκ δὲ σπουδῆς καὶ μακροθυμίας πολλοὶ περιεγένοντο τῆς φύσεως.

8 Τὸ γοῦν Ca || τὸ ζῶον Cg Cd || **10** τὸν τόπον δείξασα καὶ τὸν δρόμον Cg τὸν δρόμον καὶ τὸν τόπον δείξασα (-σεις Cb) Ca Cb τὸν τόπον καὶ τὸν δρόμον δειξάσης Cd || **11** κατοκνῶσα Ch Cb κατοκνήσασα Ca || μὴ οὐδ' ὅλως ὀκνήσασα ἀνῆλθεν εἰς τὸ ὄρος σχολῇ καὶ βάδην ἀνιοῦσα πρὸς τοῦτο Cd || **12** ὁδεύουσ' Ch ὁδεύουσα Ca Cd ὁδεύειν Cg ὁδεύων Cb || **13** ἐφύπνου Ca ἐφυπνοῖ Ch ἀφύπνου Cg ἀφύπνει Cb ἀφύπνιε Cd || **15** δρομαίως Ch Cg Cb || ἦλθεν Cg Cb Cd || ὄρους Ca Cd || **16** ὃς καὶ Cd || καί om. Ca || **17** Ὅτι Cg Cb || πολλαί φησιν Cb || **18** ἀπολοῦνται Cg ἀπόλλονται Ca || καὶ ὄκνου ... μακροθυμίας om. Cb || **19** μακροπονίας Ca || ἐγένοντο Cb || **17-19** Οὗτος ὁ μῦθος πρὸς ἡμᾶς λέγει· Οἱ τὴν φύσιν ἔχοντες εὐφυεστάτην, τὸν ὄκνον ἀπώσασθε καὶ μὴ θαρεῖτε, μή πως οἱ σπουδάζοντες νικήσουσιν ἡμῶν τὴν φύσιν Cd.

Aliter.

Ποδῶν χελώνης κατεγέλα λαγωός. Ἡ δὲ ἔφη· « Ἐγώ σε τὸν ταχύπουν νικήσω. » Ὁ δέ· « Λόγῳ μόνῳ λέγεις τοῦτο· ἀλλ' ἔριζε καὶ γνῶθι. — Τίς δὲ τὸν τόπον ὁρίσει, ἔφη, καὶ βραβεύσει τὴν νίκην ; — Ἀλώπηξ, ἔφη, ἡ δικαία καὶ σοφωτάτη. » Ἔταξε δὲ τὴν ἀρχὴν τῆς ὥρας τοῦ δρόμου. Ἡ δὲ χελώνη μὴ ῥαθυμήσασα ἤρξατο τῆς ὁδοῦ. Ὁ δὲ λαγωὸς τοῖς ποσὶ θαρρῶν ἐκοιμήθη. Ἐλθὼν δὲ

Codd. Ba 129 Bb 77 Md 101 Mh 88 Mi 17 Mm 123.

1 καταγέλα Mi || λαγωὸς καὶ (καὶ om. Mh) ἀργίας M || **2** σοι Bb || ταχὺν ἐν τοῖς ποσὶ M || μόνῳ, χελώνη M || τοῦτο λέγει Mh || **3** γνώθη Mh γνώση Md Mi Mm || **4** ὁριεῖ M || ἔφη om. M || βραβεύση Bb || Ἀλώπηξ δὲ (δ' ἡ Mh Mi) δικαία καὶ σοφωτάτη ἔταξεν ὁδὸν τῶν δρόμων τὴν εὐθεῖαν. Ἡ δὲ M || **6** μὴ om. Mm || **7** ὁδοῦ, πρὸς τὸ αὐτῆς (αὑτῆς Mi) ἀφορῶσα δυσκίνητον M || θαρρῶν τοῖς ποσὶ M.

Digitized by Google

ἐπὶ τὸν ὡρισμένον τόπον εὗρε τὴν χελώνην νικήσασαν. Ὅτι πολλαὶ φύσεις ἀνθρώπων εὐφυεῖς εἰσιν, ἀλλ' ἐκ τῆς ῥαθυμίας ἀπώλοντο, ἐκ δὲ νήψεως καὶ σπουδῆς καὶ μακροθυμίας τινὲς καὶ φύσεως ἀργῆς περιεγένοντο.

Καὶ ἐλθὼν ἐπὶ τοῦ ὡρισμένου τόπου εὗρε νικῶσαν τὴν βραδεῖαν χελώνην M || **9 Epim. fabulae sequentis** Ῥόδον καὶ ἀμάραντον **et nostrae commutata sunt in Ba et Bb** || **10** ἀπόλλωντο Ba ἀπολλῶνται Bb || **11** φύσει ἀργοὺς Bb || **9-11** Ὅτι (Ὁ μῦθος δηλοῖ ὅτι Mh Ὁ μ- ὅτι Mm) πολλοὶ τῇ μὲν φύσει ἀργοί, τῇ δὲ συντομίᾳ (προθυμίᾳ σύντονοι Mh Mm) τοὺς φύσει ταχεῖς, ῥαθύμους δὲ νικῶσιν M.

354

Χῆνες καὶ γέρανοι.

Χῆνες καὶ γέρανοι τὸν αὐτὸν λειμῶνα ἐνέμοντο. Ἐπιφανέντων δὲ αὐτοῖς θηρευτῶν, αἱ μὲν γέρανοι ἐλαφραὶ οὖσαι ἀπέπτησαν, οἱ δὲ χῆνες μείναντες διὰ τὸ βάρος τῶν σωμάτων συνελήφθησαν.

Οὕτω καὶ τῶν ἀνθρώπων, ἐπὰν πόλεμος ἐν πόλει γένηται, οἱ μὲν πένητες εὐπρόφοροι ὄντες, ῥᾳδίως ἀπὸ πόλεως εἰς ἑτέραν πόλιν διασῴζονται τῆς ἐλευθερίας μετέχοντες, οἱ δὲ πλούσιοι διὰ τὴν τῶν ὑπαρχόντων ὑπερβολὴν μένοντες πολλάκις δουλεύουσιν.

Codd. Pa 232 Pb 226 Pc 124 Pe 76 Pf 140 Ma 139 Mb 231 Me 177 Mf 148.

1 Χὴν Pb || γέρανες ἕνα τῶν λειμώνων Pe || τῷ αὐτῷ λειμῶνι Pc || χειμῶνα Ma Me Mf || ἐβάδιζον Ma || Ἄφνω δὲ αὐτοῖς θηρευτὴς ἐπιφανεὶς Pe Ἄφνω δὲ αὐταῖς θηρευτῶν ἐπιφανέντων Pf Me || **2** οἱ μὲν γέρανοι κοῦφοι ὄντες ταχέως ἀπέπτησαν καὶ ἐσώθησαν Me Mf || **3** ἐσώθησαν Pb διεσώθησαν Pe Pf Ma Mb || αἱ δὲ χῆνες μείνασαι (μείνασαι om. Pe Pf) Pe Pf Ma Mb || αἱ δὲ χῆνες διὰ τὸ βάρος τῶν σωμάτων μείναντες Me Mf || διὰ τὰ βάρη Pa || διὰ τὸ ... σωμάτων om. Ma Mb || **5 Epim. oblitteratum est in Pc, deest in Pe** || Οὕτω καὶ τῶν ἀνθρώπων οἱ μὲν πένητες σώζονται, οἱ δὲ πλούσιοι ἀπόλλυνται Pb Δηλοῖ (Ὁ μῦθος δηλοῖ Me) ὅτι ταραχῆς ἐν πόλει γενομένης, οἱ πένητες εὐπρόφοροι ὄντες ῥαδίως περισώζονται, οἱ δὲ δυνάμενοι διὰ τὸν ὄγκον (ὅρκον Pf) τῶν ὑπαρχόντων μένοντες πολλάκις κινδυνεύουσιν Pf Me Οὕτω καὶ ἐπὶ (ἐπὶ om. Ma) τῶν ἀνθρώπων, ἐπὰν στάσις ἐν πόλει

Digitized by Google

γένηται (ἐπὶ ἐπαναστάσει πόλεων γίνεται Mb), οἱ μὲν πένητες εὐπρόφοροι ὄντες ῥαδίως ἐπιβαίνουσιν (μετα- Mb) ἀπὸ πόλεως εἰς πόλιν· οἱ δὲ πλούσιοι διὰ τῆς (τὴν Mb) τῶν ὑπαρχόντων ὑπερβολῆς (-λὴν Mb) μένοντες πολλάκις δουλεύουσιν Ma Mb Ὅτι (Ὁ μῦθος δηλοῖ ὅτι Mf) καὶ ἐν ἁλώσει πόλεως (-ων Mf) οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν, οἱ δὲ πλούσιοι διὰ τὸν ὄγκον τῶν ὑπαρχόντων μένοντες (διὰ ... μένοντες om. Me) δουλεύουσιν ἁλισκόμενοι Mf et Me (alterum epi in margine).

Aliter.

Χῆνες καὶ γέρανοι τὸν αὐτὸν λειμῶνα ἐνέμοντο. Ἐπιφανέντων δὲ αὐτοῖς θηρευτῶν, οἱ μὲν γέρανοι ἐλαφροὶ ὄντες ταχέως ἀπέπτησαν καὶ διεσώθησαν· αἱ δὲ χῆνες μείνασαι διὰ τὸ βάρος τῶν σωμάτων συνελήφθησαν.

Οὕτω καὶ ἐπὶ τῶν ἀνθρώπων ἐπὶ ἐπαναστάσεσι πόλεων γίνεται· οἱ μὲν πένητες, διὰ τὸ ἀκτήμονες εἶναι, ῥᾳδίως μεταβαίνουσιν ἀπὸ πόλεως εἰς πόλιν· οἱ δὲ πλούσιοι, διὰ τὴν τῶν ὑπαρχόντων ὑπερβολὴν μένοντες, πολλάκις δουλεύουσι.

Codd. Ca 191 Cb 103 Cd 119 Ce 120 Cf 128 Ch 126 Mc 97.

1 λιμόνων Cb χειμῶνα Cd || ἐπὶ τοῦ (τοῦ om. Ce) λειμόνος Ce Cf || **2** αὐτοῖς om. Cb Cd Ch Mc || οἱ μὲν γὰρ ἀλαφρυόντες Cb || ἐλαφραὶ οὖσαι Cf || **3** ταχέως ἀπέπτησαν καὶ om. Ce Cf || ἀπέστησαν Cb Mc || ἐσώθησαν Ch Mc ἐσώθησαν ἅπαντες Cb Cd || οἱ δὲ χῆνες μείνοντες Cb || **4** τῶν σωμάτων om. Ce Cf || **5** Ὅτι οὕτως καὶ ἐπὶ ἐπαναστάσεως πολλῶν οἱ μὲν παίνητες ῥαδίως ἐπιβαίνουσιν ἀπὸ πολλῶν ἀπὸ πόλεως εἰς πόλιν· οἱ δὲ πλούσιοι διὰ τὴν ὑπερβολὴ τῶν χρημάτων μένουσι πολλάκις καὶ δουλεύουσι Cb Τούτου δ' ἡ λύσις αὕτη τυγχάνει ὅτι (Ὁ μῦθος δηλοῖ ὅτι Ch Mc) οὕτω καὶ ἐπὶ ἀναστάσεως (ἐπανα- Cd Mc) πόλεων γίνεται (-ονται Cd)· οἱ μὲν πένητες ῥαδίως (ῥαδίω Cd) μεταβαίνουσιν ἀπὸ πόλεως (πόλης Cd) εἰς πόλιν διὰ τὸ ἀκτήμονες εἶναι· οἱ δὲ πλούσιοι διὰ τὴν ὑπερβολὴν τῶν χρημάτων μένουσι πολλάκις καὶ δουλεύουσι Cd Ch Mc Ὁ μῦθος δηλοῖ ὅτι εἰς τὰς ἐπαναστάσεις τῶν πόλεων οἱ μὲν πένητες ἀπρόσφοροι ὄντες ῥαδίως μεταβαίνουσιν· οἱ δὲ πλούσιοι διὰ τὰ ὑπάρχοντα (διὰ ὑπαρχόντων Cf) μένοντες δοῦλοι γίνονται Ce Cf.

Aliter.

Χῆνες καὶ γέρανοι ἐπὶ ταὐτοῦ λειμῶνος ἐνέμοντο. Τῶν δὲ θηρευτῶν ἐπιφανέντων, οἱ μὲν γέρανοι, κοῦφοι ὄντες,

Codd. La 60 Lc 28 Le 126 Lf 60 Lg 28 Md 110 Mg 152 Mi 26 Mj 147 Ml 153 Mm 136.

1 χειμῶνος Lf χλειμῶνος Lc || ἐβόσκοντο Md Mi Mm.

Digitized by Google

ταχέως ἀπέπτησαν, οἱ δὲ χῆνες, διὰ τὸ βάρος τῶν σωμάτων μείναντες, συνελήφθησαν.

Ὁ μῦθος δηλοῖ ὅτι καὶ ἐν ἁλώσει πόλεως οἱ μὲν ἀκτήμονες εὐχερῶς φεύγουσιν, οἱ δὲ πλούσιοι δουλεύουσιν ἁλισκόμενοι.

5 Ὁ μῦθος ὅτι Le Mm.

355

Χύτραι.

Χύτραν ὀστρακίνην καὶ χαλκῆν ποταμὸς κατέφερεν. Ἡ δὲ ὀστρακίνη τῇ χαλκῇ ἔλεγεν· « Μακρόθεν μου κολύμβα, καὶ μὴ πλησίον· ἐὰν γάρ μοι σὺ προσψαύσῃς, κατακλῶμαι, κἂν ἐγὼ μὴ θέλουσα προσψαύσω. »

Ὅτι ἐπισφαλής ἐστι βίος πένητι δυναστοῦ ἅρπαγος πλησίον παροικοῦντι.

Codd. Ba 147 Bb 90 Mb 222.

1 Καὶ ἡ ὀστρακίνη Mb || 2 Μακρόθεν κολύμβα, μὴ πλησίον Mb || 3 μοι om. Mb || σὺν προσψαύσεις Bb || 4 κἂν τε ἐγὼ codd. || προσψαῦσαι Bb Mb || 5 ἄρχοντος pro ἅρπαγος Bb || 6 παροικοῦντι Mb -τα Ba -τος Bb

356

Ψιττακὸς καὶ γαλῆ.

Ψιττακόν τις ἀγοράσας ἀφῆκεν ἐπὶ τῆς οἰκίας νέμεσθαι. Ὁ δὲ τῇ ἡμερότητι χρησάμενος, ἀναπηδήσας ἐπὶ τὴν ἑστίαν ἐκάθισε, κἀκεῖθεν τερπνὸν ἐκεκράγει. Γαλῆ δὲ θεασαμένη ἐπυνθάνετο αὐτοῦ τίς τέ ἐστι καὶ πόθεν ἦλθεν. Ὁ δὲ εἶπεν· « Ὁ δεσπότης με νεωστὶ ἐπρίατο. — Οὐκοῦν, ἰταμώτατε ζῴων, ἔφη, πρόσφατος ὢν τοιαῦτα βοᾷς, ὅτε

Codd. Pa 234 Pf 142 Me 179 Mf 150 Ca 197.

1 ἐφῆκεν Pa || 2 ἀποπηδήσας Ca || ἐπὶ τῆς νεοττιᾶς ἐκάθισε Pf Me Mf || 3 μέλος τερπνὸν Pf Me Mf || 4 αὐτὸν Ca || τέ om. Pf Mf Ca || εἴη Me Mf || 5 ἄρτι ὠνήσατο Pf Me Mf || 6 ἰταμώτε Pa[1] || ταῦτα Ca || βοᾶν κατατολμᾷς Pf Me Mf || ὅτε om. Pf Me Mf.

Digitized by Google

ἐμοὶ τῇ οἰκογενεῖ οὐκ ἐπιτρέπουσιν οἱ δεσπόται, ἀλλ' ἐάν ποτε τοῦτο πράξω, προσαγανακτοῦντες ἀπελαύνουσί με. » Ὁ δὲ ἀπεκρίνατο λέγων· « Οἰκοδέσποινα, ἀλλὰ σύ γε βάδιζε μακράν· οὐχ ὁμοίως γὰρ δυσχεραίνουσιν οἱ δεσπόται ἐπὶ τῇ ἐμῇ φωνῇ ὅσον ἐπὶ τῇ σῇ. »

Πρὸς ἄνδρα πονηροψόγον ἑτέροις ἀεὶ αἰτίας προσάπτειν ἐπιχειροῦντα ὁ λόγος εὔκαιρος.

7 δεσπόται φθέγγεσθαι Pf Me Mf || 8 πρᾶξαι τολμήσω Pf Me Mf || με, καὶ σὺ ἀφόβως τολμᾷς παρρησιάζεσθαι. Ὁ δὲ ἀποκριθεὶς εἶπεν· Pf Me Mf || 10 μακρὰν ἐντεῦθεν Pf Me Mf || οὐ γὰρ ὁμοίως Ca || 11 καὶ pro ὅσον Ca || 12 Ὁ μῦθος οὗτος πρὸς ἄνδρα φιλοψόγον ... Ca || πονηροψόφον Pa || ἀναιτίοις pro ἀεὶ αἰτίας Pa || πονηρὸν ψόγον κατὰ φθόνων αἰτίαν τοῖς πέλας προσάγοντα Pf Me Mf || 13 ὁ om. Pa.

Aliter.

Πέρδιξ καὶ γαλῆ.

Πέρδικά τις πριάμενος τρέχειν οἴκῳ
ἀφῆκεν· ἡδέως γὰρ εἶχε τὸ ζῷον.
Κἀκεῖνος εὐθὺς κλαγγὴν ἐξ ἔθους ᾄδων
πᾶσαν κατ' αὐλὴν † ἀκριβεία τῶν † ᾔει.
Γαλῆ πρὸς αὐτὸν ἐπίβουλος ὡρμήθη,
καὶ πρῶτον εἶπε· « Τίς μὲν εἶ, πόθεν ἥκεις ; »
Ἡ δέ· « Ἠγόρασμαι, ἔφησεν, προσφάτως. »
« Ἐγὼ [χρόνον] τοσοῦτον ἐνθάδε διατρίβω
καί με ἔνδον ἔτεκεν ἡ μυοκτόνος [μήτηρ],
ἀλλ' ἡσυχάζω καὶ προσέτι ἀνδύνω.
Σὺ δ' ἄρτι πῶς ὠνητός, ὡς λέγεις, ἥκων,
παρρησιάζῃ, φησί, καὶ κατακρώζεις ; »

Πρόσφορος ὁ μῦθος πρὸς γέροντας εἰς τιμὴν προκριθέντας καὶ ὑπὸ τῶν αὐτῶν κατὰ φθόνον συνεγκλειομένους.

Cod. Mb 193.

1 ἐντρέχειν cod. || 4 πᾶσαν κατὰ αὐλὴν περιπατῶν ᾔει ? || 7 Ἡ δ' ἠγόρασμαι, φησί cod. || 8 χρόνον resecandum est || 9 καί μ' ἔνδον ἔτεκεν ἡ μιοκτόνος μήτηρ cod. μήτηρ delendum || 10 πρόσεστι cod. || 11 Σὺ γὰρ cod. || 12 παρησιάζει cod.

Digitized by Google

357

Ψύλλα καὶ ἀθλητής.

Ψύλλα ποτὲ πηδήσασα ἐκάθισεν ἐπὶ ταρσοῦ ποδὸς ἀνδρὸς ἀθλητοῦ νοσοῦντος καὶ ἀλλομένη ἐνῆκε δῆγμα. Ὁ δ' ἀκροχολήσας εὐτρεπίσας τοὺς ὄνυχας οἷός τε ἦν συνθλάσαι τὴν ψύλλαν. Ἡ δὲ ὑφ' ὁρμῆς φυσικὸν πήδημα λαβοῦσα ἀπέδρα τοῦ θανεῖν ἀπαλλαγεῖσα. Καὶ ὃς στενάξας εἶπεν· « Ὦ Ἡράκλεις, ὅταν πρὸς ψύλλαν οὕτω ⟨συμμαχῇς⟩, πῶς ἐπὶ τοὺς ἀνταγωνιστὰς συνεργὸς ἔσῃ ; »

Ἀτὰρ οὖν καὶ ἡμᾶς ὁ λόγος διδάσκει μὴ δεῖν ἐπὶ τὰ ἐλάχιστα καὶ ἀκίνδυνα πράγματα ἐπευθὺς τοὺς θεοὺς ἀνακαλεῖν, ἀλλ' ἐπὶ τὰς μείζους ἀνάγκας.

Codd. Pa 233 Pf 141 Pg 150 Ma 142 Mb 234 Me 178 Mf 149 (Me Mf ex P et L contaminati).

1 ψύλα Pa || ἐπὶ πόδα ἀνδρὸς ἀθλητοῦ Pg Ma Mb || ἀνθρώπου ἀλήτου Pa ἀνδρὸς ἀθλητοῦ Pf ἀνδρὸς Ἀθηναίου Me Mf || **2** σοβοῦντος Pg Mb (aeque suspectum habeo atque νοσοῦντος) || ἀλλόμενος Pa || ἀλλομένη (ἀλο- Mf) ἔδακεν Pf Me Mf || Ὁ δὲ τὸν Ἡρακλέα (-κλῆν Me) ἐπὶ συμμαχίαν ἐκάλει· ἀκροχολήσας οὖν Me Mf || **3** καὶ τοὺς ὄνυχας εὐτρεπίσας τὴν ψύλλαν συνθλάσαι ἐκινεῖτο Pf Me Mf || ἢ οἷον φορ τε ἦν Ma || **4** ἐφ' ὁρμῆς Pg ἡ φόρμη Ma ἐφ' ὄρῃ Mb || κίνημα Ma || **5** ἀπαλλάγει Ma || Καὶ ὅς Pg Mb || ὃς om. Pa || Αὐτὸς δὲ Pf Me Mf Ὁ δὲ Ma || **6** Ὦ om. Pg || Ἡρακλῆ Pa Ma || Ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνισταῖς συνεργήσεις Me Mf (sed Me habet in margine ὅταν πρὸς ψύλλαν οὕτως, πῶς ἐπὶ τοὺς ἀνταγωνιστὰς συνεργὸς γενήσῃ ;) || ψύλαν Pa || συμμαχῇς suppleuit Sternbach || **7** πλὴν pro πῶς Pf || πόσον πρὸς ἀνταγωνιστὰς συνεργὸς omisso ἔσῃ Pg || πόσῳ ἐπὶ τοὺς ἀγωνιστὰς μαχήσομαι ; Ma || μοι γενήσῃ Pf || ἔσῃ om. Mb ἦ Pa || **8** Δεῖ οὖν καὶ ἡμᾶς μηδὲν ἐπὶ Ma || Ὁ λόγος δηλοῖ μὴ δεῖν Mb || **9** ἐπ' εὐήθειαν Pa || ἐπεύθειαν (εὐπευήθη Ma om. Mb) τοὺς θεοὺς ἐπικαλεῖν (ἐπικαλὰ Ma) ἐπὶ (ἐπὶ om. Mb) ταῖς μείζοσιν ἀνάγκαις Pg Ma Mb || **8-10** Ὁ λόγος διδάσκει (Ὁ μῦθος δηλοῖ ὅτι Me) μὴ ἐπὶ τῶν ἐλαχίστων καὶ ἀκινδύνων πραγμάτων τὸ θεῖον προσκαλεῖσθαι (προσ- τὸ θεῖον Me), ἀλλ' ἐπὶ ταῖς μείζοσιν (-ζω Pf) ἀνάγκαις Pf Me Ὅτι μὴ (Ὁ μῦθος δηλοῖ μὴ Mf) δεῖ ἐπὶ τῶν ἐλαχίστων τοῦ θείου δεῖσθαι, ἀλλ' ἐπὶ τῶν ἀναγκαίων Me Mf (Me in margine).

Digitized by Google

Aliter.

Ψύλλα ποτὲ πηδήσασα ἐκάθισεν ἐπὶ πόδα ἀνδρὸς ἀθλητοῦ σοβοῦντος, καὶ ἀλλομένη ἐνῆκε δῆγμα. Ὁ δὲ ἀκροχολήσας ηὐτρέπισε τοὺς ὄνυχας, ὅπως συνθλάσῃ ταύτην· ἡ δὲ ἐφ' ὁρμῆς φυσικῆς πήδημα λαβοῦσα ἀπέδρα, τοῦ θανεῖν ἀπαλλαγεῖσα. Καὶ ὃς στενάξας εἶπεν· « Ὦ Ἡράκλεις, διὰ τί ἐπὶ κακοὺς ἀνταγωνιστὰς οὐκ εἶ συνεργός; »

Ὁ λόγος δηλοῖ ὅτι οὐ δεῖ ἐπὶ τὰ ἐλάχιστα καὶ ἀκίνδυνα πράγματα ἐπευθὺς τοὺς θεοὺς ἐπικαλεῖσθαι, ἀλλ' ἐπὶ ταῖς μείζοσιν ἀνάγκαις καὶ συμφοραῖς.

Codd. Ca 194 Cb 106 Cd 120 Ch 129 Mc 100.

1 Ψύλα Mc || ποτὲ om. Cb Ch Mc δέ ποτε Cd || πηδήσας Cb || ἐπὶ ποδὸς (πόδα Cd Ch) ἀνθρώπου (ἀνδρὸς Cd) καὶ δῆγμα (δεῖγμα Mc) ἐκέντα (ἐκέντρα Cb Mc) τοῦτον Cb Cd Ch Mc || **2** ἀκροχωλεύσας Cd -λέσας Ca Ch || **3** εὐτρέπισε libri excepto Ca || συνθλάσει (-σῃ Mc) τοῦτον Cb Mc || Ἐφ' (Ὑφ' Cd) ὁρμῆς δὲ φυσικῆς ἡ ψύλλα πήδημα λαβοῦσα ἀπέδρα τοῦ θανάτου. Ὁ δὲ στενάξας libri excepto Ca || **5** Ἡράκλει Cb -κλῆ Ch Mc. Εἰράκλεις Cd || **6** ἐπὶ τοὺς κακοὺς Ch || **7** Ὅλως δηλοῖ Ca || Ὁ μῦθος οὗτος δηλοῖ Cd Ὅτι Cb || Ὁ μῦθος δηλοῖ ὅτι ἐπὶ ἐλαχίστῳ καὶ ἀκινδύνῳ πράγματι τὸν θεὸν μὴ παρακαλεῖν Mc || τὰ ante ἐλάχιστα om. libri excepto Ca || **8** πράττει pro πράγματα Cb || ἐπευθὺς om. libri excepto Ca || τὸν θεὸν παρακαλεῖν Cb Cd Ch || ἀλλ' (ἀλλ' om. Cb) ἐπὶ τῆς μείζων (-ζον Mc) ἀνάγκης καὶ συμφορᾶς Cb Mc ἀλλ' ἐπὶ μείζονας ἀνάγκας καὶ συμφοράς Cd.

Aliter.

Ψύλλα καὶ ἀνήρ.

Ψύλλα ποτὲ πηδήσασα ἐπὶ πόδα ἀνδρὸς ἐκάθισεν. Ὁ δὲ τὸν Ἡρακλῆν ἐπὶ συμμαχίαν ἐκάλει. Τῆς δὲ ἐκεῖθεν αὖθις ἀφαλομένης, στενάξας εἶπεν· « Ὦ Ἡράκλεις, εἰ ἐπὶ ψύλλῃ οὐ συνεμάχησας, πῶς ἐπὶ μείζοσιν ἀνταγωνισταῖς συνεργήσεις; »

Ὁ μῦθος δηλοῖ μὴ δεῖν ἐπὶ τῶν ἐλαχίστων τοῦ θείου δεῖσθαι, ἀλλ' ἐπὶ τῶν ἀναγκαίων.

Codd. La 62 Lb 129 Le 129 Lf 62 Lh 75 Md 112 Mg 156 Mi 28 Mj 150 Ml 156 Mm 139 Pb 230 Ce 122 Cf 131.

1 τὸν πόδα Cf || ἐκάθησαν Mi || **3** ἀφελομένης La Lh Pb ἐφαλλομένης Le ἀφαλλομένης Lb Md Mi Mj Mm ἀποπηδησάσης Ce -δήσας Cf || Ἡράκλης Cf || ἐπὶ ψίλλην Ce || ἐπεὶ ψῆλον οὐ συνεμμαχήσας Cf || **6** Ὁ μῦθος ὅτι Mm Cf Ὅτι Md Mi Pb || ὅτι οὐ δεῖ Md Mi Mm Cf ὅτι (ὅτι om. Lh) μὴ δεῖ Lf Lh Ml Pb ὅτι δεῖ μὴ Mj || Ὁ μῦθος δηλοῖ οὐχ ἐπὶ Ce.

Digitized by Google

358

Ψύλλα καὶ ἄνθρωπος.

Ψύλλα δέ ποτέ τινι πολλὰ ἠνώχλει.
Καὶ δὴ συλλαβών· « Τίς εἶ σύ, ἀνεβόα,
ὅτι πάντα μου μέλη κατεβοσκήσω
εἰκῆ καὶ μάτην ἐμὲ καταναλίσκων ; »
Ἡ δὲ ἐβόα· « Οὕτως ζῶμεν, μὴ κτείνης·
μέγα γὰρ κακὸν οὐ δύναμαι ποιῆσαι. »
Ὁ δὲ γελάσας πρὸς αὐτὴν οὕτως ἔφη·
« Ἄρτι τεθνήξη χερσί μου ταῖς ἰδίαις·
ἅπαν γὰρ κακόν, οὐ μικρόν, οὐδὲ μέγα
οὐδ' ὅλως πρέπει καθόλου που φυῆναι.

Ὁ μῦθος δηλοῖ ὅτι ὁ κακὸς οὐ πρέπει ἐλεηθῆναι, κἂν μέγας ᾖ, κἂν μικρός.

Codd. Ch 128 Ca 196 Cb 105 Mb 232 Mc 99.

1 πολλά τινι Ca Mb || ἐνόχλη Cb -χλει Mc ἠνόχλει Mb || **2** εἶ om. Cb εἴη Ch ἤει Ml || σὺ om. Ch Ca Mb Mc ἐπηρώτα Mb || **3** ὁ πάντα τὰ μέλη μου καταβοσκήσας Mc || τὰ μέλη καταβοσκήσω Cb || κατεβοσκήσω μέλη Mb || **5** κτῆνος pro κτείνης Cb || 7 αὐτὸν ταῦτα λέγει Mb || **8** τεθνήξει Cb || **10** τοῦ codd. || **11** Ὅτι Cb || καὶ μέγας Cb || **11-12** Ὅτι μὴ δώσεις χώραν τὸ κακὸν ῥιζῶσαι· ἔκτεμνε δὲ μᾶλλον καὶ μὴ ἐάσης φῦναι Mb.

359

Ψύλλα καὶ βοῦς.

Ψύλλα δέ ποτε τὸν βοῦν οὕτως ἠρώτα·
« Τί δὴ [παθὼν] ἀνθρώποις ὁσημέραι δουλεύεις,
καὶ ταῦτα ὑπερμεγέθης καὶ ἀνδρεῖος [τυγχάνων],
μοῦ σάρκας αὐτῶν οἰκτίστως διασπώσης

Cod. Mb 235.

2 παθὼν delendum || **3** τυγχάνων delendum || **4** ἐμοῦ cod.

καὶ τὸ αἷμα ⟨αὐτῶν⟩ χανδόθεν πινούσης; »
Ὁ δ'· « Οὐκ ἄχαρίς εἰμι μερόπων γένει·
στέργομαι γὰρ παρὰ αὐτῶν καὶ φιλοῦμαι [ἐκτόπως],
τρίβομαί τε συχνῶς μέτωπόν [τε] καὶ ὤμους. »
Ἡ δέ· « Ἀλλ' ἐμοὶ γοῦν τέως τῇ δειλαίᾳ
ἡ σοὶ φίλη τρίψις οἴκτιστος ⟨δὴ⟩ μόρος,
ὅτε καὶ τύχῃ συμβαίνει ⟨μοι ἁλῶναι⟩. »

Ὅτι οἱ διὰ τοῦ λόγου ἀλαζόνες καὶ ὑπὸ τοῦ εὐτελοῦς ἡττῶνται.

5 αὐτῶν addidi et χανδόθεν scripsi, χανδὸν cod. || **6** Καὶ ὅς· Οὐκ ἄχαρις ἔσομαι, φησί, μερόπων γένει cod. correxi || **7** ἐκτόπως delendum || **8** τε delendum || **10** δὴ addidi || **11** μοι ἁλῶναι addidi.

Digitized by Google

Digitized by Google

APPENDIX

Codicibus aesopicis addendae sunt *tabulae ceratae Assendelftianae* Palmyrae repertae, quae in Bibliotheca Lugduni Batauorum sunt depositae. Hae continent 14 fabulas, quarum 11 sunt Babrii, 3 autem, soluta oratione scriptae, neque ad Babrium neque ad codices nostros referri possunt. Has tres fabulas transcripsi, quales D. C. Hesseling restituit (*Journal of the hellenistic studies*, 1892, p. 293-314).

1

Γεωργὸς καὶ ἔχιδνα.

Ἔχιδνάν τις ἀσφυκτοῦσαν.. δακοῦσ' αὐτῷ φόνιον ἀποτείνει χάριν. Δηχθεὶς δ' ἔφη· « Δύσαγνε καὶ μιαιφόνε, ἔσωσα σὲ ἐπὶ τούτῳ, ἵνα μὲ δύστηνον κτάνῃς; » Ἡ δ' εἶποῦσα... ὅτι οὐ δεῖ κακοὺς εὐεργετεῖν.

Tabulae ceratae, 10. Cf. Γεωργὸς καὶ ὄφις, 82.

Hanc fabulam Hesseling restituit ex fragmentis sequentibus : ..ιδν..σα.φυ...ν.. τομηδει.ξ ...ουσα ..εισαδατωφονειοναποτειν ..ιχαριν ..χθεισδεεφηδυσαγνεκαιμιαιφ... σεεπιτουτωιναμ. δ. την ..χτανησηδειπουσα ... τησεισχανθαν ...οτιουδειχαχουσευε.. Ne ego quidem uideo quid lateat in τομηδει.ξ ..ουσα ..εισαδατω.

Digitized by Google

2

Λέων ⟨γηράσας⟩ καὶ ἀλώπηξ.

Λέων γήρᾳ συσχεθεὶς νοσεῖν προσεποιεῖτο, ὡς διὰ ταύτης τῆς πλάνης τὰ λοιπὰ θηρία [ὡς] εἰ⟨ς⟩ τὴν ἐπίσκεψιν αὐτοῦ ἐρχόμενα καταδαπανᾷ. Τοιγαροῦν ἀλώπηξ κατὰ τὴν ἑαυτῆς ἀγχίνοιαν ⟨ἐνό⟩ησε τὰς ἐνέδρας καὶ οὕτως ἑαυτὴν ἥρμοσεν ἵνα καὶ τὴν χάριν ἀναπληρώσῃ καὶ ⟨τὸν κίνδυν⟩ον ἐκφύγῃ. Ἐκτὸς τοῦ σ⟨πη⟩λαί⟨ου⟩ ἑστῶσα ἠσπάσατο τ⟨ὸν⟩ λέοντα, ⟨ἀλλ' οὐ π⟩ροσήρχετο. Ἐπ⟨ειτ'⟩ αἰτηθεῖσα ⟨ὑπό τινος⟩ διὰ τί μὴ εἰσήρχετο εἶπεν· « Τὰ ἴχνη μὲν πάντων τῶν θηρίων εἰσερχομένων δρῶ, ἐξερχομένων δ' οὐχ δρω. »

Διδάσκει ἡμᾶς ὁ μῦθος τὰ μέλλον⟨τα π⟩ροβλέπειν.

Tab. cer. 8. Cf. Λέων <γηράσας> καὶ ἀλώπηξ, 197.

Hesseling secutus sum ; attamen l. 2 scripsi εἰς τὴν ἐπίσκεψιν ... καταδαπανᾷ pro ὡς εἰ<ς> τὴν σύσκεψιν ... κατεδαπάνα tab. cer. || **7** post λέοντα in tabulis iterata sunt uerba ἐκτὸς τοῦ σπηλαίου ἑστῶσα ἠσπάσατο || προσέρ<χεται> in προσήρχετο mutaui.

3

Λέων καὶ μῦς ⟨ἀντευεργέτης⟩.

Μῦς ἐπάνω λέοντο⟨ς κοιμωμέ⟩νου ἐφήλατο ⟨καὶ τὸν ὕπν⟩ον αὐτοῦ ἐξήγειρεν. Ὁ ⟨μὲν λ⟩έων δραξ⟨άμενος αὐτὸ⟩ν ⟨ἀν⟩αιρεῖν ἐβούλ⟨ετο· ἐ⟩κεῖνος συγγνώμη⟨ν τῆς ἁμα⟩ρτίας ᾐτήσατο καὶ ὑπ⟨ισχνεῖτο ποτ'⟩ αὐτοῦ οὐκ ἐλάττονα ⟨χάριν⟩ ἀνοίσειν αὐτῷ [ὑπισχνεῖτο]... χάριτας ἀποδώσειν... ἀπέ-

Tab. cer. 9. Cf. Λέων καὶ μῦς <ἀντευεργέτης>, 207.

3 δὲ addendum est post ἐκεῖνος || **5** ὑπισχνεῖτο uitiose iteratum est || In lacuna prima Hesseling legit : ε. ελλε. ατουσουτωσει .. τονζ.. ρ., in secunda : ..τε ..λετο.

Digitized by Google

λυσεν αὐτόν. Οὐ πολ⟨λῷ δὲ⟩ ὕστερον ὑπὸ κυνηγῶν ⟨συλ-λη⟩φθεὶς ⟨ὁ λέ⟩ων εἰς δεσμὰ ⟨ἐβλήθη⟩. Τότε ⟨ὁ⟩ μῦς ἀναμνησ⟨θεὶς τοῦ ἀπ⟩οδοῦναι αὐτῷ τὴν ⟨χάριν προὐ-πή⟩δησεν διὰ τῆς νυ⟨κτὸς καὶ λ⟩υσάμενος τὰ δεσ⟨μὰ ἔσωσεν⟩ αὐτόν.

Οὕτω πολλά⟨κις⟩ ἄν⟨θρωπ⟩ός τις βοηθῇ ὑφ' ἡσσόνων...

8 εαυτω pro αὐτῷ tab. || 11 In lacuna Hesseling legit ..ισυ... χουσσαυνεργε..

Digitized by Google

ERRATA

PARS PRIOR

Pagina 8, linea 20, *pro* 1702, *lege* 1752.

— 12, — 11 a fine, *pro* lolum, *l.* solum.

— 13, — 10, *pro* Me, *l.* Md Mh Mi.

— 13, — 3 a fine, *pro* Pg Cf Lc Lq, *l.* Ma Md Mh Mm.

— 17, — 13 et 15, *pro* 89, *l.* 92.

— 18, — 6, *pro* Ba, *l.* archetypo codicis Ba.

— 20, — 6, *pro* Cf Me Lq, *l.* Md Mh Mm.

— 30. post ultimam lineam *adde* A: Tabulae ceratae Assendelftianae.

— 32, linea 5 apparatus, *pro* προιόντος, *l.* προϊόντος.

— 40, — 2 a fine textus, *pro* ἀλλα, *l.* ἀλλὰ.

— 47, ultima linea, *pro* χείνη, *l.* ἐχείνη.

— 63, linea 2 a fine, *pro* Babrius, *l.* Babrium.

— 80, ultima linea textus, *pro* ἠδύνατ, *l.* ἠδύνατο.

— 84, linea 5, *pro* βοηθόν, *l.* βοηθὸν.

— 93, — 4, *pro* αὐτὸ, *l.* αὐτό.

— 127, — 3 a fine textus, *pro* εἶπεῖν, *l.* εἰπεῖν.

— 141, — 3, *pro* λιμνης, *l.* λίμνης.

— 142, — 10, *pro* εγχἔλυν, *l.* ἔγχελυν.

— 151, post fabulam 72, *pro* 52, *l.* 20.

— 193, — 93, *pro* 12, *l.* 92.

— 208, linea 16, *pro* ἐπί, *l.* ἐπὶ.

— 219, — 10, *pro* ἔφη., *l.* ἔφη·.

PARS ALTERA

Pagina 282, linea 11, *pro* πτηνὼν, *lege* πτηνῶν.

— 284, — 8, *pro* λίνῳ, *l.* λινῷ.

Digitized by Google

Pagina 295, linea 10, *pro* χαρίσασθα, *l.* χαρίσασθαι.
— 303, — 11, *pro* πανιχρὸν, *l.* πενιχρόν.
— 327, ultima linea, *pro* Babrios, *l.* Babrium.
— 345, linea 14, *pro* Sternbach, *l.* Knöll.
— 351, — 6, *pro* Τ ῦ, *l.* Τοῦ.
— 353, — 14, *pro* Οὐαί, *l.* Ουαὶ sine virgula.
— 370, — 17, *pro* Sternbach, *l.* Knöll.
— 430, ante lineam 21, adde titulum Ὁδοιπόρος καὶ Ζεύς.
— 447, linea 19, *pro* τ ὺς, *l.* τούς.
— 447, — 24, *pro* οὗτ ς, *l.* οὗτος.
— 455, l. 1, pro Ονος *l.* Ὄνος·
— 469, linea 9, ἐπλήγη, corrigendum est in ἔπληξεν.
— 502, — 5, *pro* θρηνοῦ σιν, *l.* θρηνοῦσιν.
— 541, — 16, *pro* και, *l.* καὶ.
— 557, — 1, *pro* ζωνῷ, *l.* ζῴων.

Digitized by Google

INDEX FABVLARVM

	Paginae
Ἀγαθὰ καὶ κακά. . .	31
Ἀγαλματοπώλης. . .	31
Ἀετὸς καὶ ἀλώπηξ. . .	33
Ἀετὸς καὶ κάνθαρος. .	37
Ἀετὸς καὶ κολοιὸς καὶ ποιμήν.	41
Ἀετὸς < τὰ πτερὰ τιλθεὶς > καὶ ἀλώπηξ. .	43
Ἀετὸς < τοξευθείς >.	44
Ἀηδὼν καὶ ἱέραξ. . .	45
Ἀηδὼν καὶ χελιδών. .	47
Ἀθηναῖος χρεωφειλέτης.	48
Αἰθίοψ.	49
Αἴλουρος καὶ ἀλεκτρυών.	50
Αἴλουρος καὶ μύες. . .	53
Αἴλουρος καὶ ὄρνιθες. .	56
Αἴλουρος καὶ ὄρνις. . .	57
Αἴλουρος καὶ ῥίνη. . .	162
Αἲξ καὶ αἰγοβοσκός. . .	57
Αἲξ καὶ αἰπόλος. . . .	58
Αἲξ καὶ ὄνος. . . .	59
Αἰπόλος καὶ αἶγες ἄγριαι.	61
Αἰσχρὰ δούλη καὶ Ἀφροδίτη.	63
Αἴσωπος ἐν ναυπηγίῳ. .	64
Ἀλέκτορες δύο καὶ ἀετός.	64
Ἀλεκτρυόνες καὶ πέρδιξ.	67
Ἁλιεῖς καὶ θύννος . .	69
Ἁλιεῖς < λίθον ἀγρεύσαντες >.. . . .	71
Ἁλιεὺς αὐλῶν. . . .	73
Ἁλιεὺς < καὶ ἰχθύες μεγάλοι καὶ βραχεῖς >.	75
Ἁλιεὺς καὶ μαινίς. . .	75
Ἁλιεὺς καὶ σμαρίς.. .	76
Ἁλιεὺς < ὕδωρ τύπτων >..	77
Ἀλκυών..	79
Ἀλώπεκες < ἐπὶ τῷ Μαιάνδρῳ >.. . .	80
Ἀλώπηξ ἐξογκωθεῖσα τὴν γαστέρα.. . .	80
Ἀλώπηξ καὶ βάτος. .	82
Ἀλώπηξ καὶ βότρυς. .	84
Ἀλώπηξ < πρὸς ὄμφακας καὶ μῦς >. . . .	86
Ἀλώπηξ καὶ δράκων. .	87
Ἀλώπηξ καὶ δρυτόμος.	87
Ἀλώπηξ καὶ δρυοτόμος.	88
Ἀλώπηξ καὶ κροκόδειλος..	91
Ἀλώπηξ καὶ κύων.. .	93
Ἀλώπηξ καὶ πάρδαλις..	93
Ἀλώπηξ καὶ πίθηκος < βασιλεὺς αἱρεθείς >.	95
Ἀλώπηξ καὶ πίθηκος	

Digitized by Google

< περὶ εὐγενείας ἐρίζοντες >. 97
Ἀλώπηξ καὶ τράγος. . 98
Ἀλώπηξ κολουρός. . . 104
Ἀλώπηξ < μηδέποτε θεασαμένη λέοντα >. 106
Ἀλώπηξ πρὸς μορμολύκειον. 108
Ἄνδρες < δύο περὶ θεῶν ἐρίζοντες >. . . . 109
Ἀνδροφόνος.. . . . 110
Ἀνὴρ ἀδύνατα ἐπαγγελλόμενος. 111
Ἀνὴρ δειλὸς καὶ κόρακες. 113
Ἀνὴρ < δηχθεὶς ὑπὸ μύρμηκος > καὶ Ἑρμῆς. 113
Ἀνὴρ καὶ γυνὴ < ἀργαλέα >. 114
Ἀνὴρ κακοπράγμων. . 115
Ἀνὴρ κομπαστής. . . 117
Ἀνὴρ μεσοπόλιος καὶ ἑταῖραι. 119
Ἀνὴρ ναυαγός. . . . 122
Ἀνὴρ πηρός.. . . . 123
Ἀνὴρ φέναξ.. . . . 123
Ἀνθρακεὺς καὶ γναφεύς. 126
Ἄνθρωποι καὶ Ζεύς. . 127
Ἄνθρωπος καὶ ἀλώπηξ. 128
Ἄνθρωπος καὶ κύων. . 299
Ἄνθρωπος καὶ λέων < συνοδεύοντες >. . 129
Ἄνθρωπος καὶ σάτυρος. 131
Ἄνθρωπος καὶ Τύχη. . 432
Ἄνθρωπος καταθραύσας ἄγαλμα. 134
Ἄνθρωπος λέοντα χρυσοῦν εὑρών. . . . 137
Ἄρκτος καὶ ἀλώπηξ. . 138
Ἀρνὸς καὶ λύκος. . . 214
Ἀρότης καὶ λύκος. . . 139
Ἀσπάλαξ. 522
Ἀστρολόγος.. . . . 140

Βάτραχοι < αἰτοῦντες βασιλέα >. . . . 140
Βάτραχοι <γείτονες>. 144
Βάτραχοι <ἐν λίμνῃ>. 145
Βάτραχος < ἰατρὸς > καὶ ἀλώπηξ. . . . 147
Βόες καὶ ἄξων. . . . 148
Βόες τρεῖς καὶ λέων.. . 150
Βοηλάτης καὶ ἅμαξα. . 149
Βοηλάτης καὶ Ἡρακλῆς. 151
Βοηλάτης καὶ λέων. . . 156
Βορέας καὶ Ἥλιος. . . 151
Βουκόλος καὶ λέων. . . 153
Βουθρέμμων καὶ λέων. . 156
Βωταλὶς καὶ νυκτερίς. . 157

Γαλῆ καὶ Ἀθηνᾶ. . . 160
Γαλῆ καὶ Ἀφροδίτη. . 158
Γαλῆ καὶ ῥίνη. . . . 161
Γέρων καὶ θάνατος. . . 162
Γεωργὸς καὶ ἀετός. . . 165
Γεωργὸς καὶ θάλασσα. . 402
Γεωργὸς καὶ κύνες. . . 166
Γεωργὸς καὶ ὄφις < τὸν παῖδα αὐτοῦ ἀποκτείνας >. . . . 168
Γεωργὸς καὶ ὄφις < ὑπὸ κρύους πεπηγώς >. . 172
Γεωργὸς καὶ παῖδες αὐτοῦ. 173
Γεωργὸς καὶ πελαργός. . 463
Γεωργὸς καὶ Τύχη. . . 175
Γεωργὸς καὶ φυτόν. . . 177
Γεωργοῦ παῖδες < στασιάζοντες >. . . . 178
Γραῦς καὶ ἰατρός. . . 181
Γυνὴ καὶ ἀνὴρ < μέθυσος >. 185
Γυνὴ καὶ θεράπαιναι. . 186

Digitized by Google

Γυνὴ καὶ ὄρνις 187
Γυνὴ μάγος 189

Δάμαλις καὶ βοῦς . . . 190
Δειλὸς κυνηγὸς καὶ δρυτόμος 193
Δέλφαξ καὶ ἀλώπηξ . . 194
Δέλφαξ καὶ πρόβατα . . 193
Δελφῖνες καὶ φάλαιναι καὶ καρίς 195
Δελφῖνες καὶ φάλαιναι καὶ κωβιός 195
Δένδρα καὶ κάλαμοι . . . 202
Δεσπότης καὶ κύνες . . . 168
Δημάδης ὁ ῥήτωρ . . . 196
Διογένης καὶ φαλακρός . . 196
Διογένης ὁδοιπορῶν . . . 197
Δράκων <ἐπὶ παλιούροις φερόμενος> 225
Δρύες καὶ Ζεύς 197
Δρυοτόμοι καὶ δρῦς . . . 198
Δρυτόμοι καὶ πεύκη . . 199
Δρῦς καὶ κάλαμοι . . . 201
Δρῦς καὶ κάλαμος . . . 200

Ἐλάτη καὶ βάτος . . . 204
Ἔλαφος <ἐπὶ νάματος> καὶ λέων 205
Ἔλαφος καὶ ἄμπελος . . 209
Ἔλαφος καὶ λέων <ἐν σπηλαίῳ> 210
Ἔλαφος πηρωθεῖσα . . 211
Ἔριφος <ἐπὶ δώματος ἑστὼς> καὶ λύκος . . 213
Ἔριφος καὶ λύκος <αὐλῶν> 215
Ἑρμῆς καὶ ἀγαλματοποιός 216
Ἑρμῆς καὶ Γῆ 218
Ἑρμῆς καὶ Τειρεσίας . . 218
Ἑρμῆς καὶ τεχνῖται . . 220
Ἑρμοῦ ἅμαξα καὶ Ἄραβες 221
Εὔνουχος καὶ ἱερεύς . . . 221
Ἐχθροί 222
Ἔχιδνα καὶ γεωργός . . 173
Ἔχις καὶ ἀλώπηξ . . . 224
Ἔχις καὶ ῥίνη 226
Ἔχις καὶ ὕδρος . . . 226

Ζεὺς καὶ αἰσχύνη . . . 227
Ζεὺς καὶ ἀλώπηξ . . . 228
Ζεὺς καὶ ἄνθρωποι . . . 229
Ζεὺς καὶ Ἀπόλλων . . . 230
Ζεὺς καὶ ὄφις 230
Ζεὺς καὶ πίθος ἀγαθῶν . . 231
Ζεὺς καὶ Ποσειδῶν καὶ Ἀθηνᾶ καὶ Μῶμος . . 233
Ζεὺς καὶ Προμηθεὺς καὶ Ἀθηνᾶ καὶ Μῶμος . . 232
Ζεὺς καὶ χελώνη . . . 234
Ζεὺς κριτής 235

Ἥλιος καὶ βάτραχοι . . 235
Ἡμίονος 236
Ἡρακλῆς καὶ Ἀθηνᾶ . . 238
Ἡρακλῆς καὶ Πλοῦτος . 239
Ἥρως 240

Θύννος καὶ δελφίς . . . 241

Ἰατρὸς <ἄτεχνος> . . 243
Ἰατρὸς καὶ νοσῶν . . . 244
Ἰκτῖνος καὶ ὄφις . . . 246
Ἰκτῖνος <χρεμετίζων> 248
Ἰξευτὴς καὶ ἀσπίς . . . 248
Ἰξευτὴς καὶ ἔχις . . . 250
Ἵππος γέρων 251
Ἵππος καὶ βοῦς καὶ κύων καὶ ἄνθρωπος 252
Ἵππος καὶ ἱπποκόμος . . 253
Ἵππος καὶ ὄνος 254

Digitized by Google

Ἵππος καὶ στρατιώτης. . 257
Ἵππος καὶ σῦς ἄγριος. . 258

Κάλαμοι καὶ κυπάριττοι. 204
Κάλαμος καὶ ἐλαία. . . 202
Κάμηλος < ἀφοδεύσασα ἐν ποταμῷ >. . . 261
Κάμηλος καὶ ἐλέφας καὶ πίθηκος. 262
Κάμηλος καὶ Ζεύς. . . 263
Κάμηλος ὀρχουμένη. . 264
Κάμηλος < τὸ πρῶτον ὀφθείς >. 265
Κάνθαροι δύο. . . . 265
Καρκῖνος καὶ ἀλώπηξ. . 267
Καρκῖνος καὶ μήτηρ. . 268
Καρύα. 269
Κάστωρ. 270
Κηπουρὸς < ἀρδεύων λάχανα >. . . . 272
Κηπουρὸς καὶ κύων. . . 273
Κιθαρῳδός. 274
Κίχλα. 275
Κλέπται καὶ ἀλεκτρυών. 276
Κοιλία καὶ πόδες. . . 277
Κολοιὸς καὶ ἀλώπηξ. . 277
Κολοιὸς καὶ κόρακες. . 278
Κολοιὸς καὶ ὄρνεα. . . 279
Κολοιὸς καὶ περιστεραί. 283
Κολοιὸς φυγάς. . . . 284
Κόραξ καὶ ἀλώπηξ. . . 285
Κόραξ καὶ Ἑρμῆς. . . 287
Κόραξ καὶ ὄφις. . . . 288
Κόραξ νοσῶν. . . . 289
Κορυδαλός. 290
Κορώνη καὶ κόραξ. . . 292
Κορώνη καὶ κύων. . . 293
Κουκουλάτης. . . . 291
Κοχλίαι. 294
Κύκνος < ἀντὶ χηνὸς ἀπαχθείς >. . . . 294
Κύκνος καὶ δεσπότης. . 295
Κύνες δύο. 295
Κύνες λιμώττουσαι. . . 297
Κυνόδηκτος. 297
Κύων < ἑστιώμενος >. 299
Κύων < θηρευτικὸς καὶ κύνες >. 303
Κύων καὶ ἀλέκτωρ καὶ ἀλώπηξ. 304
Κύων καὶ δεσπότης. . . 449
Κύων καὶ κόχλος. . . 305
Κύων καὶ λαγωός. . . 306
Κύων καὶ μάγειρος. . . 307
Κύων < κοιμώμενος > καὶ λύκος. 308
Κύων κρέας φέρουσα. . 312
Κύων κωδωνοφορῶν. . 313
Κύων <λέοντα διώκων> καὶ ἀλώπηξ. . . . 314
Κώνωψ καὶ λέων. . . 315
Κώνωψ καὶ βοῦς. . . 316
Κώνωψ καὶ ταῦρος. . . 316

Λαγωοὶ καὶ ἀλώπεκες. . 317
Λαγωοὶ καὶ βάτραχοι. . 318
Λαγωὸς καὶ ἀλώπηξ. . 321
Λάρος καὶ ἰκτῖνος. . . 322
Λέαινα καὶ ἀλώπηξ. . . 322
Λέαινα καὶ ζῷα. . . . 323
Λέαινα καὶ ὗς. . . . 324
Λέοντος βασιλεία. . . 324
Λέοντος σκύμνος καὶ ἀλώπηξ. 323
Λέων < γηράσας > καὶ ἀλώπηξ. 325
Λέων < ἐγκλεισθεὶς > καὶ γεωργός. . . . 328
Λέων < ἐρασθεὶς > καὶ γεωργός. 329
Λέων καὶ ἀλώπηξ καὶ ἔλαφος. 332

Λέων καὶ ἄρκτος. . . 335
Λέων καὶ βάτραχος . 338
Λέων καὶ δελφίς.. . . 340
Λέων καὶ κάπρος. . . 341
Λέων καὶ λαγωός. . . 342
Λέων καὶ λύκος καὶ ἀλώπηξ. 343
Λέων καὶ μῦς <ἀντευεργέτης>. 344
Λέων καὶ ὄναγρος. . . 345
Λέων καὶ ὄνος < ὁμοῦ θηρεύοντες >.. . . 346
Λέων καὶ ὄνος καὶ ἀλώπηξ. 347
Λέων καὶ Προμηθεὺς καὶ ἐλέφας.. 350
Λέων καὶ ταῦρος. . . 351
Λέων < λυσσῶν > καὶ ἔλαφος.. 353
Λέων <μῦν φοβηθεὶς> καὶ ἀλώπηξ. . . . 354
Λῃστὴς καὶ συκάμινος.. 355
Λύκοι καὶ κύνες <ἀλλήλοις πολεμοῦντες >.. 356
Λύκοι καὶ κύνες < πρὸς αὐτοὺς καταλλαγέντες >. 356
Λύκοι καὶ πρόβατα.. . 358
Λύκοι καὶ πρόβατα καὶ κριός. 358
Λύκος <διὰ τὴν ἑαυτοῦ σκιὰν γαυρωθείς> καὶ λέων. 359
Λύκος καὶ αἴξ. . . . 359
Λύκος καὶ ἀλώπηξ. . . 374
Λύκος καὶ ἀρήν.. . . 360
Λύκος καὶ ἀρνός.. . . 361
Λύκος καὶ ἀρνός < ἐφ' ὑψηλοῦ πύργου ἱστάμενος >. 214
Λύκος καὶ ἀρνίον < εἰς ἱερὸν καταφυγόν >.. 363
Λύκος καὶ γέρανος. . . 367
Λύκος καὶ γραῦς. . . 363
Λύκος καὶ ἐρωδιός. . . 366
Λύκος καὶ ἵππος. . . 369
Λύκος καὶ κύων.. . . 369
Λύκος καὶ λέων. . . 370
Λύκος καὶ ὄνος. . . . 371
Λύκος καὶ ποιμήν. . . 372
Λύκος <κεκορεσμένος> καὶ πρόβατον.. . . 373
Λύκος < τετρωμένος > καὶ πρόβατον.. . . 375
Λύχνος. 376

Μάντις. 377
Μέλισσα καὶ Ζεύς. . . 380
Μέλισσαι καὶ Ζεύς. . . 379
Μελισσουργός. . . . 382
Μηναγύρται. 384
Μήτηρ καὶ θυγατέρες. . 487
Μικρέμπορος καὶ ὀνάριον. 436
Μιμώ.. 498
Μόνιος καὶ ἀλώπηξ. . . 524
Μόσχος καὶ ἔλαφος.. . 385
Μύες καὶ γαλαῖ.. . . 386
Μυῖα. 389
Μυῖαι.. 390
Μυρεψὸς καὶ πλούσιος. . 501
Μύρμηξ. 391
Μύρμηξ καὶ κάνθαρος. . 392
Μύρμηξ καὶ περιστερά. . 394
Μύρμηξ καὶ τέττιξ.. . 534
Μῦς ἀρουραῖος καὶ μῦς ἀστικός. 397
Μῦς καὶ βάτραχος. . . 399

Ναυαγὸς καὶ θάλασσα. . 401
Νεανίσκοι καὶ μάγειρος. 403
Νεβρὸς καὶ ἔλαφος. . . 385
Νέος ἄσωτος καὶ χελιδών. 405

Digitized by Google

Νοσῶν καὶ ἰατρός. . . 407
Νυκτερὶς καὶ βάτος καὶ αἴθυια. 410
Νυκτερὶς καὶ γαλαῖ. . . 413

Ξύλα καὶ ἐλαία. . . . 414
Ξυλευόμενος καὶ Ἑρμῆς. 415

Ὁδοιπόροι καὶ ἄρκτος. . 420
Ὁδοιπόροι καὶ κόραξ. . 423
Ὁδοιπόροι καὶ πέλεκυς. 424
Ὁδοιπόροι καὶ πλάτανος. 425
Ὁδοιπόροι καὶ φρύγανα. 426
Ὁδοιπόρος καὶ Ἀλήθεια. 428
Ὁδοιπόρος καὶ Ἑρμῆς.. 428
Ὁδοιπόρος καὶ ἔχις. . . 172
Ὁδοιπόρος καὶ Ζεύς. . 430
Ὁδοιπόρος καὶ Τύχη. . 431
Ὄναγρος < πατήσας σκόλοπα καὶ λύκος >. 458
Ὄνοι πρὸς τὸν Δία. . . 433
Ὄνον ἀγοράζων. . . . 434
Ὄνος < ἄγριος καὶ ὄνος ἥμερος >. . . . 434
Ὄνος ἅλας βαστάζων. . 435
Ὄνος βαστάζων ἄγαλμα. 437
Ὄνος < ἐνδυσάμενος λεοντῆν > καὶ ἀλώπηξ. 438
Ὄνος ἵππον μακαρίζων. 439
Ὄνος καὶ ἀλεκτρυὼν καὶ λέων. 441
Ὄνος καὶ ἀλώπηξ καὶ λέων. 443
Ὄνος καὶ βάτραχος. . 444
Ὄνος καὶ ἡμίονος. . . 256
Ὄνος καὶ ἡμίονος < ἐξ ἴσου ἐμπεφορτισμένοι >. 444
Ὄνος καὶ κηπουρός. . 445
Ὄνος καὶ κόραξ καὶ λύκος. 448
Ὄνος καὶ κυνίδιον. . . 449
Ὄνος καὶ κύων. . . . 450
Ὄνος καὶ κύων < συνοδοιποροῦντες >. . . 451
Ὄνος καὶ ὀνηλάτης. . 452
Ὄνος καὶ τέττιγες. . . 452
Ὄνος < νομιζόμενος λέων εἶναι >. . . . 453
Ὄνος < παλιούρους ἐσθίων > καὶ ἀλώπηξ. 454
Ὄνος < πατήσας σκόλοπα > καὶ λύκος. . 457
Ὄνος < χωλαίνειν προσποιούμενος > καὶ λύκος. 455
Ὀρνιθοθήρας καὶ ἄγριαι καὶ ἥμεραι περιστεραί. 459
Ὀρνιθοθήρας καὶ κορύδαλος. 459
Ὀρνιθοθήρας καὶ πελαργός. 462
Ὀρνιθοθήρας καὶ πέρδιξ. 466
Ὄρνις καὶ αἴλουρος. . . 56
Ὄρνις καὶ χελιδών. . 466
Ὄρνις χρυσοτόκος. . . 467
Οὐρὰ καὶ μέλη ὄφεως. . 469
Ὄφις καὶ γαλῆ καὶ μύες. 470
Ὄφις καὶ καρκῖνος. . . 470
Ὄφις πατούμενος καὶ Ζεύς. 472

Παιδίον ἐσθίον σπλάγχνα. 472
Παῖς < ἀκρίδας θηρεύων > καὶ σκορπίος. 474
Παῖς καὶ κόραξ. . . . 476
Παῖς καὶ λέων < γεγραμμένος >. 477
Παῖς καὶ Τύχη. . . . 431
Παῖς κλέπτης καὶ μήτηρ. 479
Παῖς λουόμενος. . . . 484
Παῖς ψεύστης. . . . 512

Digitized by Google

Παρακαταθήκην εἰληφὼς καὶ Ὅρκος. . . . 485
Πάτηρ καὶ θυγατέρες. . 486
Πέρδιξ καὶ ἄνθρωπος. . 489
Πέρδιξ καὶ γαλῆ. . . 561
Πέρδιξ καὶ κυνηγέτης. . 488
Περιστερὰ διψῶσα. . . 490
Περιστερὰ καὶ κορώνη. . 491
Πῆραι δύο. 492
Πίθηκος καὶ ἁλιεῖς. . . 493
Πίθηκος καὶ δελφίς.. . 494
Πίθηκος καὶ κάμηλος. . 496
Πιθήκου παῖδες. . . . 497
Πλέοντες.. 499
Πλούσιος καὶ βυρσοδέψης. 500
Πλούσιος καὶ θρηνῳδοί. 501
Ποιμὴν καὶ αἴξ. . . . 58
Ποιμήν καὶ θάλασσα. . 503
Ποιμὴν καὶ κύων < τὰ πρόβατα σαίνων >. . 505
Ποιμὴν καὶ λυκιδεῖς. . 506
Ποιμὴν καὶ λύκος < σὺν κυσὶ τρεφόμενος >. . 507
Ποιμὴν καὶ λύκου σκύμνος. 508
Ποιμὴν καὶ πρόβατα. . 508
Ποιμὴν καὶ σκύλαξ. . . 506
Ποιμὴν < λύκον εἰς μάνδραν εἰσάγων > καὶ κύων. 510
Ποιμὴν παίζων. . . . 511
Πόλεμος βατράχων. . . 143
Πόλεμος καὶ Ὕβρις. . 514
Ποταμὸς καὶ βύρσα. . 515
Πρίσται καὶ πεύκη. . . 199
Πρόβατον κειρόμενον. . 515
Προμηθεὺς καὶ ἄνθρωποι.. 517

Ῥόδον καὶ ἀμάραντον. . 517
Ῥοιὰ καὶ μηλέα καὶ ἐλαία καὶ βάτος. 518
Ῥοιὰ καὶ μηλέα καὶ βάτος. 518

Σαλπιγκτής. 520
Σαλπιστής. 519
Σκώληξ καὶ ἀλώπηξ. . 148
Σπάλαξ. 521
Σῦς ἄγριος καὶ ἀλώπηξ. 523
Σῦς < ἄγριος > καὶ ἵππος καὶ κυνηγέτης. 525
Σῦς καὶ κύων < ἀλλήλαις λοιδορούμεναι >. 540
Σφῆκες καὶ πέρδικες καὶ γεωργός. 525
Σφὴξ καὶ ὄφις. . . . 527

Ταῦρος καὶ αἶγες ἄγριαι. 528
Ταῦρος καὶ τράγος. . . 529
Ταὼν καὶ γέρανος. . . 529
Ταὼς καὶ κολοιός. . . 530
Τέττιξ καὶ ἀλώπηξ. . . 532
Τέττιξ καὶ μύρμηκες. . 532
Τοῖχος καὶ πάλος. . . 535
Τοξότης καὶ λέων. . . 535
Τράγος καὶ ἄμπελος. . 537

Ὕαιναι. 537
Ὕαινα καὶ ἀλώπηξ.. . 538
Ὗς ἄγριος καὶ ἀλώπηξ.. 524
Ὗς καὶ κύων < ἀλλήλαις λοιδορούμεναι >. 539
Ὗς καὶ κύων < περὶ εὐτοχίας >. . . . 540

Φαλακρὸς ἱππεύς. . . 541
Φιλάργυρος. 542
Φίλοι δύο καὶ ἄρκτος. . 421

Χαλκεὺς καὶ κυνάριον. . 545
Χειμὼν καὶ ἔαρ.. . . 548
Χελιδὼν καὶ δράκων. . 548

Digitized by Google

Χελιδὼν καὶ κορώνη < περὶ κάλλους φιλονεικοῦσαι >. . . . 550
Χελιδὼν καὶ ὄρνιθες. . 550
Χελιδὼν <κομπάζουσα> καὶ κορώνη. . . . 553
Χελώνη καὶ ἀετός. . . 553
Χελώνη καὶ λαγωός.. . 556
Χῆνες καὶ γέρανοι. . . 558
Χὴν χρυσοτόκος. . . 468
Χήρα καὶ πρόβατον.. . 516
Χύτραι. 560

Ψιτταχὸς καὶ γαλῆ. . 560

Ψύλλα καὶ ἀθλητής. . 562
Ψύλλα καὶ ἀνήρ. . . 563
Ψύλλα καὶ ἄνθρωπος. . 564
Ψύλλα καὶ βοῦς.. . . 564

Appendix. 567

Γεωργὸς καὶ ἔχιδνα.. . 567

Λέων < γηράσας > καὶ αλώπηξ. 568
Λέων καὶ μῦς < ἀντευεργέτης >. 568

Errata. 571

CHARTRES. — IMPRIMERIE DURAND, RUE FULBERT (3-1926).

Digitized by Google

COLLECTION DES UNIVERSITÉS DE FRANCE

publiée sous le patronage de l'Association Guillaume BUDÉ

Couronnée par l'Académie française.

PLATON

VOLUMES DÉJA PUBLIÉS

		Exempl. numérotés sur papier Lafuma.
TOME I. — (Hippias mineur. — Albiciade. — Apologie de Socrate. — Euthyphron. — Criton.) Texte établi et traduit par M. M. Croiset, Membre de l'Institut, Administrateur du Collège de France. . . .	18 fr.	épuisé.
Le texte seul.	10	21 fr.
La traduction seule.	9	épuisé.
TOME II. — (Hippias majeur. — Lachès. — Lysis. — Charmide.) Texte établi et traduit par M. A. Croiset, Membre de l'Institut, Doyen honoraire de la Faculté des Lettres de Paris.	16	33
Le texte seul.	9	19
La traduction seule.	8	17
TOME III. — Première partie. — (Protagoras.) Texte établi et traduit par M. A. Croiset, Membre de l'Institut, Doyen honoraire de la Faculté des Lettres de Paris.	9	19
Le texte seul.	6	13
La traduction seule.	5	11
TOME III. — Deuxième partie. — (Gorgias. — Ménon.) Texte établi et traduit par M. A. Croiset, Membre de l'Institut, Doyen honoraire de la Faculté des Lettres de Paris..	16	33
Le texte seul.	9	19
La traduction seule.	8	17
TOME IV. — Première partie. — (Phédon.) Texte établi et traduit par M. L. Robin, Professeur à la Faculté des Lettres de Paris.	20	41
Le texte seul.	12	25
La traduction seule.	11	23
TOME VIII. — Première partie. — (Parménide.) Texte établi et traduit par M. A. Diès, Professeur aux Facultés catholiques de l'Ouest..	10	21
Le texte seul.	8	17
La traduction seule.	7	15
TOME VIII. — Deuxième partie. — (Théétète.) Texte établi et traduit par M. A. Diès, Pro esseur aux Facultés catholiques de l'Ouest.	12	25
Le texte seul.	7	18
La traduction seule.	6	13
TOME VIII. — Troisième partie. — (Le Sophiste.) Texte établi et traduit par M. A. Diès, Professeur aux Facultés catholiques de l'Ouest.	14	29
Le texte seul.	9	19
La traduction seule.	8	17
TOME X. — (Timée. — Critias.) Texte établi et traduit par M. A. Rivaud, Professeur à la Faculté des Lettres de Poitiers..	20	41
Le texte seul.	12	25
La traduction seule.	11	23

Digitized by Google

SOCIÉTÉ D'ÉDITION « LES BELLES-LETTRES »

95, Boulevard Raspail, PARIS

R. C. 17.053.

OUVRAGES DÉJA PUBLIÉS

1° COLLECTION DES UNIVERSITÉS DE FRANCE

L'Odyssée, 6 vol. (texte-traduction et Introduction), par M. V. Bérard.
Pindare, 4 vol., par M. A. Puech.
Eschyle, 2 vol., par M. P. Mazon.
Sophocle, 2 vol., par M. P. Masqueray.
Euripide, tome I, par M. L. Méridier ; tomes III et IV, par MM. H. Grégoire et L. Parmentier.
Aristophane, tomes I et II, par MM. V. Coulon et H. Van Daële.
Antiphon, par M. L. Gernet.
Lysias, 2 vol., par MM. L. Gernet et M. Bizos.
Isée, par M. P. Roussel.
Platon, tome I, par M. M. Croiset.
Platon, tomes II et III, par M. A. Croiset.
Platon, tome IV 1, par M. L. Robin.
Platon, tome VIII 1-2-3, par M. A. Diès.
Platon, tome X, par M. A. Rivaud.
Démosthène, *Harangues*, 2 vol., par M. M. Croiset.
Aristote, *Constitution d'Athènes*, par M. B. Haussoullier et G. Mathieu.
Théophraste, *Caractères*, par M. O. Navarre.
Callimaque, par M. E. Cahen.
Bucoliques grecs, tome I, par M. Ph. E. Legrand.
Marc-Aurèle, par M. A.-I. Trannoy.
Plotin, tomes I, II, III, par M. E. Bréhier.
L'Empereur Julien, tome I, 2e partie. *Lettres*, par M. J. Bidez.
Lucrèce, 2 vol., par M. A. Ernout.
Catulle, par M. G. Lafaye.
Cicéron, *Discours*, tomes I, II, III, IV, par M. H. de la Ville de Mirmont.
Cicéron, *L'Orateur*, par M. H. Bornecque.
Cicéron, *De l'orateur*, tome I, par M. E. Courbaud.
Cicéron, *Brutus*, par M. J. Martha.
Cicéron, *Divisions de l'Art oratoire, Topiques*, par M. H. Bornecque.
Salluste, *Catilina*, *Jugurtha*, par Mlle Ornstein et M. J. Roman.
Cornélius Népos, par Mlle A. M. Guillemin.
Virgile, *Bucoliques*, par M. H. Goelzer.
Virgile, *Géorgiques*, par M. H. Goelzer.
Virgile, *Enéide* (I-VI), par MM. H. Goelzer et A. Bellessort.
Le Poème de l'Etna, par M. J. Vessereau.
Ovide, *L'Art d'aimer*, par M. H. Bornecque.
Tibulle, par M. M. Ponchont.
Phèdre, par Mlle A. Brenot.
Sénèque, *de la Clémence*, par M. F. Préchac.
Sénèque, *Dialogues*, tomes I et II, par M. A. Bourgery.
Sénèque, *Dialogues*, tome III, par M. R. Waltz.
Sénèque, *Théâtre I*, par M. L. Herrmann.
Pétrone, par M. A. Ernout.
Tacite, *Histoires*, *Annales*, 5 vol., par M. H. Goelzer.
Tacite, *Opera minora*, par MM. H. Goelzer, H. Bornecque et G. Rabaud.
Perse, par M. A. Cartault.
Juvénal, par MM. P. de Labriolle et F. Villeneuve.
Apulée, tome I, par M. P. Vallette.
Saint-Cyprien, *Correspondance*, 2 vol., par M. Bayard.
Saint-Augustin, *Confessions*, 2 vol., par M. P. de Labriolle.

Digitized by Google

2° COLLECTION D'ÉTUDES ANCIENNES

Histoire de la littérature latine chrétienne (2e édition), par M. P. de Labriolle.

Règles pour éditions critiques, par M. L. Havet.

Sur les traces de Pausanias, par Sir J. G. Frazer.

Sénèque prosateur, par M. A. Bourgery.

La Louve du Capitole, par M. J. Carcopino.

Le Théâtre de Sénèque, par M. Léon Herrmann.

Octavie, *Tragédie prétexte,* par M. Léon Herrmann.

Les idées politiques d'Isocrate, par M. G. Mathieu.

La religion de la Grèce antique, par Th. Zielinski.

Buffon, Discours sur le style, texte français avec version latine, par J A. Nairn.

Étude sur le style des Discours de Cicéron, Tome I, par L. Laurand.

Iconographie de l'Iphigénie en Tauride d'Euripide, par H. Philippart.

3° COLLECTION DE COMMENTAIRES D'AUTEURS ANCIENS

Théophraste, *Caractères, Commentaire exégétique et critique,* par M. O. Navarre.

Lucrèce, *Commentaire,* tomes I-II, par MM. A. Ernout et L. Robin.

4° COLLECTION DE TEXTES ET DOCUMENTS

Iuliani imperatoris Epistulae, Leges, Poematia, Fragmenta varia, coll. rec. I. Bidez et Fr. Cumont.

Le Maroc chez les Auteurs anciens, par M. R. Roget.

De Re Metrica tractatus graeci inediti, cong. rec. W. J. W. Koster.

Aesopi fabulae, rec. Aem. Chambry.

5° COLLECTION NÉO-HELLÉNIQUE

Histoire de la Littérature grecque moderne, par M. D.-C. Hesseling.

Chrestomathie néo-hellénique, par MM. D.-C. Hesseling et H. Pernot.

Pages choisies des Évangiles, par M. H. Pernot.

Voyage en Turquie et en Grèce, du R. P. Robert de Dreux, publié par M. H. Pernot.

6° COLLECTION DE LITTÉRATURE GÉNÉRALE

Études françaises, Cahiers 1 à 7.

Guillaume Budé et les Origines de l'humanisme en France, par J. Plattard.

L'Adolescence de Rabelais en Poitou, par J. Plattard.

Les Réfugiés huguenots en Amérique, par G. Chinard.

L'exotisme Américain dans la littérature française au XVIe siècle, d'après Rabelais, Ronsard, Montaigne, etc., par G. Chinard.

La Doctrine de l'Américanisme des Puritains au Président Wilson, par G. Chinard.

L'Amérique et le Rêve Exotique dans la littérature française au XVIIe et au XVIIIe siècle, par G. Chinard.

L'Exotisme Américain dans l'œuvre de Chateaubriand, par G. Chinard.

Destutt de Tracy, De l'Amour, avec une introduction de Gilbert Chinard.

La Mer, dans l'œuvre littéraire de Victor-Hugo, par J. K. Ditchy.

A Coblence, par M. Pierre de Vaissière.

Krupp et Thyssen, par M. Raphaël.

Digitized by Google

La politique rhénane de Vergennes, par M. G. Grosjean.
Misère et splendeur des finances allemandes, par M. Valery de Moriès.
Gœthe en Alsace, par M. J. de Pange.
L'Œuvre de l'Espagne en Amérique, par M. Carlos Perreyra.
La Conquête des routes océaniques, par M. Carlos Perreyra.
Sir Roger de Coverley et autres Essais littéraires, par Sir J. G. Frazer.
Les Mémoires de Jean-Chrysostome Pasek, par P. Cazin.
Adam Mickiewicz et le Romantisme, par S. Szpotanski.
Correspondance inédite de Mickiewicz, par Ladislas Mickiewicz.
Les Têtes de chien, par Jirasek.

7° COLLECTION DU MONDE HELLÉNIQUE

Délos, par M. P. Roussel.
Delphes, par M. E. Bourguet.

COLLECTION SHAKESPEARE

Publiée sous la direction de A. Koszul.
Textes anglais et français en regard.

Volumes publiés :

Macbeth. — Traduction de J. Derocquigny, Professeur à l'Université de Lille (*Prix Montyon* 1923)........ 7 fr. »

Les Sonnets. — Traduction de Charles-Marie Garnier (*Prix Denfer* 1924)........ 7 »

Comme il vous plaira. — Traduction de Lucien Wolff, Docteur ès-lettres........ 7 »

Le Soir des Rois. — Traduction de Félix Sauvage..... 7 »

Le Marchand de Venise. — Traduction de Mme Lebrun-Sudry. 7 »

Roméo et Juliette. — Traduction de A. Koszul, Professeur à l'Université de Strasbourg........ 7 »

Troïlus et Cressida. — Traduction de René Lalou....

Hamlet. — Traduction de J. Derocquigny........ 8 »

Chaque volume, avec préface et annotations, est imprimé en rouge et noir sur eau papier, format in-16 cavalier, broché.

Il a été tiré de chaque volume après réimposition, 200 ou 150 exemplaires numérotés, sur vergé pur chiffon à grandes marges. Le volume. . . . 25 fr. »

COLLECTION DE LITTÉRATURE ANGLAISE

Dans les Sentiers de la Renaissance. — Par M. E. Legouis, Professeur à la Faculté des Lettres de Paris...... 7 fr. »

Le Drame de Massinger. — Par Maurice Chelli..... 25 »

Digitized by Google

Digitized by Google

888
Ae8f
v.2

339447

A000005792504

Digitized by Google

PAMPHLET BINDER
Syracuse, N. Y.
Stockton, Calif.

APR 1 9 1976

FEB 0 9 1981

Digitized by Google

A000005792504
Digitized by Google